

# ÆSCHINIS

# IN CTESIPHONTEM

ET

# DEMOSTHENIS DE CORONA

ORATIONES DUÆ

AD

FIDEM OPTIMORUM EXEMPLARIUM RECENSITÆ

VARIETATE LECTIONIS

ET COMMENTARIO PERPETUO

IN USUM SCHOLARUM INSTRUCTÆ

AB

IO. HENR. BREMI.

LONDINI
SUMPTIBUS RICHARDI PRIESTLEY
143, HIGH HOLBORN
MDCCCXXXVII.

Impressit R. Clay, Bread-street-hill.

## MONITUM.

---

Editionem, quam curavit Bremius, hæc ad apices repetit, præter interpretationes; quas enim ille scripserat Germanice, hic Anglice sunt conversæ.

# ΑΙΣΧΙΝΟΥ

## Ὁ ΚΑΤΑ

# ΚΤΗΣΙΦΩΝΤΟΣ ΛΟΓΟΣ.

## ὙΠΟΘΕΣΙΣ.

Κτησιφῶν ἔγραψε ψήφισμα στεφανῶσαι Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις τραγῳδῶν, ὅτι διατελεῖ τὰ ἄριστα καὶ λέγων καὶ πράττων τῷ δήμῳ τῶν Ἀθηναίων. τοῦτο τὸ ψήφισμα ἐγράψατο Αἰσχίνης παρανόμων, καὶ εἰσάγει κεφάλαια γενικὰ τρία, ἓν μέν, ὅτι ὑπεύθυνον ὄντα τὸν Δημοσθένην ἐστεφάνωσε, τοῦ νόμου κελεύοντος μὴ ἐξεῖναι ὑπεύθυνον ἄρχοντα στεφανοῦν, περὶ οὐσίας, δεύτερον δέ, ὅτι ἐν τῷ θεάτρῳ ἀνεκήρυξε τὸν στέφανον, ἀπαγορεύοντος τοῦ νόμου μηδένα στεφανοῦν ἐν τῷ θεάτρῳ, περὶ ποιότητος, τρίτον καὶ τελευταῖον, ὅτι καὶ τὰ ψευδῆ ἔγραψεν ἐν τῷ ψηφίσματι· οὐκ εἶναι γὰρ καλὸν καὶ ἀγαθὸν τὸν Δημοσθένην, οὐδὲ ἄξιον τοῦ στεφάνου. καὶ τοῦτο εἰς τὸ παράνομον ἀνακτέον, ἐπειδὴ καὶ νόμος ἐστὶν ὁ κωλύων τὰ ψευδῆ γράφειν ἐν τοῖς ψηφίσμασιν· ἔστι δὲ περὶ ποιότητος· ὑποφορὰς δὲ λαμβάνει τρεῖς, πρὸς μὲν τὸ πρῶτον διssῶς ἐροῦντος Δημοσθένους, ὅτι οὐκ ἦν ἄρχων, οὐδὲ ἔστιν ἀρχὴ ἡ τῶν τειχῶν οἰκοδομή, ἀλλὰ διακονία τις καὶ ἐπιμέλεια· εἰ δὲ καὶ ἀρχή, τῷ γε ἐπιδεδωκέναι ἐκ τῶν ἰδίων καὶ μηδὲν εἰληφέναι ἐκ τῆς πόλεως οὐκ ἦν ὑπεύθυνος· περὶ ποιότητος ἀμφότερα. πρὸς δὲ τοῦτο Αἰσχίνης εἰσάγει στοχαστικὸν κεφάλαιον, οὐ μέντοι κατασκευάζει· εἰ δὲ μὴ παρ' ἑαυτοῦ ἐπέδωκεν, ἀλλ' εἶχε παρὰ τῆς βουλῆς εἰς τοῦτο

δέκα τάλαντα, περὶ οὐσίας. πρὸς δὲ τὸ δεύτερον κεφάλαιον παρεχομένου Δημοσθένους νόμον ἕτερον, κελεύοντα ἀνακηρύττειν ἐν τῷ θεάτρῳ, ἂν ψηφίσηται ὁ δῆμος, Αἰσχίνης οὐ περὶ τῶν πολιτικῶν αὐτὸν εἶναί φησιν, ἀλλὰ περὶ τῶν ξενικῶν στεφάνων, περὶ οὐσίας. πρὸς δὲ τὸ τρίτον πολλὰ κατὰ μέρος. οἴεται δὲ τὸν Δημοσθένην εἰς τέσσαρας καιροὺς διῃρηκέναι τὴν ἀπολογίαν, τὰ πράγματα καθ' ἕκαστα εἰς τούτους μερίσαντα. πρῶτον μὲν οὖν φησιν εἶναι καιρὸν τοῦ πολέμου τοῦ πρώτου τοῦ πρὸς Φίλιππον περὶ Ἀμφιπόλεως γενομένου, δευτέρον δὲ τὸν τῆς εἰρήνης, τρίτον δὲ τὸν τοῦ πολέμου τοῦ δευτέρου καὶ τῆς περὶ Χαιρώνειαν ἥττης, τέταρτον δὲ τὸν παρόντα καιρὸν τὸν περὶ τῶν πρὸς Ἀλέξανδρον πολιτευμάτων. ἐν μὲν οὖν τῷ πρώτῳ αἴτιον αὐτόν φησι γεγονέναι τῆς εἰρήνης, αἰσχρᾶς οὔσης καὶ ἀδόξου, καὶ τοῦ μὴ μετὰ κοινοῦ τῶν Ἑλλήνων συνεδρίου τὴν πόλιν αὐτὴν πεποιῆσθαι· ἐν δὲ τῷ δευτέρῳ, ὅτι τὸν πόλεμον τὸν πρὸς Φίλιππον αὐτὸς παρεσκεύασεν· ἐν δὲ τῷ τρίτῳ, ὅτι τοῦ ἱεροῦ πολέμου καὶ τῶν περὶ Φωκέας συμβάντων αἴτιος ἐγένετο, καὶ τῆς ἥττης τῆς ἐν Χαιρωνείᾳ, πείσας μετὰ Θηβαίων ἀραμένους τὸν πόλεμον τὸν πρὸς Φίλιππον παρατάξασθαι· ἐν δὲ τῷ τελευταίῳ, ὅτι τὰ κατὰ τὸν Ἀλέξανδρον οὐκ ἐπολιτεύσατο. μετὰ ταῦτα καὶ τοῦ βίου παντὸς τοῦ Δημοσθένους κατηγορεῖ, καὶ δὴ καὶ Κτησιφῶντος ἐν ὀλίγοις, ἐν οἷς ἀξιοῖ αὐτὸν ὑπὲρ ἑαυτοῦ τὸν Κτησιφῶντα ἀπολογεῖσθαι. τὰ μὲν οὖν κεφάλαια ταῦτ' ἐστιν. ἐνίκα δὲ τὸν ἀγῶνα Δημοσθένης.

Μέμφονται μέντοι τινὲς τὸν Αἰσχίνην, ὅτι οὐκ ἐνδιέτριψεν ἐν τῷ παρανόμῳ, ἀλλὰ καὶ τῆς πολιτείας κατηγορεῖ τοῦ Δημοσθένους, καλῶς πεπολιτευμένου τοῦ ἀνδρός. αὐτὸς δὲ τοὐναντίον τούτῳ μάλιστα ἰσχυρίζεται, λέγων οὕτως "ἔστι δ' ὑπόλοιπον μέρος τῆς κατηγορίας, ἐφ' ᾧ μάλιστα σπουδάζω· τοῦτο δ' ἐστὶν ἡ πρόφασις, δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι." μήποτε δὲ ἄριστα τοῦτο ἔπραξεν· ἐπειδὴ γὰρ εἶχε δόξαν μεγάλην παρὰ πᾶσι καὶ ὑπόληψιν ὁ Δημοσθένης ὡς λαμπρότατα πεπολιτευμένος, εἰκότως ᾠήθη ψυχροὺς καὶ οὐδενὸς ἀξίους φανήσεσθαι τοὺς περὶ τῶν παρανόμων λόγους, εἰ μὴ δόξαν αὐτοῖς ἐμποιήσει τὴν ἐναντίαν, ὡς ἄρα ὁ Δημοσθένης

κακόνους ἐστὶ τῷ δήμῳ καὶ αἰσχρῶς καὶ ἐπιμέμπτως πεπολίτευται. διὰ τοῦτο ἐσπούδασε περὶ τοῦτο μάλιστα, καὶ ἐν τούτῳ τῷ μέρει τῆς κατηγορίας τὸ πλεῖστον ἐνδιέτριψε. μέμψαιτο δ' ἄν τις τὸ προοίμιον ὡς τραγικὸν καὶ περιττὸν καὶ ἐπιλόγῳ μᾶλλον ἐοικός.

Ἡ στάσις τοῦ λόγου ἐστὶ πραγματικὴ ἔγγραφος, ὥσπερ καὶ ἡ τοῦ ὑπὲρ τοῦ στεφάνου. τὰ δὲ κεφάλαια δηλονότι τῆς πραγματικῆς περιέχει ἅπερ καὶ ἐκεῖ, οἷον τὸ νόμιμον τεμνόμενον εἰς τρεῖς νόμους, τὸ δὲ δίκαιον εἰς τέσσαρας καιρούς. ὅρα δὲ, πῶς ἐπιλογικῶς ἤρξατο ἀπὸ συνηγόρων ἐκβολῆς, ὥσπερ καὶ Δημοσθένης.

ινὲς εἶπον, ὅτι οὐκ ἔχει κατασκευὴν τὸ προοίμιον· οὐκοῦν οὐδὲ συμπέρασμα δεῖ ζητεῖν. ἀλλ' οὐκ ἔστιν ἀκατάσκευον· ἔστι γὰρ αὐτοῦ κατασκευὴ "ὑπὲρ τοῦ τὰ μέτρια καὶ τὰ συνήθη μὴ γίνεσθαι ἐν τῇ πόλει." εἰ γὰρ ἡ αἰτία τῆς προτάσεώς ἐστιν ἡ κατασκευή, διὰ δὲ τὸ τὰ μέτρια μὴ γίνεσθαι ἐν τῇ πόλει αἱ δεήσεις, κατασκευὴ ἂν εἴη. ἔχει δὲ καὶ συμπέρασμα, "ἐγὼ δὲ πεπιστευκὼς ἥκω" ἕως τοῦ "μεῖζον τῶν νόμων καὶ τῶν δικαίων."

# ÆSCHINIS

## ORATIO ADVERSUS CTESIPHONTEM.

---

1. ΤΗΝ μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν παράταξιν, ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνταί τινες ὑπὲρ τοῦ τὰ μέτρια καὶ τὰ συνήθη μὴ γίγνεσθαι ἐν τῇ πόλει· ἐγὼ δὲ πεπιστευκὼς ἥκω πρῶτον μὲν τοῖς θεοῖς, δεύτερον δὲ τοῖς νόμοις καὶ ὑμῖν, ἡγούμενος οὐδεμίαν παρασκευὴν μεῖζον ἰσχύειν παρ' ὑμῖν τῶν νόμων καὶ τῶν δικαίων. 2. ἐβουλόμην μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν βουλὴν, τοὺς πεντακοσίους, καὶ τὰς ἐκκλη-

1. *παρασκευὴν—καὶ—παράταξιν*] Vocabula desumta ex re militari. Παρασκευή enim dicitur de *apparatu bellico; παράταξις* de *acie.* Vituperarunt technicorum nonnulli hoc prooemium, statuentes tropos parum recte in prooemiis adhiberi. Non tamen primus Æschines in prooemio hoc tropo usus est. *Andocides* Περὶ τῶν *μυστ.* p. 1. *τὴν μὲν παρασκευὴν καὶ τὴν προθυμίαν τῶν ἐχθρῶν τῶν ἐμῶν... σχεδόν τι πάντες ἐπίστασθε. Lysias* Πρὸς Σίμ. § 2. *δρῶν, ὅτι καὶ παρασκευαὶ καὶ τύχαι ἐνίοτε τοιαῦται γίνονται.*

*τὰς κατὰ τὴν ἀγορὰν δεήσεις*] Quomodo hæc intelligenda sint, apparet ex narratione Livii v.c. L. III. 14. "benigne salutare, alloqui plebis homines, domum invitare, adesse in foro—permulcendo tractandoque mansuefacere plebem."

*τὰ μέτρια καὶ τὰ συνήθη*] Alterum *τά* tres codices, sed, ut ejusdem familiæ, plerumque pro uno censendi, omittunt; quod non probandum. Nam, omisso articulo, *συνήθη* tanquam explicativum additum foret antecedenti *μέτρια.* Sed *τὰ συνήθη* diversæ significationis epitheton est. Τὰ *μέτρια* ipsam rei naturam spectat, et quasi terminus technicus est. *Thucyd.* II. 35. Pericles *χαλεπὸν γάρ,* inquit, *τὸ μετρίως εἰπεῖν* et uberius exponit qua re; *τὰ συνήθη* id, quod *ἔθος* sit civitatis, quid sit in usu: *τὸ ἐξ ἴσου ἀκροᾶσθαι καὶ μηδὲν παρὰ τὸ δίκαιόν τινι χαρίζεσθαι.*

*δεύτερον δὲ*] Iidem codices *ἔπειτα δεύτερον.* Utrumque Æschini usitatum. Retinui igitur, quod plurimis codicibus nititur. Κατὰ Τιμ. § 170. p. 116. meæ ed. *πρῶτον μὲν τῶν ὅρκων ἕνεκεν, οὓς ὠμόσατε, δεύτερον δὲ ὑπὲρ τοῦ μὴ παρακρουσθῆναι ὑπὸ ἀνθρώπου τεχνίτου λόγων.* Περὶ *παραπ.* § 26. p. 151. meæ ed. § 180. p. 254. meæ ed. Infra § 64. s. 91. 169. Ceterum in libera republica interdum leges et cives tanquam conjuncti et una res spectantur; nulla enim salus civibus sine legibus, unaque et vera libertas in legum custodia.

2. *τὴν βουλήν, τοὺς πεντακοσίους*] Interdum appositio determinativa, præsertim numeralis, eodem casu nomini apponitur, quum plerumque genitivo jungatur. Iterum § 20. *πάλιν τὴν βουλὴν, τοὺς πεντακοσίους, ὑπεύθυνον πεποίηκεν ὁ νομοθέτης.* § 4. *ἡ προεδρεύουσα φυλή, τὸ δέκατον μέρος τῆς πόλεως. Lysias* Κατὰ Ἀγορ.

σίας ὑπὸ τῶν ἐφεστηκότων ὀρθῶς διοικεῖσθαι, καὶ τοὺς νόμους, οὓς ἐνομοθέτησεν ὁ Σόλων περὶ τῆς τῶν ῥητόρων εὐκοσμίας, ἰσχύειν, ἵνα ἐξῇ πρῶτον μὲν τῷ πρεσβυτάτῳ τῶν πολιτῶν, ὥσπερ οἱ νόμοι κελεύουσι, σωφρόνως ἐπὶ τὸ βῆμα παρελθόντι ἄνευ θορύβου καὶ ταραχῆς ἐξ ἐμπειρίας τὰ βέλτιστα τῇ πόλει συμβουλεύειν, δεύτερον δ' ἤδη καὶ τῶν ἄλλων πολιτῶν τὸν βουλόμενον καθ' ἡλικίαν χωρὶς καὶ ἐν μέρει περὶ ἑκάστου γνώμην ἀποφαίνεσθαι· οὕτω γὰρ ἄν μοι δοκεῖ ἥ τε πόλις ἄριστα διοικεῖσθαι αἵ τε κρίσεις ἐλάχισται γίγνεσθαι. 3. ἐπειδὴ δὲ πάντα τὰ πρότερον ὡμολογημένα καλῶς ἔχειν νυνὶ καταλέλυται, καὶ γράφουσί τινες ῥᾳδίως παρανόμους γνώμας, καὶ ταῦτα ἕτεροί τινες τὰ ψηφίσματα ἐπιψηφίζουσιν, οὐκ ἐκ τοῦ δικαιοτάτου τρόπου λαχόντες προεδρεύειν, ἀλλ' ἐκ παρασκευῆς καθεζόμενοι, ἐὰν δέ τις τῶν ἄλλων βουλευτῶν ὄντως λάχῃ κληρούμενος προεδρεύειν καὶ τὰς ὑμετέρας χειροτονίας ὀρθῶς ἀναγορεύῃ, τοῦτον οἱ τὴν πολιτείαν οὐκέτι κοινήν, ἀλλ' ἰδίαν αὑτῶν ἡγούμενοι εἶναι ἀπειλοῦσιν εἰσαγ-

2. ἐλάχισται γίγνεσθαι] Sic Bekkerus sine varietate pro vulgato ἐλάχιστα: quod adverbium locum habere non videtur. Adverbium enim cum verbo γίνεσθαι junctum nonnisi modum indicat, quo quid fiat; contra si γίνεσθαι sit enuntiationis copula, prædicatum per adjectivum est exprimendum. Sensus est: ex quo oratores novi, adolescentuli, populum in vana et injusta abripiunt, multitudo litium erumpit: quæ non erumperet, si sobrii et prudentes homines rempublicam gubernarent. Bekkerus: "Fortasse legendum τάχιστα." Nondum persuadere mihi possum, adverbium adjectivi instar adjungi posse verbo εἶναι similibusque. Equidem in vulgata acquiesco, quanquam non damnanda conjecturæ sententia. Et in ipso ἐλάχισται non solum paucitatis, sed etiam brevitatis notio inesse potest.

3. ἀλλ' ἰδίαν] Quattuor codices ἀλλ' ἤδη ἰδίαν: quod non spernendum videtur. Sic enim oppositio fortior cum antecedente οὐκέτι. Frequens hæc est apud Æschinem. Κατὰ Τιμ. § 18. p. 26. meæ ed. οὐκέτι ἑτέρῳ διαλέγεται, ἀλλ' ἤδη αὑτῷ. Περὶ παραπρ. § 72. p. 175. meæ ed. οὐκέτι ὑπὲρ Ἀμφιπόλεως πρὸς ἡμᾶς ἠγωνίζετο, ἀλλ' ἤδη περὶ Λήμνου. Infra § 132.

§ 35. ὁ δὲ δῆμος ἐν τῷ δικαστηρίῳ ἐν δισχιλίοις ἐψηφίσατο. Lenior est ea verborum collocatio, quam habemus apud *Andoc.* Περὶ τῆς ἑαυτοῦ καθ. p. 84. τὰ δὲ μέλλοντά τε καὶ ἤδη πραττόμενα ἄνδρες ὑμῶν πεντακόσιοι ἐν ἀπυῤῥήτῳ ἴσασιν, ἡ βουλή. Cf. *Matthiæ*, Gr. Gr. § 433. 4.

ἵνα ἐξῇ] Bekkerus "aptius fortasse ἐξῆν," quod a MSS. oblatum recepissem. Nam cum imperfecto indicativi ἵνα construitur, quum, quem quis propositum habebat finem, non assecutus est. Cf. *Rost.* Gr. Gr. § 122. 12. Hic tamen post ἐβουλόμην—ἰσχύειν conjunctivus, finem in universum indicans, non ineptus.

τὸν βουλόμενον] Scaliger conjicit τῷ βουλομένῳ, constructione antecedenti accommodata. Sed constructionis est variatio. Ut enim ἔξεστι cum dativo, sequente infinitivo, construi potest, sic accusativus potest infinitivo adjungi. Ejusmodi autem variationes frequentes. Cf. *Duker.* ad Thucyd. II. 36. et *Elmsley* ad Eurip. Heracl. 7.

3. ταῦτα] Marklandus conjicit τοιαῦτα. Sed ταῦτα acerbius respicit hoc ipsum, quod tulerat psephisma Ctesiphon, de quo nunc agitur.

χειροτονίας—ἀναγορεύῃ] Hoc epistatæ erat, qui, quum porrectæ manus, quantum fieri poterat, dinumeratæ essent a præcone, pronuntiabat ut ratum, quod plures jusserant. Cf. *Schœmann.* de Comit. p. 124. s.

γέλλειν, καταδουλούμενοι τοὺς ἰδιώτας καὶ δυναστείας ἑαυτοῖς περιποιοῦντες. 4.† καὶ τὰς κρίσεις τὰς μὲν ἐκ τῶν νόμων καταλελύκασι, τὰς δ' ἐκ τῶν ψηφισμάτων μετ' ὀργῆς κρίνουσιν, σεσίγηται μὲν τὸ κάλλιστον καὶ σωφρονέστατον κήρυγμα τῶν ἐν τῇ πόλει "τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων καὶ πάλιν ἐν μέρει τῶν ἄλλων Ἀθηναίων," τῆς δὲ τῶν ῥητόρων ἀκοσμίας οὐκέτι κρατεῖν δύνανται οὔθ' οἱ νόμοι οὔθ' οἱ πρυτάνεις οὔθ' οἱ πρόεδροι οὔθ' ἡ προεδρεύουσα φυλή, τὸ δέκατον μέρος τῆς πόλεως.† 5. τούτων δ' ἐχόντων οὕτως, καὶ τῶν καιρῶν ὄντων τῇ πόλει τοιούτων, ὁποίους τινὰς αὐτοὺς ὑμεῖς ὑπολαμβάνετε εἶναι, ἓν ὑπολείπεται μέρος τῆς πολιτείας, εἴ τι κἀγὼ τυγχάνω γιγνώσκων, αἱ τῶν παρανόμων

4. κρίνουσιν, σεσίγηται] Sic Bekkerus sine varietate pro vulgato κρίνουσι· σεσ. Videntur prosaici scriptores accuratiores ante majorem interpunctionem, vel si aliquo modo vocabulum a sequentibus separare vellent, ν paragogicum addidisse; et Coræs, qui in Isocrate hanc literam semper exterminatam volebat, non tamen, quamvis diligens, constare sibi potuit. Eadem fere dicenda de οὕτω et οὕτως. Equidem opinor codices MSS. esse sequendos, si οὕτως ante consonam offerant, quando significat *hoc modo, sic*; οὕτω vero ante consonam scribendum esse, si gradum denotans cum adjectivo vel adverbio, in quo ipsa qualitatis notio inest, in unam quasi notionem confluat.

5. ὁποίους τινὰς] Τινάς addidit Bekkerus ex plurimis codicibus. Pronomen indefinitum relativis additum significat *tandem* et sæpe, ut hic, vim auget: *quum civitatis discrimen sit tantum, quantumcunque tandem animo concipitis.* Hæc quidem est hominum consuetudo, ut suam quisque ætatem aut corruptissimam aut ingenio et virtute præstantissimam judicet.

εἰσαγγέλλειν] Reiskius ex solo Bern., qui correctricem manum expertus est, dedit εἰσαγγελεῖν. Bekkerus ex uno tantum codice memorat εἰσαγγέλειν, quod idem est cum εἰσαγγέλλειν. Solent enim librarii pro duplice λλ sæpissime simplex scribere. Præsens et aoristus apud optimos scriptores sæpe ponuntur post verba, quæ notionem rei futuræ involvunt. De hac re accuratissime egit *Lobeckius* in Parergis ad Phryn. p. 745. ss. cf. infra § 165.

4. καὶ τὰς κρίσεις] Κρίσις hic est modus ac ratio, qua caussa in foro agitatur, ab initio usque ad sententiæ pronuntiationem: *The course of the proceedings*; καὶ autem est *adeo*; liberis enim judiciis in rebus publicis cavetur, ne violentia et importunitas ingruat.

μετ' ὀργῆς] Ὀργή non *iram* solum denotat, sed omnes animi affectus complectitur: *ad libitum.*

οὔθ' οἱ πρόεδροι] Desunt hæc in Mead. Et fortasse quis hæc opinetur melius omitti ob sequentia. Sed πρόεδροι non sunt confundendi cum προεδρεύουσα φυλή. Πρόεδροι sunt deni e Prytanibus ad septenos dies sorte creati, per id tempus totius senatus principes ac præsides, unde etiam nomen traxerunt. Diversa ab his est ἡ προεδρεύουσα φυλή, delecta ex tribubus μὴ πρυτανευούσαις, quæ in gradibus suggestus, qui pro subselliis erant, præsideret, bonamque rerum omnium disciplinam tueretur.

5. ἓν—μέρος τῆς πολιτείας] Μέρος, ut Latinorum *pars*, idem fere est, quod vulgo dicitur *genus, forma*; ἡ πολιτεία *civilis ratio*, qua quis reipublicæ perniciem avertere, et quantum fieri possit, ejus salutem stabilire queat.

αἱ τῶν παρανόμων γραφαί] "Si quis in psephismate ad populum lato videbatur aliquid animadvertisse, quod veteribus legibus contrarium, aut a bono publico alienum esset, aut alio nomine juste reprehendi posset, ei, si psephismatis auctorem mendaciorum et fraudium convincere se posse arbitrabatur, licebat assurgere, et male rogatæ legis postulaturum se esse latorem coram populo profiteri et jure jurando interposito affirmare." Uberius hæc exposuit *F. A. Wolfius* in Prolegg. ad Lept. p. cxxxvii. sqq. *Schœmann* de Comit. L. II. c. 2.

γραφαί. εἰ δὲ καὶ ταύτας καταλύσετε, ἢ τοῖς καταλύουσιν ἐπιτρέψετε, προλέγω ὑμῖν, ὅτι λήσετε κατὰ μικρὸν τῆς πολιτείας τισὶ παραχωρήσαντες. 6. εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι τρεῖς εἰσι πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς καὶ ὀλιγαρχία καὶ δημοκρατία· διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δε πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. μηδεὶς οὖν ὑμῶν τοῦτ' ἀγνοείτω, ἀλλὰ σαφῶς ἕκαστος ἐπιστάσθω, ὅτι, ὅταν εἰσίῃ εἰς δικαστήριον γραφὴν παρανόμων δικάσων, ἐν ταύτῃ τῇ ἡμέρᾳ μέλλει τὴν ψῆφον φέρειν περὶ τῆς ἑαυτοῦ παῤῥησίας. διόπερ καὶ ὁ νομοθέτης τοῦτο πρῶτον ἔταξεν ἐν τῷ τῶν δικαστῶν ὅρκῳ, "ψηφιοῦμαι κατὰ τοὺς νόμους," ἐκεῖνό γε εὖ εἰδὼς, ὅτι, ὅταν διατηρηθῶσιν οἱ νόμοι τῇ πόλει, σώζεται καὶ ἡ δημοκρατία. 7. ἃ χρὴ διαμνημονεύοντας ὑμᾶς μισεῖν τοὺς τὰ παράνομα γράφοντας, καὶ μηδὲν ἡγεῖσθαι μικρὸν εἶναι τῶν τοιούτων ἀδικημάτων, ἀλλ' ἕκαστον ὑπερμέγεθες, καὶ τοῦθ' ὑμῶν τὸ δίκαιον μηδένα ἀνθρώπων ἐξαιρεῖσθαι, μήτε τὰς τῶν στρατηγῶν συνηγορίας, οἳ ἐπὶ πολὺν ἤδη χρόνον συνεργοῦντές τισι τῶν ῥητόρων λυμαίνονται τὴν πολιτείαν, μήτε τὰς τῶν ξένων δεήσεις, οὓς

*τισὶ*] Non erat, cur Taylor mallet *τουτοισί*. Pronomen enim indefinitum sæpe per contemtum de adversariis ponitur, quos tanquam improbissimos et reipublicæ perniciosissimos notare volunt. Malignitas quædam in pronomine inest.

6. *εἰσίῃ εἰς δικαστήριον γραφὴν παρανόμων δικάσων*] Εἰσιέναι hic dicitur de *judicibus*, ut *εἰσελθεῖν*. Usurpatur alibi etiam de *reis*; quin etiam *γραφή* dicitur *εἰσιέναι*, quod annoto propter lectionem, hoc quidem loco aperte corruptam, ed. Ald. quæ habet *γραφή* pro *γραφήν*.

*παῤῥησίας*] Παῤῥησία sensu civili interdum dicitur *libertas in populi concione verba faciendi*. Κατὰ Τιμαρχ. § 14. p. 24. meæ ed. *σκέψασθε δὲ, ὡς καλῶς, ὦ Ἀθηναῖοι, (ὁ νομοθέτης) ζῶντος μὲν αὐτοῦ (πατρὸς ἐκμισθώσαντος τὸν παῖδα ἑταιρεῖν) ἀφαιρεῖται τὴν ὄνησιν τῆς παιδοποιΐας, ὥσπερ ἐκεῖνος τοῦ παιδὸς τὴν π α ῤ ῥ η σ ί α ν.* *Demosthenes* Κατὰ Νεαίρ. p. 1353. l. 27. *καίτοι πῶς οὐκ οἴεσθε δεινὸν εἶναι, εἰ τοὺς μὲν φύσει πολίτας—ἀπεστέρηκε τῆς παῤῥησίας Στέφανος.* Κατὰ Μειδ. p. 58. § 26. Buttm. respiciens ad *ἄτιμον*: *ἕστηκε νῦν σιωπῇ, οὐ μόνον τῶν ἄλλων ἀγαθῶν τῶν κοινῶν ἀπεστερημένος, ἀλλὰ καὶ τοῦ φθέγξασθαι καὶ ὀδύρασθαι*: quæ est ejusdem notionis periphrasis.

7. *μηδένα ἀνθρώπων ἐξαιρεῖσθαι*] Reiske ex cod. Askew, scripsit *μηδένα ἐᾶν ἀνθρώπων ἐξαιρεῖσθαι*. Facile quidem *ἐᾶν* excidere potuisse inter ea, quæ antecedunt et sequuntur, nemo negabit. Hujus tamen notionis expressa significatio nobis magis quam veteribus videtur esse necessaria. Concedendi enim et prohibendi notionem antiqui supprimunt, quum ea se ex contextu sponte animo offerat. Quid notius ellipsi, quam dicunt, verbi *σκοπεῖν* et *φυλάττεσθαι* ante *ὅπως* et *ὅπως μή*? Præsertim id fit, quum in ipsa enuntiatione vocabulum sit, quod ejusmodi notionem jam involvat, ut hoc loco *μηδένα*.

*τὰς τῶν στρατηγῶν συνηγορίας*] Sæpe accusant oratores *τοὺς στρατηγούς*, quod tantum absit, ut reipublicæ hostes foris devincant, ut, otiosi domi manentes, seditiosorum consilia adjuvent otiumque et libertatem reipublicæ perturbent.

*τῶν ξένων*] Intelligit potentes et divites ex aliis civitatibus, quos producebant rei, ut testes essent, quam bene de se suisque civitatibus atque etiam in commodum

ἀναβιβαζόμενοί τινες ἐκφεύγουσιν ἐκ τῶν δικαστηρίων, παράνομον πολιτείαν πολιτευόμενοι· ἀλλ' ὥσπερ ἂν ὑμῶν ἕκαστος αἰσχυνθείη τὴν τάξιν λιπεῖν, ἣν ἂν ταχθῇ ἐν τῷ πολέμῳ, οὕτω καὶ νῦν αἰσχύνθητε ἐκλιπεῖν τὴν τάξιν, ἣν τέταχθε ὑπὸ τῶν νόμων, φύλακες τῆς δημοκρατίας τήνδε τὴν ἡμέραν. 8. κἀκεῖνο δὲ χρὴ διαμνημονεύειν, ὅτι νῦν ἅπαντες οἱ πολῖται, παρακαταθέμενοι τὴν πόλιν ὑμῖν καὶ τὴν πολιτείαν διαπιστεύσαντες, οἱ μὲν πάρεισι καὶ ἐπακούουσι τῆσδε τῆς κρίσεως, οἱ δὲ ἄπεισιν ἐπὶ τῶν ἰδίων ἔργων· οὓς αἰσχυνόμενοι, καὶ τῶν ὅρκων, οὓς ὠμόσατε, μεμνημένοι καὶ τῶν νόμων, ἐὰν ἐξελέγξωμεν Κτησιφῶντα καὶ παράνομα γράψαντα καὶ ψευδῆ καὶ ἀσύμφορα τῇ πόλει, λύετε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς παρανόμους γνώμας, βεβαιοῦτε τῇ πόλει τὴν δημοκρατίαν, κολάζετε τοὺς ὑπεναντίως τοῖς νόμοις καὶ τῇ πόλει καὶ τῷ συμφέροντι τῷ ὑμετέρῳ πολιτευομένους. κἂν ταύτην ἔχοντες τὴν διάνοιαν ἀκούητε τῶν μελλόντων ῥηθήσεσθαι λόγων, εὖ οἶδ' ὅτι, δίκαια καὶ εὔορκα καὶ συμφέροντα ὑμῖν αὐτοῖς ψηφιεῖσθε καὶ πάσῃ τῇ πόλει.

7. τήνδε τὴν ἡμέραν] Reiskius dederat ex Helmst. εἰς τήνδε τὴν ἡμέραν, præpositioque adest etiam in quinque Bekkeri codicibus. Præfero tamen accusativum sine præpositione, jungendum cum vocabulis τὴν τάξιν, ἣν τέταχθε: quod est multo significantius, quam si præpositio terminum significat, ad quem. *Hoc die*, non *usque ad hunc diem*.

8. τοῖς νόμοις] Sic habent Ask. Helmst. et quattuor Bekkeri codd. Usitatissimus est oratoribus pluralis οἱ νόμοι vel de universa legislatione vel de singulis legibus. Taylor infra § 21. pro τῶν νόμων reponi voluit τοῦ νόμου: quo minime opus. Nam ad § 41. verba προειπὼν ὧν ἕνεκα οἱ νόμοι ἐτέθησαν annotat Scholiastes: πάλιν πληθυντικῶς εἶπεν ἀντὶ ἑνικοῦ. Quid? quod orator in universum adhortatur judices, ut periculum avertant, quod immineat civitati et legibus.

ἀκούητε] Sic Bekkerus e quattuor codicibus pro vulgato ἀκούοιτε. Septem aoristum habent ἀκούσητε: quic nec ipse damnandus, significationem habens futuri exacti, cui respondet in apodosi futurum actionis durantis, hic εὖ οἶδ' ὅτι ψηφιεῖσθε. Præsens tamen peraptum, tum propter participium ἔχοντες τὴν διάνοιαν, tum ut mite monitum continuam adhibendam esse attentionem.

ὑμῖν αὐτοῖς—καὶ πάσῃ τῇ πόλει] Bekkerus scripserat in editione Halensi ὑμῖν τ' αὐτοῖς: parum recte. Nam ὑμῖν αὐτοῖς et πάσῃ τῇ πόλει non sunt res diversæ, quibus idem tribuatur prædicatum; sed πάσῃ τῇ πόλει nonnisi amplificat notionem

Atheniensium meruerint ii, qui accusabantur. Novimus ex Cornelii Nepotis Timotheo IV. 3, Jasonem tyrannum, qui in patria sine satellitibus se tutum arbitratus non sit, Athenas sine ullo præsidio venisse, ut ne deesset Timotheo de fama dimicanti.

τὴν τάξιν λιπεῖν] Perstringit Demosthenem, cui crimen λειποταξίου jam Περὶ παραπρ. § 148. p. 226. meæ ed. objecit.

φύλακες] Munus quasi indicatur, quod ipsis sit demandatum, ὥστ' εἶναι φύλακας.

8. παρακαταθέμενοι τὴν πόλιν ὑμῖν] Quod sequitur, est explicativum τὴν πολιτείαν διαπιστεύσαντες. Librariorum nonnulli, offensi verbo composito raro, dederunt simplex πιστεύσαντες.

οἱ δὲ ἄπεισιν ἐπὶ τῶν ἰδίων ἔργων] Hi magis etiam confidunt judicum probitate et fide.

9. Περὶ μὲν οὖν τῆς ὅλης κατηγορίας μετρίως μοι ἐλπίζω προειρῆσθαι· περὶ δὲ αὐτῶν τῶν νόμων, οἳ κεῖνται περὶ τῶν ὑπευθύνων, παρ' οὓς τὸ ψήφισμα τοῦτο τυγχάνει γεγραφὼς Κτησιφῶν, διὰ βραχέων εἰπεῖν βούλομαι. ἐν γὰρ τοῖς ἔμπροσθεν χρόνοις ἄρχοντές τινες τὰς μεγίστας ἀρχὰς καὶ τὰς προσόδους διοικοῦντες, καὶ δωροδοκοῦντες περὶ ἕκαστα τούτων, προσλαμβάνοντες τούς τε ἐκ τοῦ βουλευτηρίου ῥήτορας καὶ τοὺς ἐκ τοῦ δήμου πόῤῥωθεν, προκατελάμβανον τὰς εὐθύνας ἐπαίνοις καὶ κηρύγμασιν, ὥστ' ἐν ταῖς εὐθύναις τῶν ἀρχῶν εἰς τὴν μεγίστιν μὲν ἀπορίαν ἀφικνεῖσθαι τοὺς κατηγόρους, πολὺ δὲ ἔτι μᾶλλον τοὺς δικαστάς. 10. πολλοὶ γὰρ πάνυ τῶν ὑπευθύνων, ἐπ' αὐτοφώρῳ κλέπται τῶν δημοσίων χρημάτων ὄντες ἐξελεγχόμενοι, διεφύγγανον ἐκ τῶν δικαστηρίων· εἰκότως· ᾐσχύνοντο γάρ, οἶμαι, οἱ δικασταί, εἰ φανήσεται ὁ αὐτὸς ἀνὴρ ἐν τῇ αὐτῇ πόλει, τυχὸν δὲ καὶ ἐν τῷ αὐτῷ ἐνιαυτῷ, πρώην

τοῦ ὑμῖν αὐτοῖς. Sæpe quidem legitur τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, ut apud *Demosth.* Περὶ στεφ. p. 225. qua formula et tota civitas et singuli cives respiciuntur.

9. τῶν ἀρχῶν] Sic tres codices pro vulgato τῶν ἀρχόντων. Quum vocabulo εὐθύνη genitivus muneris, cujus ratio redditur, non hominis, qui munus gesserat, addi soleat, ἀρχῶν erat præferendum. § 11. fin. ἐπειδὰν λόγον καὶ εὐθύνας τῆς ἀρχῆς δῷ. *Demosthenes* Περὶ στεφ. p. 308. στρατηγίας ἐμὲ εὐθύνας ἀπαιτεῖς. Περὶ παραπρ. p. 367. τοῦτο γάρ εἰσι πρεσβείας εὐθῦναι.

9. προσλαμβάνοντες] Hoc vocabulum Reiskius ut spurium uncis inclusit: perperam. Ex hoc enim pendet qui sequitur accusativus τοὺς ῥήτορας: *in auxilium vocantes oratores.* Num de industria προσλαμβάνοντες et προκατελάμβανον in eadem enuntiatione conjunxerit, non decernam.—Duplex genus ῥητόρων hic memoratur, οἱ ἐκ τοῦ βουλευτηρίου et οἱ ἐκ τοῦ δήμου. Illi videntur esse, qui ipsi senatores, quum res a senatu deliberatas proponerent, loquebantur; hi, qui surgerent pro ordine ex populo.

10. κλέπται — ὄντες ἐξελεγχόμενοι] Ὄντες valet *re vera.* Hæc frequens est hujus participii significatio, nec erat a viris doctis in dubium vocanda. Ἐλέγχεται κλέπτης Græcis non idem est et ἐλέγχεται κλέπτης ὤν. Sic etiam aliorum verborum, quæ participium loco infinitivi junctum sibi habent, participium cum participio jungitur. *Demosthenes* Κατὰ Τιμοκρ. p. 735. καὶ τῷ πλήθει τῷ ὑμετέρῳ .... τῷ ἀπειρηκότι τὰ ἑαυτοῦ χρήματα εἰσφέροντι, ubi Lambinus de veritate lectionis dubitabat. Sed quum ἀπείρηκα cum participio construatur, ἀπείρηκα εἰσφέρων, etiam cum participio ἀπειρηκώς alterum participium jungi potest.—Ab hoc longe diversa est participii ὤν cum alio participio conjunctio, ubi ὤν copulæ vim habet, et alterum participium adjectivi vel substantivi vicem gerit. *Porsonus* ad Euripidis Hecubam, v. 562. "rarissima, inquit, participii substantivi cum alio participio conjunctio." Nec vero tam rara est, quam opinatus esse videtur vir doctissimus, sed haud raro a viris doctis addubitata. *Xenoph.* Sympos. VIII. 2. Κριτόβουλός γε μήν, καὶ ἐρώμενος ὤν, ἤδη ἄλλων ἐπιθυμεῖ: ubi Schneiderus, imprimis mihi, inquit, ὤν post ἐρώμενος displicet. Sine caussa. Ἐρώμενος, substantivi loco positum, *habitum* indicat, nec unam solam conditionem spectat. Hellen. I. 2, 2. ἐκ δὲ τῆς Μιλήτου βοηθήσαντές τινες τοῖς Πυγελεῦσι, διεσπαρμένους ὄντας τῶν Ἀθηναίων τοὺς ψιλοὺς ἐδίωκον. II. 1, 28. διεσκεδασμένων δὲ τῶν ἀνθρώπων ὄντων, αἱ μὲν τῶν νεῶν δίκροτοι ἦσαν, αἱ δὲ μονίκροτοι, ubi ὄντων delendum censuerunt Stephanus et Leonclavius. Infra § 162. ὁ νεανίσκος ἑτέρων τὴν ὄψιν διαφέρων γενόμενος. ubi varia tentarunt viri docti.

μὲν ποτε ἀναγορευόμενος ἐν τοῖς ἀγῶσιν, ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης ὑπὸ τοῦ δήμου χρυσῷ στεφάνῳ, ὁ δὲ αὐτὸς ἀνὴρ, μικρὸν ἐπισχὼν, ἔξεισιν ἐκ τοῦ δικαστηρίου, κλοπῆς ἕνεκα τὰς εὐθύνας ὠφληκώς· ὥστε ἠναγκάζοντο τὴν ψῆφον φέρειν οἱ δικασταὶ οὐ περὶ τοῦ παρόντος ἀδικήματος, ἀλλ' ὑπὲρ τῆς αἰσχύνης τοῦ δήμου. 11. κατιδὼν δέ τις ταῦτα νομοθέτης τίθησι νόμον καὶ μάλα καλῶς ἔχοντα, τὸν διαῤῥήδην ἀπαγορεύοντα τοὺς ὑπευθύνους μὴ στεφανοῦν. καὶ ταῦτα οὕτως εὖ προκατειληφότος τοῦ νομοθέτου, εὕρηνται λόγοι κρείττονες τῶν νόμων, οὓς εἰ μή τις ὑμῖν ἐρεῖ, λήσετε ἐξαπατηθέντες. τούτων γάρ τινες τῶν τοὺς ὑπευθύνους στεφανούντων παρὰ τοὺς νόμους οἱ μὲν φύσει μέτριοί εἰσιν, εἰ δή τίς ἐστι μέτριος τῶν τὰ παράνομα γραφόντων· ἀλλ' οὖν προβάλλονταί γέ τι πρὸ τῆς αἰσχύνης. προσεγγράφουσι γὰρ πρὸς τὰ ψηφίσματα στεφανοῦν τὸν ὑπεύθυνον, ἐπειδὰν λόγον καὶ εὐθύνας τῆς ἀρχῆς δῷ. 12. καὶ ἡ μὲν πόλις τὸ ἴσον ἀδίκημα ἀδικεῖται· προκαταλαμβάνονται γὰρ ἐπαίνοις καὶ στεφάνοις αἱ εὐθῦναι· ὁ δὲ τὸ ψήφισμα γράφων ἐνδείκνυται τοῖς ἀκούουσιν, ὅτι γέγραφε μὲν παράνομα, αἰσχύνεται δὲ ἐφ' οἷς ἡμάρτηκε. Κτησιφῶν δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπερπηδήσας τὸν νόμον τὸν περὶ τῶν ὑπευθύνων κείμενον, καὶ τὴν πρόφασιν, ἣν ἐγὼ ἀρτίως προεῖπον ὑμῖν, ἀνελὼν, πρὶν λόγον, πρὶν εὐθύνας δοῦναι, γέγραφε μεταξὺ Δημοσθένην ἄρχοντα στεφανοῦν.

11. *λόγοι κρείττονες*] Hanc verborum collocationem recepi ex tribus codicibus. Vulgo *κρείττονες λόγοι*. Sed oppositio fit fortior substantivo præposito, et perversa agendi ratio acerbius notatur. Bekkerus ex uno codice scripsit *κρείττους*. Equidem in his terminationibus a MSS. standum esse arbitror.

*οἱ μὲν φύσει μέτριοί εἰσιν*] Fortasse scribendum *οἳ μέν* cet. ut sit determinatio ad *τινές*: *quidam, qui quidem natura sunt æquiores*; verbum, ad quod referendum est *τινές*, est *προβάλλονται*, cui *ἀλλ' οὖν* præponitur, sequente *γε* ut limitante: *aliquid saltem mitigandi caussa adjiciunt*. cf. infra § 86. Si tamen, quod præferendum videtur, *οἱ μέν* oppositum intelligas vocabulis *Κτησιφῶν δέ*, id minime mutandum.

*μέτριος τῶν*] Vulgo *μέτριος ἐπὶ τῶν*. Præpositio jam a Wolfio deleta abest etiam ab Helmst. et tribus Bekkeri. Reiskius opinabatur in præpositione latere *ἐπικουρῶν τινι*: quod deesse facile patimur. Non enim de eo sermo est, qui *ἐπικουρεῖ τινι τῶν τὰ παράνομα γραφόντων*, sed qui ipse *τὰ παράνομα γράφει*. Corruptio videtur inde nata, quod *ἐστί* vel ante *μέτριος* vel post in codicibus scriptum erat. Plane deest in e.

12. *γέγραφε*] Sic Bern. Helmst. et tres Bekkeri codices, idque aptum est sequenti *αἰσχύνεται* et *γέγραφε*. Vulgo *ἐγεγράφει*.

12. *μεταξὺ*] hic adverbialiter ponitur. Hesychius explicat *Μεταξύ*: *ἐξαίφνης, μετ' ὀλίγον, ἀνὰ μέσον*. Docemur quidem a grammaticis *μεταξύ* jungi participio, quod resolvendum sit per *interea dum* cum verbo finito. Nec nos negamus ita hoc fieri posse. Sed opinor suo ubique participium regimine pendere et *μεταξύ* adverbium esse, quod plerumque tempus durans notionis participii contineat.

13. Λέξουσι δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἕτερόν τινα λόγον ὑπεναντίον τῷ ἀρτίως εἰρημένῳ, ὡς ἄρα, ὅσα τις αἱρετὸς ὢν πράττει κατὰ ψήφισμα, οὐκ ἔστι ταῦτα ἀρχή, ἀλλ' ἐπιμέλειά τις καὶ διακονία· ἀρχὰς δὲ φήσουσιν ἐκείνας εἶναι, ἃς οἱ θεσμοθέται ἀποκληροῦσιν ἐν τῷ Θησείῳ, κἀκείνας, ἃς ὁ δῆμος εἴωθε χειροτονεῖν ἐν ἀρχαιρεσίαις, στρατηγοὺς καὶ ἱππάρχους καὶ τὰς μετὰ τούτων ἀρχάς, τὰ δ' ἄλλα πάντα πραγματείας, προστεταγμένας κατὰ ψήφισμα. 14. ἐγὼ δὲ πρὸς τοὺς λόγους τοὺς τούτων νόμον ὑμέτερον παρέξομαι, ὃν ὑμεῖς ἐνομοθετήσατε, λύσειν ἡγούμενοι τὰς τοιαύτας προφάσεις, ἐν ᾧ διαῤῥήδην γέγραπται, "τὰς χειροτονητάς" φησιν "ἀρχας" ἁπάσας ἑνὶ περιλαβὼν ὀνόματι ὁ νομοθέτης, καὶ προσειπὼν ἀρχὰς ἁπάσας εἶναι, ἃς ὁ δῆμος χειροτονεῖ, "καὶ τοὺς ἐπιστάτας" φησὶ

13. *ἀρχή, ἀλλ' ἐπιμέλειά τις καὶ διακονία*] Discrimen horum vocabulorum in rebus Atheniensium publicis difficile est constituere. *Schœmannus* quidem subtiliter et accurate in libro de Comit. L. II. c. XI. egit de *magistratibus, curationibus et ministeriis;* sed fateor me non perspexisse distinctam et verborum et rerum notionem. Verba ipsa videamus. Est regressio a majore ad minus. Ἀρχαί magistratus ii potissimum censendi sunt, quibus tributum est, ut de rebus quibusdam consulant, judicent et imperent: *τὸ γὰρ ἐπιτάττειν ἀρχικώτερόν ἐστιν.*— Ἐπιμέλεια pro notione vocabuli est munus, quod curam et diligentiam postulat, minus cum imperio conjunctum. Quanquam vero ἀρχὴ sine cura et diligentia bene administrari non possit, honoratur tamen imperio; *ἐπιμέλεια* autem quanquam nec ipsa omnino imperio careat, id tamen non ultra consilium rem bene curandi et administrandi extendendum. Euphemisticam quoque significationem hoc vocabulum accepit, quum, quod in socios imperium exercebant Athenienses, honesto nomine *ἐπιμέλειαν* nuncuparent. *Διακονία*, quæ eadem *ὑπηρεσία* dicitur, laborem habet et molestiam, ministerium, cui non habetur honos: quod, qui *ἀρχὴν* sectatur, refugit, et qui *διακονίαν* suscipit, non sine molestia recipit. Hanc equidem vocabulorum primariam et relativam significationem esse existimo. Quod si eorum usum in caussa nostra consideremus, Demosthenes negabat se *ὑπεύθυνον* esse, quippe qui non *ἀρχήν*, sed *ἐπιμέλειαν* vel potius *διακονίαν* habuerit. Nempe erat a tribu Pandionide in ejus ipsius rem *τειχοποιὸς* electus. Hoc igitur munus privatum non imperium publicum esse affirmabat Demosthenes. Idem fere discrimen obtinere apud Latinos observat Casp. noster Orellius inter *honorem* (ἀρχήν) *munus* (ἐπιμέλειαν) et *curam* (διακονίαν).

*οἱ θεσμοθέται*] Sic vocabantur sex Archontes exceptis tribus primis. *Eponymo, Rege, Polemarcho.* Ἀποκληροῦν proprie significat *sortiendo a reliquis discernere.* Hic tamen non positum est de sortitione secunda, qua ii, quibus pro tempore judicandum esset, e sex millium numero eximebantur: de qua poni affirmat *Aug. Matthiæ* Miscell. Philoll. p. 254. Nam δικασταὶ ὑπεύθυνοι non erant. Vide *Hudtwalcker, von den Diäteten*, p. 32. Sed de muneribus, quale *λογιστῶν, εὐθύνων, σιτοφυλάκων*, aliisque sermo erit, quorum sortitio penes Thesmothetas pro singulorum ratione ex certis ordinibus erat in Θησείῳ, quod erat fanum Theseo sacratum.

*ἐν ἀρχαιρεσίαις*] Sic appellabantur comitia, quæ habebantur magistratuum a populo creandorum caussa. Hæc in Pnyce habita esse testatur *Pollux* VIII. 134. etiam tum temporis, ut videtur, quum de reliquis rebus omnibus populus in Bacchi theatro congregabatur. *Mœris*, p. 10. *ἀρχαιρεσίαι θηλυκῶς Ἀττικῶς· ἀρχαιρέσια οὐδετέρως Ἑλληνικῶς.*

*καὶ τὰς μετὰ τούτων ἀρχάς*] Magistratus, qui in eundem veniunt censum. Non erat cur vel Marklandus *μετὰ ταῦτα*, vel Taylor *κατὰ ταῦτα* conjiceret.

*πραγματείας*] Ratione ἀρχῶν videtur significare *opera molesta*, quæ non legibus, sed peculiaribus decretis mandantur.

"τῶν δημοσίων ἔργων" ἔστι δὲ ὁ Δημοσθένης τειχοποιός, ἐπιστάτης τοῦ μεγίστου τῶν ἔργων· "καὶ πάντας, ὅσοι διαχειρίζουσί τι τῶν τῆς πόλεως πλέον ἢ τριάκονθ' ἡμέρας, καὶ ὅσοι λαμβάνουσιν ἡγεμονίας δικαστηρίων· 15. "οἱ δὲ τῶν ἔργων ἐπιστάται πάντες ἡγεμονίᾳ χρῶνται δικαστηρίου· τί τούτους κελεύει ποιεῖν; οὐ διακονεῖν, ἀλλ' ἄρχειν δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ, ἐπειδὴ καὶ αἱ κληρωταὶ ἀρχαὶ οὐκ ἀδοκίμαστοι, ἀλλὰ δοκιμασθεῖσαι ἄρχουσι καὶ λόγον καὶ εὐθύνας ἐγγράφειν πρὸς τὸν γραμματέα καὶ τοὺς λογιστάς, καθάπερ καὶ τὰς ἄλλας ἀρχάς, κελεύει. ὅτι δὲ ἀληθῆ λέγω, τοὺς νόμους ὑμῖν αὐτοὺς ἀναγνώσεται.

## ΝΟΜΟΙ.

16. Ὅταν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἃς ὁ νομοθέτης ἀρχὰς ὀνομάζει, οὗτοι προσαγορεύωσι πραγματείας καὶ ἐπιμελείας, ὑμέτερον ἔργον ἐστὶν ἀπομνημονεύειν καὶ ἀντιτάττειν τὸν νόμον πρὸς τὴν τούτων ἀναίδειαν, καὶ ὑποβάλλειν αὐτοῖς, ὅτι οὐ προσδέχεσθε κακοῦργον σοφιστήν, οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, ἀλλ' ὅσῳ ἄν τις ἄμεινον λέγῃ

14. τειχοποιὸς] Hoc ψήφισμα de muris reficiendis videtur vel exeunte anno primo Ol. CX. vel initio secundi latum esse, quum bellum a Philippo immineret. Anno autem secundo, quum omnes reipublicæ pecuniæ ad bellum jam non dubium requiri viderentur, verisimile est hoc quoque murorum reficiendorum opus dilatum esse, et, qui ejus curatores creati erant, dilato et imperfecto opere neque abierunt munere neque rationes reddiderunt, ut Demosthenes eo tempore, quo latum est Ctesiphontis psephisma de eo coronando, τειχοποιὸς esset.

ὅσοι διαχειρίζουσί τι τῶν τῆς πόλεως πλέον ἢ τριάκονθ' ἡμέρας] Hæc definitio diu post Solonis tempora in legem illata est, quum democratia seriorum temporum prætexens periculum administrationis diutius durantis cuncta nimium dissecaret. Vide *der Attische Process*, p. 39. ss.

ἡγεμονίας δικαστηρίων] *Moderamen judiciorum.* Caussæ plurimæ ad unum de magistratibus ante omnia deferendæ erant, qui eas examinaret, interrogandis de criminis, argumentorum, testium ratione ac natura litigantibus, et judicium constitueret ipseque ei præesset. Quanquam vero non Archontibus solis hoc jus competeret (vide Matthiæ Misc. Phill. p. 242), τειχοποιῷ tamen nonnisi ea ratione ἡγεμονία δικαστηρίου tribui potest, quatenus erat præses collegii, quod *probaret* opera ex pacto redemta. Non erat ita ipse in sua re judex, sed præses judicii artis peritorum.

15. οὐ διακονεῖν, ἀλλ' ἄρχειν] Urget Æschines vocabulum legis, quæ non de munere τειχοποιοῦ, sed de ἀρχαῖς proprio nomine sic dictis lata erat. Hinc addidit, quod ipsum ἄρχειν speciat, δοκιμασθέντας ἐν δικαστηρίῳ. Senatores primum in senatu, tum coram judicio ἐδοκιμάζοντο. Num eadem fuerit ratio omnium ἀρχῶν, non liquet. In plerisque oratorum locis nonnisi δικαστηρίου mentio fit. Cf. *der Attische Process*, p. 206. n. 87.

καὶ λόγον καὶ εὐθύνας ἐγγράφειν] Reiskius offendit in ἐγγράφειν, quod λόγος quidem ἐνεγράφετο, εὐθύνη vero ἐδίδοτο. Verum antiqui, brevitatis amantes, per zeugma sæpe duo nomina, quorum unumquodque verbum suum flagitabat, uni verbo junxerunt. Quod est potissimum, λόγος καὶ εὐθύνη erat ejus, qui ἀρχὴν gesserat, officium πρὸς τὸν γραμματέα, opinor βουλῆς seu δήμου.

παράνομα γεγραφώς, τοσούτῳ μείζονος ὀργῆς τεύξεται. χρὴ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα καὶ τὸν νόμον· ὅταν δὲ ἑτέραν μὲν φωνὴν ἀφιῇ ὁ νόμος, ἑτέραν δὲ ὁ ῥήτωρ, τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον, οὐ τῇ τοῦ λέγοντος ἀναισχυντίᾳ.

17. Πρὸς δὲ δὴ τὸν ἄφυκτον λόγον, ὅν φησι Δημοσθένης, βραχέα βούλομαι προειπεῖν. λέξει γὰρ οὗτος "τειχοποιός εἰμι· ὁμολογῶ· ἀλλ' ἐπιδέδωκα τῇ πόλει μνᾶς ἑκατὸν καὶ τὸ ἔργον μεῖζον ἐξείργασμαι. τίνος οὖν εἰμι ὑπεύθυνος, εἰ μή τίς ἐστιν εὐνοίας εὐθύνη;" πρὸς δὴ ταύτην τὴν πρόφασιν ἀκούσατέ μου λέγοντος καὶ δίκαια καὶ ὑμῖν συμφέροντα. ἐν γὰρ ταύτῃ τῇ πόλει οὕτως ἀρχαίᾳ οὔσῃ καὶ τηλικαύτῃ τὸ μέγεθος οὐδείς ἐστιν ἀνυπεύθυνος τῶν καὶ ὁπωσοῦν πρὸς τὰ κοινὰ προσεληλυθότων. 18. διδάξω δ' ὑμᾶς πρῶτον ἐπὶ τῶν παραδόξων, οἷον τοὺς ἱερεῖς καὶ τὰς ἱερείας ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, καὶ συλλήβδην ἅπαντας καὶ χωρὶς ἑκάστους κατὰ σῶμα, τοὺς τὰ γέρα μόνον λαμβάνοντας καὶ τὰς εὐχὰς ὑπὲρ ὑμῶν πρὸς τοὺς θεοὺς εὐχομένους, καὶ οὐ μόνον ἰδίᾳ, ἀλλὰ καὶ

17. ἐξείργασμαι] Sic primus dedit Reiske ex Reg. I. quocum faciunt tres Bekkeri. Ceteri habent ἐξείργασται, quod videtur librariis deberi, potius quam alterum. Attici enim, quanquam non omnino refugiunt præteritum passivum verbi ἐργάζεσθαι et compositorum significatione passiva adhibere, tamen multo sæpius id significatione activa usurpant, eaque significatio in varietate lectionis videtur præferenda.

16. τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον.] *In favorem legis suffragium ferre.* Dativus additus locutioni ψῆφον διδόναι, quando significat *suffragium ferre*, eum designat, cujus in favorem fertur. Vide *Buttmann.* in ind. orationis Demosth. in Mid. s. v. ψῆφος.

17. φησὶ] Præsens me non offendit, etsi futurum sequatur: λέξει γὰρ οὗτος. Ibi enim verba ipsa recitat, quibus Demosthenem in oratione usurum esse opinatur. Nostro autem loco ea respiciuntur, quæ hoc ipso tempore Demosthenes in circulis privatis jactaverit.

μνᾶς ἑκατὸν] Error hic videtur inesse, num consulto commissus, an furtim subrepens, non decernam. Veritas est in ipso psephismate, quod tulit Ctesiphon et quod servavit *Demosthenes* Περὶ στεφ., ubi p. 266, hæc legimus: Δημοσθένης .... ἐπιμελητὴς τῶν τειχῶν ἐπισκευῆς, καὶ προσαναλώσας εἰς τὰ ἔργα ἀπὸ τῆς ἰδίας οὐσίας τρία τάλαντα, ἐπέδωκε ταῦτα τῷ δήμῳ καὶ ἐπὶ τοῦ θεωρικοῦ κατασταθεὶς ἐπέδωκε τοῖς ἐκ πασῶν τῶν φυλῶν θεωρικοῖς ἑκατὸν μνᾶς εἰς θυσίας. Errorem notavit etiam *Boeckh. Staatsh.* I. p. 219. Sed hoc est oratorum Atticorum flagitium, ut, adversarii quæ fecerunt laudabilia, consulto deminuant et corrumpant.

18. τοὺς ἱερεῖς] Atticistæ negant scriptores Atticos accusativum pluralem nominum in εύς contraxisse, nisi præcesserit vocalis, et tum in ᾶς. Cf. *A. Matthiæ*, Gr. Gr. § 83. n. 6. Sed plures apud præstantissimos Atticos loci omnium MSS. auctoritate defenduntur contra hoc præceptum, quam quos omnes cautus criticus mutare ausit.

γέρα] Scholiastes ad Thuc. I. 25. γέρα explicat τιμὰς καὶ προεδρίας. "Cives debuerunt victimas et alias res, fortasse pecuniam quoque, erogare in templa, sacrificia et alia ejusdem generis, ac de his ipsis acceperim τὰ γέρα Æschini memorata in loco insigni orationis in Ctesiphontem." *F. A. Wolfius* Prolegg. in Leptin. p. LXXI.

κοινῇ τὰ γένη, Εὐμολπίδας καὶ Κήρυκας καὶ τοὺς ἄλλους ἅπαντας. 19. πάλιν τοὺς τριηράρχους ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, οὐ τὰ κοινὰ διαχειρίσαντας, οὐδ' ἀπὸ τῶν ὑμετέρων προσόδων πολλὰ μὲν ὑφαιρουμένους, βραχέα δὲ κατατιθέντας, ἐπιδιδόναι δὲ φάσκοντας, ἀποδιδόντας δὲ ὑμῖν τὰ ὑμέτερα, ἀλλ' ὁμολογουμένως τὰς πατρῴας οὐσίας εἰς τὴν πρὸς ὑμᾶς ἀνηλωκότας φιλοτιμίαν. οὐ τοίνυν μόνοι οἱ τριήραρχοι, ἀλλὰ καὶ τὰ μέγιστα τῶν ἐν τῇ πόλει συνεδρίων ὑπὸ τὴν τῶν δικαστηρίων ἔρχεται ψῆφον. 20.† πρῶτον μὲν γὰρ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ ἐγγράφειν πρὸς τοὺς λογιστὰς ὁ νόμος κελεύει λόγον καὶ εὐθύνας διδόναι, καὶ τῶν ἐκεῖ σκυθρωπῶν καὶ τῶν μεγίστων κύριον ἄγειν ὑπὸ τὴν ὑμετέραν ψῆφον. οὐκ ἄρα στεφανωθήσεται ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου; οὐδὲ γὰρ πάτριόν ἐστιν αὐτοῖς. οὐκ ἄρα

20. *καὶ τῶν ἐκεῖ σκυθρωπῶν—κύριον ἄγειν*] Hanc quamvis corruptam codicum, in quibus hæc verba leguntur, omnium lectionem revocavi, quum in Bekkeri editione ex Wolfii et Reiskii conjectura legatur *καὶ τὴν ἐκεῖ σκυθρωπὸν—κυρίαν ἄγει.* Casp. enim Orellius vere, opinor, monet leniore mutatione locum ita videri refingendum: *καὶ τὸν ἐκεῖ σκυθρωπὸν—κύριον ἄγει*, i. e. unumquemque Areopagitarum, qui ibi (*ἐν Ἀρείῳ πάγῳ*) tam tristes sunt et severi iidemque maximarum rerum arbitri, nihilominus lex vestris sententiis subjicit. Quod si dubites, num singulos rationem reddere oporteat, potes de toto collegio intelligere.

Εὐμολπίδας καὶ Κήρυκας] Familiæ duæ sacerdotum in sacris Eleusiniis, quarum illa ab Eumolpo, hæc a Ceryce genus duxit. Eumolpi nomen modo tributum compluribus, modo complurium hominum res et facta cumulata in unum. In primis nomen illud illustravit institutio mysteriorum Eleusiniorum: sed ad quem inter plures Eumolpos illa referenda esset, ambigebatur. cf. *Heyne* ad Apollodor. III. 15, 4. Mortuo Eumolpo Κῆρυξ supererat frater, ut dicitur, natu minor, quem tamen ipsius progenies Κηρύκων filium dicit Aglauri et Mercurii. Hunc tradunt primum Musicam ab Apolline didicisse. *Pausanias*, L. I. 38.

19. τοὺς τριηράρχους] Τριήραρχος antiquiorem esse formam quam Τριηράρχης, quam in editione Halensi ubivis restituerat Bekkerus, vere monuit *Boeckh. Staatsh.* II. p. 133. Cf. etiam *Ern. Fr. Poppo* Prol. ad Thucyd. c. 18. p. 220. s. In oratoribus certe ubique priorem formam præbent MSS. vel omnes vel optimi.

ἐπιδιδόναι] Verbum proprium de iis, qui plus minusve suorum bonorum in reipublicæ commodum ultro impendunt, quum viri patriæ amantes publicis angustiis sponte succurrunt. Substantivum hinc derivatum ἐπίδοσις de una imprimis parte dicitur, quum tempore belli cives voluntariis collationibus, pro suis quisque facultatibus, reipublicæ subveniunt. Vide *Schœmann* de Com. p. 292. Ceterum ἐπιδιδόναι et ἀποδιδόντας consulto videntur ob paronomasiam opposita.

20. σκυθρωπῶν] Σκυθρωπός plerumque in vitio ponitur et notat hominem non solum tristem et tetricum vultum habentem, sed fingentem vel augentem. Hic autem *gravitatem* nonnisi et *severitatem* indicat. Quod *Ruhnken.* ad Terent. Andr. V. 11, 16. monuit, " Sæpe graves et severi *tristes* dicuntur, quoniam a jocis et hilaritate alieni sunt." id ad Græcum σκυθρωπός transferendum.

οὐδὲ γὰρ πάτριόν ἐστιν αὐτοῖς] His verbis Marklandus et Reiskius negationem præponere volunt, ut respondeatur ad antecedentem interrogationem: quo non opus. Γάρ enim caussam continet omissæ responsionis, de qua supplenda nemo potest esse dubius. Vide *Bosii* Ell. p. 809. ed. Schæf. Similem locum habuimus in *Lysia* Κατ' Ἐρατοσθ. § 34. ubi Reiskius similia tentabat.

φιλοτιμοῦνται; πάνυ γε, ἀλλ' οὐκ ἀγαπῶσιν, ἐάν τις παρ' αὑτοῖς μὴ ἀδικῇ, ἀλλ' ἐάν τις ἐξαμαρτάνῃ κολάζουσιν· οἱ δὲ ὑμέτεροι ῥήτορες τρυφῶσι. πάλιν τὴν βουλὴν, τοὺς πεντακοσίους, ὑπεύθυνον πεποίηκεν ὁ νομοθέτης. 21. καὶ οὕτως ἰσχυρῶς ἀπιστεῖ τοῖς ὑπευθύνοις, ὥστ' εὐθέως ἀρχόμενος τῶν νόμων λέγει "ἀρχὴν ὑπεύθυνόν" φησι "μὴ ἀποδημεῖν." ὦ Ἡράκλεις, ὑπολάβοι ἄν τις, ὅτι ἦρξα, μὴ ἀποδημήσω; ἵνα γε μὴ προλαβὼν χρήματα τῆς πόλεως, ἢ πράξεις δρασμῷ χρήσῃ. πάλιν ὑπεύθυνον οὐκ ἐᾷ τὴν οὐσίαν καθιεροῦν, οὐδὲ ἀνάθημα ἀναθεῖναι, οὐδ' ἐκποίητον γενέσθαι, οὐδὲ διαθέσθαι τὰ ἑαυτοῦ, οὐδ' ἄλλα πολλά· ἑνὶ δὲ λόγῳ ἐνεχυράζει τὰς οὐσίας ὁ νομοθέτης τὰς τῶν ὑπευθύνων, ἕως ἂν λόγον ἀποδῶσι τῇ πόλει. 22. ναί, ἀλλ' ἔστι τις ἄνθρωπος, ὃς οὔτ' εἴληφεν οὐδὲν τῶν δημοσίων οὔτ' ἀνήλωκε, προσῆλθε δὲ πρός τι τῶν κοινῶν. καὶ τοῦτον ἀποφέρειν κελεύει λόγον πρὸς τοὺς λογιστάς. καί πῶς ὅ γε μηδὲν λαβὼν μηδ' ἀναλώσας ἀποίσει λόγον τῇ πόλει; αὐτὸς ὑποβάλλει καὶ διδάσκει ὁ νόμος ἃ χρὴ γράφειν· κελεύει γὰρ αὐτὸ τοῦτο ἐγγράφειν, ὅτι

*οὐκ ἀγαπῶσιν*] Non sufficit ipsorum dignitati, si quis nil committit, si culpa vacat; sed eorum muneris est, eum, quicunque deliquerit, punire. Tantum abest, ut, quicunque nihil deliquerit, laudent atque honoribus extollant, ut eum puniant, qui inter ipsos officio suo defuerit.

*οἱ δὲ ὑμέτεροι ῥήτορες τρυφῶσι*] Τρυφᾶν proprie dicuntur, qui deliciis et luxui indulgent. Quum vero ejusmodi homines facile in petulantiam et protervitatem incidant, sensu prægnante significat *petulantem et protervum esse, modum civilem excedere:* quæ significatio hoc loco obtinet. Jam *Fischer.* ad Plat. Euthyph. c. 13 monuit *τρυφᾶν* complecti omnia illa vitia, quæ insunt in hominibus luxuriæ deditis.

21. *ἀρχήν*] Male hic reddi *magistratum* opinatur Taylor, sed adverbialiter significare *omnino.* Quæ quidem frequens est apud Atticos significatio (vide *Hermann* ad Viger, p. 723); sed an hæc significatio in legis formula locum habeat, dubito; et simplicius hic et infra § 31. *ἀρχὴν ὑπεύθυνον* jungas, *magistratum rationi reddendæ obnoxium*, nisi forte malis *ἀρχῆς ὑπεύθυνον*, quod legitur § 26.

*προλαβὼν χρήματα τῆς πόλεως, ἢ πράξεις*] Προλαβών plena significatione nonnisi convenit *χρήμασιν* et per Zeugma pertinet ad *πράξεις.* Προλαμβάνειν χρήματα est *occupare pecuniam*, non illi usui impendere, cui dicata est. Per Zeugma relatum ad *πράξεις* est opera ut perfecta et absoluta deserere, si sunt imperfecta nec absoluta.

*τὴν οὐσίαν καθιεροῦν*] Rem familiarem in usus sacros convertere, sive ἀναθήματα diis offeruntur sive sacrificia. Hoc verbum probis Atticis usitatum esse hac significatione, non *ἀφιερῶσαι*, affirmat *Phrynich.* p. 192. idque verum esse docet Lobeckius. Infra § 109. codex perperam habet *ἀφιέρωσαν* pro *καθιέρωσαν.* Ceterum hoc lege vetitum erat, ne peculatus, pietatis si Dis placet prætextu, infamiam posset aufugere. Puras Deus, non plenas aspicit manus.

*ἐκποίητον γενέσθαι*] Pater quum demonstravisset filium suum germanum esse Atheniensem, poterat eum alii civi in adoptionem dare. Is filius dicebatur *ἐκποίητος.* Quum autem alter eum adoptavisset et publica instituta observasset, (cf. *der Attische Process*, p. 435, ss.) idem ille *ἐκποίητος εἰσποίητος* (*ποιητός, θετός*) *γέγονε.* Videtur autem lege prohibitum fuisse *τὸν ὑπεύθυνον ἐκποίητον γενέσθαι*, quoniam, qui *εὐθύνης* judicio cadebat, vel civitatem poterat amittere.

"οὔτ' ἔλαβον οὐδὲν τῶν τῆς πόλεως οὔτ' ἀνήλωσα." ἀνεύθυνον δὲ καὶ ἀζήτητον καὶ ἀνεξέταστον οὐδέν ἐστι τῶν ἐν τῇ πόλει. ὅτι δὲ ἀληθῆ λέγω, αὐτῶν ἀκούσατε τῶν νόμων.

## NOMOI.

23. Ὅταν τοίνυν μάλιστα θρασύνηται Δημοσθένης λέγων, ὡς διὰ τὴν ἐπίδοσιν οὐκ ἔστιν ὑπεύθυνος, ἐκεῖνο αὐτῷ ὑποβάλλετε "οὔκουν ἐχρῆν σε, ὦ Δημόσθενες, ἐᾶσαι τὸν τῶν λογιστῶν κήρυκα κηρῦξαι τὸ πάτριον καὶ ἔννομον κήρυγμα τοῦτο, τίς βούλεται κατηγορεῖν; ἔασον ἀμφισβητῆσαί σοι τὸν βουλόμενον τῶν πολιτῶν, ὡς οὐκ ἐπέδωκας, ἀλλ' ἀπὸ πολλῶν ὧν ἔχεις εἰς τὴν τῶν τειχῶν οἰκοδομίαν μικρὰ κατέθηκας, δέκα τάλαντα εἰς ταῦτα ἐκ τῆς πόλεως εἰληφώς. μὴ ἅρπαζε τὴν φιλοτιμίαν, μηδὲ ἐξαιροῦ τῶν δικαστῶν τὰς ψήφους ἐκ τῶν χειρῶν, μηδ' ἔμπροσθεν τῶν νόμων, ἀλλ' ὕστερος πολιτεύου. ταῦτα γὰρ ὀρθοῖ τὴν δημοκρατίαν."

24. Πρὸς μὲν οὖν τὰς κενὰς προφάσεις, ἃς οὗτοι προφασιοῦνται, μέχρι δεῦρο εἰρήσθω μοι· ὅτι δὲ ὄντως ἦν ὑπεύθυνος ὁ Δημοσθένης, ὅθ' οὗτος εἰσήνεγκε τὸ ψήφισμα, ἄρχων μὲν τὴν ἐπὶ τῷ θεωρικῷ ἀρχήν, ἄρχων δὲ τὴν τῶν τειχοποιῶν, οὐδετέρας δέ πω τῶν ἀρχῶν τούτων λόγον ὑμῖν οὐδ' εὐθύνας δεδωκώς, ταῦτ' ἤδη πειράσομαι ὑμᾶς διδάσκειν ἐκ τῶν δημοσίων γραμμάτων. καί μοι ἀνάγνωθι, ἐπὶ τίνος ἄρχοντος καὶ

23. ἐπέδωκας] Sic Helmst. omnesque Bekkeri codd. præter unum pro vulgato ἐπιδέδωκας, idque et res ipsa flagitat et sequens κατέθηκας.

24. ἐπὶ τῷ θεωρικῷ] Sic Mead. Helmst. et duo Bekkeri pro vulgato ἐπὶ τῶν θεωρικῶν, quod apud neminem inveni neque oratorum neque grammaticorum. Οἱ περὶ τῶν θεωρικῶν νόμοι inveniuntur apud *Demosthen.* Olynth. III. p. 51. ὁ ἐπὶ τῷ θεωρικῷ ὢν apud eundem Περὶ στεφ. p. 264. ὁ ἐπὶ τῷ θεωρικῷ τεταγμένος ib. p. 243, ubi codd. nonnulli habent ἐπὶ τῶν θεωρικῶν. οἱ ἐπὶ τὸ θεωρικὸν κεχειροτονημένοι habemus § 25. ἐπὶ τοῦ θεωρικοῦ καταστα θεὶς est apud *Demosth.* Περὶ στεφ. p. 266. Θεωρικὴν ἀρχὴν et θεωρικῶν ἄρχοντα norunt grammatici, qui certatim nos docent, quid sint θεωρικά: de cujus moris abusu et perniciositate vere et graviter judicavit *Bœckhius Staatsh.* I. p. 196.

23. δέκα τάλαντα] Modestius infra § 31. μικροῦ δεῖν δέκα τάλαντα. Verum modestior quoque summa mihi videtur dubitationem habere. Nempe decem constituti erant τειχοποιοί, singuli ex singulis tribubus. Iis ἐκ τῆς διοικήσεως, ex publico reipublicæ thesauro, decem talenta assignata fuisse videntur ad muros reficiendos. Nam æquis hæc partibus inter singulos divisa fuerint, non decernam. Demosthenes certe præter id, quod acceperat, e sua re familiari tria talenta impendebat.

ποίου μηνὸς καὶ ἐν τίνι ἡμέρᾳ καὶ ἐν ποίᾳ ἐκκλησίᾳ ἐχειροτονήθη Δημοσθένης τὴν ἀρχὴν τὴν ἐπὶ τῷ θεωρικῷ.

## ΔΙΑΛΟΓΙΣΜΟΣ ΤΩΝ ΗΜΕΡΩΝ.

Οὐκοῦν εἰ μηδὲν ἔτι περαιτέρω τούτου δείξαιμι, δικαίως ἂν ἁλίσκοιτο Κτησιφῶν· αἱρεῖ γὰρ αὐτὸν οὐχ ἡ κατηγορία ἡ ἐμή, ἀλλὰ τὰ δημόσια γράμματα.

25. Πρότερον μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀντιγραφεὺς ἦν χειροτονητὸς τῇ πόλει, ὃς καθ' ἑκάστην πρυτανείαν ἀπελογίζετο τὰς προσόδους τῷ δήμῳ· διὰ δὲ τὴν πρὸς Εὔβουλον γενομένην πίστιν ὑμῖν οἱ ἐπὶ τὸ θεωρικὸν κεχειροτονημένοι ἦρχον μέν, πρὶν ἢ τὸν Ἡγήμονος νόμον γενέσθαι, τὴν τοῦ ἀντιγραφέως ἀρχήν, ἦρχον δὲ τὴν τῶν ἀποδεκτῶν καὶ νεωρίων ἀρχήν, καὶ σκευοθήκην ᾠκοδόμουν, ἦσαν δὲ καὶ ὁδοποιοὶ καὶ σχεδὸν τὴν ὅλην διοίκησιν εἶχον τῆς πόλεως. 26. καὶ οὐ

25. ἀντιγραφεὺς] *Harpocration*: ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι ταῦτα. Hic ἀντιγραφεὺς tabulas conficiebat quavis prytania, in quibus inerant rationes redituum, quos acceperant quæstores, ut appareret, an ratio a quæstoribus reddita justa esset. *Pollux* VIII. 98. scribit primum eum suffragiis electum, postea sorte ductum esse.

Εὔβουλον] Hic maxima valebat apud populum gratia imprimis ob administrationem pecuniarum publicarum et quod eas liberaliter cum populo communicaret, utpote qui imprimis favebat θεωρικῶν distributioni. Demagogi jam tum publicorum redituum curam diligenter assectabantur, ut magna esset ipsorum auctoritas. Cf. *Boeckh. Staatsh.* I. p. 161.

Ἡγήμονος] *Hegemon* orator fuit ex illorum numero, qui nullis litteris eruditi ad eloquentiam exercendam accesserunt. Philippi muneribus corruptus Macedonum partibus favisse dicitur. Eum legem de cura pecuniæ theatralis ἀντιγραφεῖ reddenda tulisse cognovimus ex nostro loco. Periit una cum Phocione. Cf. *Ruhnkenius* Hist. Crit. Orat. Gr. p. 76. s.

ἀποδεκτῶν] Harpoc.: Ἀποδέκται ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες καὶ οἱ κωμικοί. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ δεδήλωκεν, ὡς δέκα τε εἴησαν καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ· καὶ ἁπλῶς ἃ πράττουσι διασάφει. Cf. *Boeckh. Staatsh.* I. p. 171. s.

νεωρίων] *Stephanus* in Thes. L.G.T. II. p. 1006. s. v. νεωρέω monet, antecedens ἀποδεκτῶν suadere scribendum νεωρῶν: νεωρὸν enim, interprete Hesychio, esse νεωριοφύλακα: itaque scripsit Bekkerus in editione Halensi. Quanquam autem Stephani conjectura et antecedente vocabulo et emendationis facilitate commendetur, observandum tamen Æschinem amare abstracta ponere pro concretis; etiamsi vero parum conveniat concreta et abstracta conjungere, simile tamen exemplum, quanquam item a viris doctis mutatum, in Tim. § 5. τῶν τυράννων καὶ τῶν ὀλιγαρχιῶν. Bekkerus recepit Taylori conjecturam ὀλιγαρχικῶν. Similiter *Isocrates opponit* abstractum concreto Areop. 27. Ἀλλὰ μὴν οὐδὲ τὴν πραότητα δικαίως ἄν τις ἐπαινέσειε τὴν ἐκείνων (τῶν ὀλιγαρχικῶν), ἢ τὴν τῆς δημοκρατίας.

σκευοθήκην] Repositorium πολεμικῶν σκευῶν. *Pollux*. X. 10. τοὔνομα τῆς σκευοθήκης εὕροις ἂν ἐν τοῖς Αἰσχύλου Ψυχαγωγοῖς·

καὶ σκευοθηκῶν ναυτικῶν τ' ἐρειπίων,

καὶ παρ' Αἰσχίνῃ ἐν τῷ κατὰ Κτησιφῶντος σκευοθήκην ᾠκοδόμουν. Θουκυδίδης δὲ ἀποθήκην αὐτὴν καλεῖ, φήσας· τοῖς τε χρήμασι καὶ τοῖς σκεύεσιν ἀποθήκην. Respicit locum Thucydidis VII. 97. ubi consulendi interpretes.

ὁδοποιοὶ] Magistratus significatur, cui cura mandata est viarum publicarum et militarium aperiendarum et muniendarum.

καὶ σχεδὸν τὴν ὅλην διοίκησιν εἶχον τῆς πόλεως] Hyperbole rhetorica, ut appareat Demosthenem rationi reddendæ

κατηγορῶν αὐτῶν οὐδ' ἐπιτιμῶν λέγω, ἀλλ' ἐκεῖνο ὑμῖν ἐνδείξασθαι βούλομαι, ὅτι ὁ μὲν νομοθέτης, ἐάν τις μιᾶς ἀρχῆς τῆς ἐλαχίστης ὑπεύθυνος ᾖ, τοῦτον οὐκ ἐᾷ, πρὶν ἂν λόγους καὶ εὐθύνας δῷ, στεφανοῦν, ὁ δὲ Κτησιφῶν Δημοσθένην τὸν συλλήβδην ἁπάσας τὰς Ἀθήνῃσιν ἀρχὰς ἄρχοντα οὐκ ὤκνησε γράψαι στεφανῶσαι.

27. Ὡς τοίνυν καὶ τὴν τῶν τειχοποιῶν ἀρχὴν ἦρχεν, ὅθ' οὗτος τὸ ψήφισμα ἔγραψε, καὶ τὰ δημόσια χρήματα διεχείριζε καὶ ἐπιβολὰς ἐπέβαλλε, καθάπερ καὶ οἱ ἄλλοι ἄρχοντες, καὶ δικαστηρίων ἡγεμονίας ἐλάμβανε, τούτων ὑμῖν αὐτὸν Δημοσθένην καὶ Κτησιφῶντα μάρτυρας παρέξομαι. ἐπὶ γὰρ Χαιρώνδου ἄρχοντος, Θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος, ἐκκλησίας οὔσης ἔγραψε ψήφισμα Δημοσθένης ἀγορὰν ποιῆσαι τῶν φυλῶν Σκιροφοριῶνος δευτέρᾳ ἱσταμένου καὶ τρίτῃ, καὶ ἐπέταξεν ἐν τῷ ψηφίσματι ἑκάστης τῶν φυλῶν ἑλέσθαι τοὺς ἐπιμελησομένους τῶν ἔργων ἐπὶ τὰ τείχη καὶ ταμίας, καὶ

27. Σκιροφοριῶνος] Sic decem Bekkeri codices pro vulgato Σκιῤῥοφοριῶνος. Harpocration: Σκίρα, τά, ἑορτὴ παρ' Ἀθηναίοις, ἀφ' ἧς καὶ ὁ μὴν Σκιροφοριών. Celebrabatur hoc festum Scirophorionis die XII. in honorem Minervæ vel, ut alii volunt, Cereris et Proserpinæ. Vide *Scholiasten* Aristoph. ad Eccles. 18. Scirophorion succedit Thargelioni.

tanti tamque multiplicis muneris obnoxium, neque, antequam rationem reddidisset, coronandum esse. Magistratuum conjunctio in se repugnat liberæ rerum publicarum rationi; et si quando locum habet, quod accidere poterat post cladem Chæronensem, id urgenti temporis necessitati tribuendum. Cf. *Weiske* de Hyperbole, P. II. p. 22.

27. ἐπιβολὰς ἐπέβαλλε] Cf. ad Lys. Κατὰ Νικομ. § 3. Id facere Demosthenes nonnisi auctoritate ἀρχῆς poterat.

καθάπερ καὶ οἱ ἄλλοι ἄρχοντες] Καί Bekkerus cum aliquot codd. omisit. Mihi videntur librarii post καθάπερ omisisse potius καί quam addidisse. Assentior enim *Heindorfio* ad Platonis Phædon. § 23, constantem prope Græcorum usum post relativa particulam addidisse.

Χαιρώνδου] Chærondas aut alius intelligendus ac qui Ol. CX. 3. Archon fuit, aut is anno 2. Ol. CX. Pseudeponymus esse debuit. Certe quod hic narratur, non potest accidisse Ol. CX. 3.

Θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος] Atheniensis mensis plenus, triginta dies continens, in tres decadas dividebatur. Prima decas appellabatur μηνὸς ἱσταμένου, ἀρχομένου μηνός, secunda μεσοῦντος, tertia φθίνοντος, λήγοντος. Secundæ dies sic notabantur, ut v. c. undecimus mensis dies non solum πρώτη μεσοῦντος, sed etiam πρώτη ἐπὶ δέκα nominaretur et sic porro δευτέρα, τρίτη ἐπὶ δέκα. Tertiæ autem decadis dies a remotissimo appellabantur, ita ut ἐνάτη φθίνοντος sit mensis dies vicesimus primus, ὀγδόη φθίνοντος vicesimus secundus et sic porro, ita ut δευτέρα φθίνοντος sit mensis dies octavus et vicesimus. Θαργηλιών autem noster Majus est.

ἀγορὰν ποιῆσαι τῶν φυλῶν] Ἀγορά interdum dicitur de conventu tribuum et demorum, publicorum quidem negotiorum caussa, sed quæ partium magis erant quam totius civitatis. Cf. *Schœmann* de Comit. p. 27.

ἑκάστης τῶν φυλῶν] Wolfius de suo addiderat ἐξ, Reiskius scripsit ex conjectura ἑκάστῃ. Ἑκάστης, quæ est omnium scriptorum lectio, est genitivus partitivus, qui sæpe jungitur locutionibus, quæ electionem indicant. *Libanius* ὑπόθ. orationis Dem. Περὶ στεφ. p. 221. ᾑρέθησαν ἐπὶ τὸ ἔργον ἄνδρες δέκα, φυλῆς ἑκάστης εἷς.

ἐπὶ τὰ τείχη] Reiskius hoc, ut scholion, uncis inclusit; non video, quare. Jungenda hæc videntur cum ἑλέσθαι.

*μάλα ὀρθῶς, ἵν' ἡ πόλις ἔχῃ ὑπεύθυνα σώματα, παρ' ὧν ἔμελλε τῶν ἀνηλωμένων λόγον ἀπολήψεσθαι. καί μοι λέγε τὰ ψηφίσματα.*

## ΨΗΦΙΣΜΑΤΑ.

28. *Ναί, ἀλλ' ἀντιδιαπλέκει πρὸς τοῦτο εὐθὺς, ὡς οὔτ' ἔλαχε τειχοποιὸς οὔτ' ἐχειροτονήθη ὑπὸ τοῦ δήμου. καὶ περὶ τούτου Δημοσθένης μὲν καὶ Κτησιφῶν πολὺν ποιήσονται λόγον· ὁ δέ γε νόμος βραχὺς καὶ σαφὴς καὶ ταχὺ λύων τὰς τούτων τέχνας. μικρὰ δὲ ὑμῖν ὑπὲρ αὐτῶν πρῶτον προειπεῖν βούλομαι.* 29. *ἔστι γάρ, ὦ Ἀθηναῖοι, τῶν περὶ τὰς ἀρχὰς εἴδη τρία, ὧν ἓν μὲν καὶ πᾶσι φανερώτατον οἱ κληρωτοὶ καὶ οἱ χειροτονητοὶ ἄρχοντες, δεύτερον δὲ ὅσοι τι διαχειρίζουσι τῶν τῆς πόλεως ὑπὲρ τριάκοντα ἡμέρας καὶ οἱ τῶν δημοσίων ἔργων ἐπιστάται· τρίτον δ' ἐν τῷ νόμῳ γέγραπται, καὶ εἴ τινες ἄλλοι αἱρετοὶ ἡγεμονίας δικαστηρίων λαμβάνουσι, καὶ τούτους ἄρχειν δοκιμασθέντας.* 30. *ἐπειδὰν δ' ἀφέλῃ τις τοὺς ὑπὸ τοῦ δήμου κεχειροτονημένους καὶ τοὺς κληρωτοὺς ἄρχοντας, καταλείπεται, οὓς αἱ φυλαὶ καὶ αἱ τριττύες καὶ οἱ δῆμοι ἐξ ἑαυτῶν αἱροῦνται τὰ δημόσια χρήματα διαχειρίζειν, τούτους αἱρετοὺς ἄρχοντας εἶναι. τοῦτο δὲ γίγνεται, ὅταν, ὥσπερ νῦν, ἐπιταχθῇ τι ταῖς φυλαῖς, ἢ τάφρους ἐξεργάζεσθαι, ἢ τριήρεις ναυπηγεῖσθαι. ὅτι δὲ ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν νόμων μαθήσεσθε.*

## ΝΟΜΟΙ.

31. *Ἀναμνήσθητε δὴ τοὺς προειρημένους λόγους, ὅτι ὁ μὲν*

*ἵν'—ἔχῃ*] Bekkerus ex uno codice (k) dedit *ἔχοι*. Mihi quidem conjunctivus, qui rem ponit durantem, ex Æschinis ore aptior videtur. Optativus finem, quem habuerit Demosthenes, indicaret: quod per se quidem non damnandum; sed unius codicis, qui sæpe correctricem, ni fallor, manum expertus est, auctoritate non injiciendum. Cf. in Lysiam. Excurs. I.

28. *ἀντιδιαπλέκει*] *Διαπλέκειν τέχνας, δόλους* significatione mala *artificiose aliquid struere, quod damno sit.* Hic *ἀντιδιαπλέκειν* eadem significatione absolute legitur, quum orator jam in mente habeat objectum, quod statim ponit cum alio verbo junctum, *καὶ ταχὺ λύων τὰς τέχνας.* Nec tamen caute Æschines hoc verbum delegit. Est enim, quasi dicat suam ipsius orationem *διαπλοκήν*, contra quam adversarius *ἀντιδιαπλέκει*.

30. *αἱ τριττύες*] *Harpocration*: Τριττύς *ἐστι τὸ τρίτον μέρος τῆς φυλῆς. αὕτη γὰρ διῄρηται εἰς τρία μέρη, τριττὺν καὶ ἔθνη καὶ φατρίας, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.* Τριττύς tertia pars tribus fuisse videtur ratione *δημοσίων χρημάτων* et eorum, quæ præstanda erant nummis, ut ex nostro loco patet et ex *Demosthene* Περὶ *συμμοριῶν*, p. 184.

*αἱρετοὺς*] *Αἱρέσει*, liberæ electioni, opposita erat sortitio, *κλήρωσις*, in quam

νομοθέτης τοὺς ἐκ τῶν φυλῶν ἄρχειν κελεύει δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ, ἡ δὲ Πανδιονὶς φυλὴ ἄρχοντα καὶ τειχοποιὸν ἀπέδειξε Δημοσθένην, ὃς ἐκ τῆς διοκήσεως εἰς ταῦτα ἔχει μικροῦ δεῖν δέκα τάλαντα, ἕτερος δ᾽ ἀπαγορεύει νόμος ἀρχὴν ὑπεύθυνον μὴ στεφανοῦν, ὑμεῖς δὲ ὀμωμόκατε κατὰ τοὺς νόμους ψηφιεῖσθαι, ὁ δὲ ῥήτωρ γέγραφε τὸν ὑπεύθυνον στεφανοῦν, οὐ προσθεὶς "ἐπειδὰν δῷ λόγον καὶ εὐθύνας," ἐγὼ δὲ ἐξελέγχω τὸ παράνομον μάρτυρας ἅμα τοὺς νόμους καὶ τὰ ψηφίσματα καὶ τοὺς ἀντιδίκους παρεχόμενος. πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδείξειεν ἄνθρωπον παρανομώτατα γεγραφότα;

32. Ὡς τοίνυν καὶ τὴν ἀνάῤῥησιν τοῦ στεφάνου παρανόμως ἐν τῷ ψηφίσματι κελεύει γίγνεσθαι, καὶ τοῦθ᾽ ὑμᾶς διδάξω. ὁ γὰρ νόμος διαῤῥήδην κελεύει, ἐὰν μέν τινα στεφανοῖ ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ ἀνακηρύττεσθαι, ἐὰν δὲ ὁ δῆμος, ἐν τῇ ἐκκλησίᾳ, ἄλλοθι δὲ μηδαμοῦ. καί μοι λέγε τὸν νόμον.

## ΝΟΜΟΣ.

33. Οὗτος ὁ νόμος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μάλα καλῶς ἔχει. οὐ γάρ, οἶμαι, ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα σεμνύνεσθαι πρὸς τοὺς ἔξωθεν, ἀλλ᾽ ἀγαπᾶν ἐν αὐτῇ τῇ πόλει τιμώμενον ὑπὸ τοῦ δήμου καὶ μὴ ἐργολαβεῖν ἐν τοῖς κηρύγμασιν. ὁ μὲν οὖν νομοθέτης οὕτως· ὁ δὲ Κτησιφῶν πῶς; ἀναγίγνωσκε τὸ ψήφισμα.

31. *παρανομώτατα γεγραφότα*] Reiskius ex Mead. dedit *παράνομα*, idque in quattuor, sed ejusdem familiæ codd., qui ubique conspirant, inventum recepit Bekkerus. Sed superlativus plurimorum et optimorum codicum auctoritate nitens videtur oratoris consilio convenientissimus, et majorem vim habet.

pronus erat populus Atheniensis, imprimis ne optimates in electione subsidiorum varietate potentiores evaderent. In partium igitur negotiis nonnisi ex nostro etiam loco *αἵρεσις* usurpabatur. Ab *αἱρέσει* differt *χειροτονία*, quæ fit in concione manuum porrectione inter eos, qui per archontes propositi sunt. Cf. *Pollux* VIII. 87.

32. *ἀνάῤῥησιν τοῦ στεφάνου*] Ἀνειπεῖν, *ἀνακηρύττειν, ἀναγορεύειν* propria sunt verba de *præcone*, qui publice promulgabat alicui ob virtutem coronam esse tributam. Cf. *Hemsterhus.* ad Luciani Tim. 51. T. I. p. 166.

33. *καὶ μὴ ἐργολαβεῖν*] Bekker. Anecdd. p. 259. *ἐργολάβος: ὁ φλαύροις πράγμασι χρώμενος παρὰ τοῖς ῥήτορσι, καὶ οὐχ ὁ ὑπέρ τινων ἔργων μισθὸν λαμβάνων καὶ ἔχων τοὺς συνεργαζομένους, ὡς ἡ συνήθεια.* Hoc loco dicitur de *ambitiosis demagogis*, qui honoribus ipsis, quibus afficiuntur, ad augendam ambitionem abutuntur, dum jactant hos ipsos honores, eosque per pompam quasi in triumpho ducunt. Frequens est etiam per contemtum de sophistis et philosophis, *opus faciendum mercede suscipere*. Cf. *Wyttenbach.* ad Plutarchi Mor. T. I. p. 532. Oxon.

## ΨΗΦΙΣΜΑ.

34. Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ὁ μὲν νομοθέτης κελεύει ἐν τῷ δήμῳ ἐν Πυκνὶ τῇ ἐκκλησίᾳ ἀνακηρύττειν τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον, ἄλλοθι δὲ μηδαμοῦ, Κτησιφῶν δὲ ἐν τῷ θεάτρῳ, οὐ τοὺς νόμους μόνον ὑπερβάς, ἀλλὰ καὶ τὸν τόπον μετενεγκών, οὐδὲ ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ τραγῳδῶν ἀγωνιζομένων καινῶν, οὐδ' ἐναντίον τοῦ δήμου, ἀλλ' ἐναντίον τῶν Ἑλλήνων, ἵν' ἡμῖν συνειδῶσιν οἷον ἄνδρα τιμῶμεν. 35. οὕτω τοίνυν περιφανῶς παράνομα γεγραφώς, παραταχθεὶς μετὰ Δημοσθένους ἐποίσει τέχνας τοῖς νόμοις· ἃς ἐγὼ δηλώσω καὶ προερῶ ὑμῖν, ἵνα μὴ λάθητε ἐξαπατηθέντες. οὗτοι γάρ, ὡς μὲν οὐκ ἀπαγορεύουσιν οἱ νόμοι τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττειν ἔξω τῆς ἐκκλησίας, οὐχ ἕξουσι λέγειν, οἴσουσι δὲ εἰς τὴν ἀπολογίαν τὸν Διονυσιακὸν νόμον, καὶ χρήσονται τοῦ νόμου μέρει τινὶ κλέπτοντες τὴν ἀκρόασιν ὑμῶν, 36. καὶ παρέξονται νόμον οὐδὲν προσήκοντα τῇ γραφῇ τῇδε, καὶ λέξουσιν, ὡς εἰσὶ τῇ πόλει δύο νόμοι κείμενοι περὶ τῶν κηρυγμάτων, εἷς μέν, ὃν νῦν ἐγὼ παρέχομαι,

34. ἐν Πυκνί] Sic habent optimi libri. *Bekkeri* Anecdd. p. 299. Πνύξ: ἔστιν ἡ γενικὴ πνυκός, διὰ δὲ τὴν εὐφωνίαν πυκνός. *Brunckius* quidem ad Aristoph. Thesmoph. v. 568. "Suavis est, inquit, ad hunc locum Kusterus, qui librariorum errores, ubique corrigendos, in exemplum trahit, ut probet e recto Πνύξ declinari casus obliquos πυκνός, πυκνί, πύκνα, quod absurdum est." Non tam absurdum erit ei, qui fidem MSS. reveretur, nec plane contemnit grammaticorum testimonia.

36. τῇ γραφῇ τῇδε] Hanc verborum collocationem recepi ex Helmst. et Bekkeri quattuor bonis. Græci pronomen ὅδε cum vi postposuerunt substantivo. Nam in enuntiationis fine gravior est sonus quam in media enuntiatione.

34. ἐν τῷ δήμῳ ἐν Πυκνὶ τῇ ἐκκλησίᾳ] Eadem notio, quoniam primaria est, pluribus formulis enuntiatur. Ἐν τῷ δήμῳ, opinor, significat *coram populo Atheniensi*, non coram peregrinis, ut cupiebant ii, qui ἐν θεάτρῳ promulgari volebant. Πυκνί est locus, ubi promulgationem locum habere oporteat. Cf. *Schœmann*. de Comit. p. 54. Ἐν τῇ ἐκκλησίᾳ est quasi determinatio antecedentis ἐν Πυκνί, ut scilicet promulgatio fiat in concione populi.

τραγῳδῶν ἀγωνιζομένων καινῶν] Per καινοὺς τραγῳδοὺς significatur temporis conditio. Nam tempore τῶν Διονυσίων ἐν ἄστει mense Martio poetæ novas tragœdias in honorem festi conscriptas judicum a populo constitutorum judicio subjiciebant, a quibus, quæ optima videbatur, coronabatur.

35. Διονυσιακὸν νόμον] Legem, quæ statuit, quid festis Dionysiacis agendum sit, et quid agere liceat, quid non. Laudat hæc *Demosthenes* Περὶ στεφ. p. 267. ὅσους στεφανοῦσί τινες τῶν δήμων, τὰς ἀναγορεύσεις τῶν στεφάνων ποιεῖσθαι ἐν αὐτοῖς ἑκάστους τοῖς ἰδίοις δήμοις, ἐὰν μή τινας ὁ δῆμος τῶν Ἀθηναίων ἢ ἡ βουλὴ στεφανοῖ· τούτους δ' ἐξεῖναι ἐν τῷ θεάτρῳ Διονυσίοις ἀναγορεύεσθαι.

36. οὐδὲν προσήκοντα] Προσήκειν τινί vel πρός τι, *pertinere ad aliquid, haud alienum esse ab aliqua re*, illustravit *Astius* ad Plat Legg. III. 15. p. 190.

διαῤῥήδην ἀπαγορεύων τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας, ἕτερον δ' εἶναι νόμον φήσουσιν ἐναντίον τούτῳ, τὸν δεδωκότα ἐξουσίαν ποιεῖσθαι τὴν ἀνάῤῥησιν τοῦ στεφάνου τραγῳδοῖς ἐν τῷ θεάτρῳ, ἐὰν ψηφίσηται ὁ δῆμος· κατὰ δὴ τοῦτον τὸν νόμον φήσουσι γεγραφέναι τὸν Κτησιφῶντα. 37. ἐγὼ δὲ πρὸς τὰς τούτων τέχνας παρέξομαι συνηγόρους τοὺς νόμους τοὺς ὑμετέρους, ὅπερ διατελῶ σπουδάζων παρὰ πᾶσαν τὴν κατηγορίαν. εἰ γὰρ τοῦτό ἐστιν ἀληθὲς καὶ τοιοῦτον ἔθος παραδέδυκεν ὑμῶν εἰς τὴν πολιτείαν, ὥστ' ἀκύρους νόμους ἐν τοῖς κυρίοις ἀναγεγράφθαι καὶ δύο περὶ μιᾶς πράξεως ὑπεναντίους ἀλλήλοις, τί ἂν ἔτι ταύτην εἴποι τις εἶναι τὴν πολιτείαν, ἐν ᾗ ταὐτὰ προστάττουσιν οἱ νόμοι ποιεῖν καὶ μὴ ποιεῖν; ἀλλ' οὐκ ἔχει ταῦθ' οὕτως· 38. μήθ' ὑμεῖς ποτε εἰς τοσαύτην ἀταξίαν τῶν νόμων προβαίητε, οὔτε ἠμέληται περὶ τῶν τοιούτων τῷ νομοθέτῃ τῷ τὴν δημοκρατίαν καταστήσαντι, ἀλλὰ διαῤῥήδην προστέτακται τοῖς θεσμοθέταις καθ' ἕκαστον ἐνιαυτὸν διορθοῦν ἐν τῷ δήμῳ τοὺς νόμους, ἀκριβῶς ἐξετάσαντας καὶ

*ἀπαγορεύων*] Sic dedi ex Helmst. et octo Bekkeri codd. pro vulgato *ἀπαγορεύοντα*, quod in se non damno. Nam interdum participia construuntur in enuntiationem interjectam. Sed plurimis optimisque MSS. obtemperandum erat.

38. *μήθ' ὑμεῖς—προβαίητε*] Helmst. et septem Bekkeri codd. *μή* habent pro *μήθ'*. Sic hæc enuntiatio per parenthesin posita esset, quasi monitum optantis. Sed *μήθ'* et *οὔτε* sibi respondent, prius cum optativo positum, vim optandi habens, ne quid fiat, alterum cum indicativo, vim affirmandi habens aliquid non esse. Sensus hic est: ut vehementer optandum, ne vos unquam ad tantam legum confusionem prolabamini; sic hæc a legislatore neglecta non sunt. Hanc membrorum oppositionem per has particulas oratoribus non inusitatas esse docui in Demosthen. p. 94. s.

37. *παραδέδυκεν*] Mead. habet *παρεισδέδυκεν*, quod Marklandus conjecerat. *Παρεισδύνειν* multo significantius est quam *παραδύνειν*. *Εἰσδύνειν* est *introire, intrare; παρεισδύνειν contra jus fasque intrare, irrepere, callide se insinuare.* Vocabulum apud recentiores imprimis scriptores usurpatur, nec tamen quicquam est, quod optima ætate illud indignum reddat, quum præterea certum sit Æschinem decomposita adamasse. Nostri *παρεισδύνειν* exempla vide apud *J. J. Wettstenium* ad epistolam Judæ. v. 4. *Ὑμῶν εἰς τὴν πολιτείαν* lenis est metathesis pro *εἰς τὴν πολιτείαν ὑμῶν.* Haud raro genitivus rectus præponitur substantivo regenti. *Περὶ παραπρ·* § 177. p. 253 meæ ed. *εἰς τοὺς ἐσχάτους ἡμῶν κινδύνους τὴν πόλιν καθιστᾶσι*: ubi Bekkerus ex uno codice dedit *εἰς τοὺς ἐσχάτους κινδύνους τὴν πόλιν ἡμῶν καθ.*

38. *προστέτακται τοῖς θεσμοθέταις*] Jam anni initio legum censura a Thesmothetis instituebatur. Hic tamen videtur alia ab Æschine commemorari. Nempe videtur sub anni finem, quum vel ipso judiciorum usu accuratam magis cognitionem sibi comparassent, censura et emendandarum ratio instituta fuisse. Cf. *Schœmann.* de Comit. p. 260.

*διορθοῦν ἐν τῷ δήμῳ*] Videtur Thesmothetarum officium fuisse, ut rationem quandam legum emendandarum populo proponerent et utræ utris præferendæ essent, eum docerent. Haud dubie tamen aliis quoque civibus idem licuit, ut de his rebus consilia populo darent.

σκεψαμένους, εἴ τις ἀναγέγραπται νόμος ἐναντίος ἑτέρῳ νόμῳ ἢ ἄκυρος ἐν τοῖς κυρίοις, ἢ εἴ πού εἰσι νόμοι πλείους ἑνὸς ἀναγεγραμμένοι περὶ ἑκάστης πράξεως. 39. κἄν τι τοιοῦτον εὑρίσκωσιν, ἀναγεγραφότας ἐν σανίσιν ἐκτιθέναι κελεύει πρόσθεν τῶν ἐπωνύμων, τοὺς δὲ πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐπιγράψαντας νομοθέτας, τὸν δ᾽ ἐπιστάτην τῶν προέδρων διαχειροτονίαν διδόναι τῷ δήμῳ, καὶ τοὺς μὲν ἀναιρεῖν τῶν νόμων, τοὺς δὲ καταλείπειν, ὅπως ἂν εἷς ᾖ νόμος καὶ μὴ πλείους περὶ ἑκάστης πράξεως. καί μοι λέγε τοὺς νόμους.

## ΝΟΜΟΙ.

40. Εἰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀληθὴς ἦν ὁ παρὰ τούτων λόγος καὶ ἦσαν δύο κείμενοι νόμοι περὶ τῶν κηρυγμάτων, ἐξ ἀνάγκης, οἶμαι, τῶν μὲν θεσμοθετῶν ἐξευρόντων, τῶν δὲ πρυτάνεων ἀποδόντων τοῖς νομοθέταις, ἀνῄρητ᾽ ἂν ὁ ἕτερος τῶν νόμων, ἤτοι ὁ τὴν ἐξουσίαν δεδωκὼς ἀνειπεῖν, ἢ ὁ ἀπαγορεύων· ὁπότε δὲ μηδὲν τούτων γεγένηται, φανερῶς δή που ἐξελέγχονται οὐ μόνον ψευδῆ λέγοντες, ἀλλὰ καὶ παντε-

*ἀναγέγραπται*] i. e. *κεῖται, ἔστιν*: verbum proprium de legislatione.

39. *ἐν σανίσιν*] Σανίδες inter alia dicebantur tabulæ, in quibus leges publice inscribebantur, antequam a populo disceptarentur. Ἐπτιθέναι verbum proprium in hac re.

*πρόσθεν τῶν ἐπωνύμων*] Ἐπώνυμοι hic sunt *οἱ τῶν φυλῶν ἐπώνυμοι ἥρωες, οἳ ἦσαν δέκα*, a quibus Clisthenes decem a se constitutis tribubus nomen dederat. Eos exponit *Pausanias* in Attica c. 5. Eorum statuæ prope curiam erant collocatæ, hæque statuæ hic intelliguntur.

*ἐπιγράψαντας νομοθέτας*] Nullo sensu H. Wolfius vertit *inscriptis legum latoribus*. Per *νομοθέτας* autem *F. A. Wolfius* Prolegg. in Leptin. p. cl. not. intelligit judices a populo constitutos, qui jus dixerant in Heliæa; *ἐπιγράφειν* vero ait esse *attribuere, designare, constituere*, quod proprie fuit populi, non prytanum. *Schœmann* autem de Com. p. 259. opinatur *νομοθέτας ἐπιγράφειν* breviter dictum significare: *ecclesiam de nomothetis habendam esse in programmate proscribere*: quod nescio an etiam Victorius intellexerit, qui in margine ed. Ven. ad *ἐπιγράψαντας* adscripsit *οἱονεὶ ὑποβαλόντας*.

*διαχειροτονίαν διδόναι τῷ δήμῳ*] Διαχειροτονία proprie locum habebat, quum diversæ rogationes populo proponebantur, ut dijudicaretur, quænam præferenda esset, et sic differt ab *ἐπιχειροτονία*, quæ simpliciter est suffragatio manuum erectione. Si res non brachylogice narratur, intelligendum est *populum in suffragia mittere, quinam creentur nomothetæ*. Fortasse tamen brachylogice dictum est, quemadmodum tota omnino res significatur tantum, ita ut *ἐπιγράψαντας νομοθέτας* omne munus nomothetarum complectatur et *διαχειροτονία* spectet suffragium de abolendis aut mutandis legibus.

40. *ὁ παρὰ τούτων λόγος*] Παρά cum genitivo sæpe brachylogice usurpatur originem indicans, unde aliquid proficiscitur, sive dictum sive factum. Κατὰ Τιμ. § 116. p. 85. meæ ed. *ἱκανῶς ὑμᾶς ὑπομιμνήσκει ὁ παρ᾽ ἐμοῦ λόγος*. Sic sæpe. Non audiendus igitur Helmst., qui pro *παρά* dat. *περί*. Sic etiam Latini usurpant præpos. a. *Litteræ ab aliquo*.

*ἤτοι—ἢ*] Hoc ordine semper leguntur hæ particulæ, non vice versa *ἢ—ἤτοι*. Prius membrum est vel admirantis vel mirantis, interdum tota disjunctio admirantis. [Vid. *Lobeck* ad Soph. Aj. p. 245 et 443. coll. *Schæfero* ad Apoll. Rh. T. II. p. 321.

λῶς ἀδύνατα γενέσθαι. 41. ὅθεν δὲ δὴ τὸ ψεῦδος τοῦτο ἐπιφέρουσιν, ἐγὼ διδάξω ὑμᾶς προειπὼν, ὧν ἕνεκα οἱ νόμοι ἐτέθησαν οἱ περὶ τῶν ἐν τῷ θεάτρῳ κηρυγμάτων. γινομένων γὰρ τῶν ἐν ἄστει τραγῳδῶν, ἀνεκήρυττόν τινες, οὐ πείσαντες τὸν δῆμον, οἱ μὲν ὅτι στεφανοῦνται ὑπὸ τῶν φυλετῶν, ἕτεροι δ' ὑπὸ τῶν δημοτῶν· ἄλλοι δέ τινες ὑποκηρυξάμενοι τοὺς αὑτῶν οἰκέτας ἀφίεσαν ἀπελευθέρους, μάρτυρας τῆς ἀπελευθερίας τοὺς Ἕλληνας ποιούμενοι. 42. ὃ δ' ἦν ἐπιφθονώτατον, προξενίας τινὲς εὑρημένοι ἐν ταῖς ἔξω πόλεσι διεπράττοντο ἀναγορεύεσθαι, ὅτι στεφανοῖ αὐτοὺς ὁ δῆμος, εἰ οὕτω τύχοι, ὁ τῶν Ῥοδίων, ἢ Χίων, ἢ καὶ ἄλλης τινὸς πόλεως ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας. καὶ ταῦτ' ἔπραττον οὐχ ὥσπερ οἱ ὑπὸ τῆς βουλῆς τῆς ὑμετέρας στεφανούμενοι, ἢ ὑπὸ τοῦ δήμου, πείσαντες ὑμᾶς καὶ μετὰ ψηφίσματος, πολλὴν χάριν καταθέμενοι, ἀλλ' αὐτοὶ προελόμενοι ἄνευ δόγματος ὑμετέρου. 43. ἐκ δὲ τούτου τοῦ τρόπου συνέβαινε τοὺς μὲν θεατὰς καὶ τοὺς χορηγοὺς καὶ τοὺς ἀγωνιστὰς ἐνοχλεῖσθαι, τοὺς δὲ ἀνακηρυττομένους ἐν τῷ θεάτρῳ μείζοσι τιμαῖς τιμᾶσθαι τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων. τοῖς μὲν γὰρ ἀποδέδεικτο τόπος ἡ ἐκκλησία, ἐν ᾗ χρῆν στεφανοῦσθαι, καὶ ἀπείρητο ἄλλοθι μηδαμοῦ κηρύττεσθαι· οἱ δὲ ἀνηγορεύοντο

42. ὃ δ' ἦν ἐπιφθονώτατον] Victorius margini Ven. adscripsit *ἐπίμεμπτον* et puncta posuit supra *τατον*. *Λείπει τὸ προσθήσω.*

43. *μείζοσι τιμαῖς*] *τιμαῖς* accessit ex tribus Bekkeri codd. ut jam in Stephani editione legitur. Vulgo deest *τιμαῖς*. Reiskius de suo dedit *μειζόνως*. In Helmst. est *μείζονος τιμῆς*, quod contendere potest cum *μείζοσι τιμαῖς*, quodque merito præ vulgata probavit Wunderlichius, qui Bekkeri copias nondum norat.

41. *γινομένων — τραγῳδῶν*] Reiskius hanc phrasin inter solœcismos Æschinis refert, quum etiam infra § 154. legatur *μελλόντων—τῶν τραγῳδῶν γίνεσθαι*. Eo autem loco Taylor, qui hic non offenderat, monet a *γίνεσθαι* non longe abesse *ἀγωνίζεσθαι*: quam veram lectionem esse arbitratur. Et quidem supra § 34., ubi legitur *τραγῳδῶν ἀγωνιζομένων καινῶν*, est in tribus Bekkeri codicibus *γιγνομένων*. *Hemsterhusius* ad Lucian. Tim. 51. rariorem hanc formam esse monet, nec ipse recusat, quo minus pro *γιγνομένων* scribatur *ἀγωνιζομένων*. Loquendi quidem forma non accurata est et subtilis; sed non obliviscendum in rebus, quæ populi sermonem exercent, in scribendo quoque paulatim admitti, quæ subtilior dicendi ratio rejiciat. Quare hæc, quamquam minime laudanda, toleranda tamen videtur locutio. Victorius Venet. adscripsit *ἀντὶ ἀγωνιζομένων τῶν τραγικῶν*.

*ἀνεκήρυττον*] Taylor mavult *ἀνεκήρυττοντο*, quod est in Helmst. et quod unus Bekkeri codex supra scriptum habet. Verum etiam alibi *ἀνακηρύττειν* dicitur, qui curat aliquid per præconem promulgandum § 46. *ὃν αὐτὸς ἔδωκε στέφανον ἅμα ἀνακηρύττειν καὶ ἀφαιρεῖσθαι.*

*ὑποκηρυξάμενοι*] *Pollux* IV. 94. *ὑποκηρύξασθαι τὸ προειπεῖν ἡσυχίαν ἢ ἐπαγγείλασθαί τι δημόσιον*. Victorius margini Ven. adscripsit *διὰ κήρυκος ἀφέντες: ἐβόα γὰρ ὁ κήρυξ· ὁ δεῖνα τὸν δεῖνα ἠλευθέρωσεν. Ἀττικῶς δὲ ἀντὶ κηρύξαντες. χαίρουσι γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τοῖς παθητικοῖς.* Sequenti versui adscribit *εἰρωνίας καὶ ἔθους* (*ἤθους*?) *μεστὸς ὁ λόγος*

ἐνώπιον ἁπάντων τῶν Ἑλλήνων· 44. κἀκεῖνοι μὲν μετὰ ψηφίσματος πείσαντες ὑμᾶς, οὗτοι δ' ἄνευ ψηφίσματος, συνιδὼν δή τις ταῦτα νομοθέτης τίθησι νόμον οὐδὲν ἐπικοινωνοῦντα τῷ περὶ τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων νόμῳ, οὔτε λύσας ἐκεῖνον· οὐδὲ γὰρ ἡ ἐκκλησία ἠνωχλεῖτο, ἀλλὰ τὸ θέατρον· οὔτ' ἐναντίον τοῖς πρότερον κειμένοις νόμοις τιθείς· οὐ γὰρ ἔξεστιν· ἀλλὰ περὶ τῶν ἄνευ ψηφίσματος ὑμετέρου στεφανουμένων ὑπὸ τῶν φυλετῶν καὶ δημοτῶν καὶ περὶ τῶν τοὺς οἰκέτας ἀπελευθερούντων καὶ περὶ τῶν ξενικῶν στεφάνων, καὶ διαῤῥήδην ἀπαγορεύει μήτ' οἰκέτην ἀπελευθεροῦν ἐν τῷ θεάτρῳ, μήθ' ὑπὸ τῶν φυλετῶν ἢ δημοτῶν ἀναγορεύεσθαι στεφανούμενον, μήθ' ὑπ' ἄλλου, φησί, μηδενός, ἢ ἄτιμον εἶναι τὸν κήρυκα. 45. ὅταν οὖν ἀποδείξῃ τοῖς μὲν ὑπὸ τῆς βουλῆς στεφανουμένοις εἰς τὸ βουλευτήριον ἀναῤῥηθῆναι, τοῖς δ' ὑπὸ τοῦ δήμου στεφανουμένοις εἰς τὴν ἐκκλησίαν, τοῖς δ' ὑπὸ τῶν δημοτῶν στεφανουμένοις καὶ φυλετῶν ἀπείπῃ μὴ κηρύττεσθαι τοῖς τραγῳδοῖς, ἵνα μηδεὶς ἐρανίζων στεφάνους καὶ κηρύγματα ψευδῆ φιλοτιμίαν κτᾶται, προσαπείπῃ δ' ἐν τῷ νόμῳ μηδ' ὑπὸ ἄλλου μηδενὸς ἀνακηρύττεσθαι ἀπούσης βουλῆς καὶ δήμου καὶ φυλετῶν καὶ δημοτῶν,—ὅταν δέ τις ταῦτα ἀφέλῃ, τί τὸ καταλειπόμενόν ἐστι πλὴν οἱ ξενικοὶ στέφανοι; 46. Ὅτι δ' ἀληθῆ λέγω, μέγα σημεῖον ὑμῖν τούτου ἐξ αὐτῶν τῶν νόμων ἐπιδείξω. αὐτὸν γὰρ τὸν χρυσοῦν

44. ἠνωχλεῖτο] Sic septem Bekkeri codices, fere optimi. Vulgo ἐνοχλεῖτο. Quattuor Bekkeri codices, ejusdem quidem familiæ, ἐνωχλεῖτο, unde, etiam si alii codd. non addixissent, jam præferenda fuisset forma Attica. Nam scriptores Attici in duplici hujus verbi augmento sibi fere constant. Cf. *Lobeck.* ad Phryn. p. 154.

44. *μετὰ ψηφίσματος πείσαντες ὑμᾶς*] Synonyma hæc. Τὸ *πείθειν* id agebat, ut *ψήφισμα* fieret. Amici enim in favorem ejus, qui se coronari cupiebat, tam multas laudes et publica merita congerebant, ut populus *ψήφισμα τοῦ στεφανωθῆναι αὐτόν* non recusaret. Hi contra, quos Æschines tangit hyperbolice, eo ipso, quod ab externa civitate coronam acceperant, jus sibi vindicabant *καινῶν τραγῳδῶν ἀγωνιζομένων* promulgari.

45. *ὅταν οὖν ἀποδείξῃ*] Sc. *ὁ νομοθέτης.* Victorius margini Ven. adscripsit *ὁ νόμος*, quod est in duobus Bekkeri codicibus.

*ἐρανίζων*] Victorius margini Ven. adscripsit *οἱονεὶ συλλέγων.* De laudabili more *ἐράνων* exposuit *Casaub.* ad Theoph. XV. 2., jamque Lexica satis instruunt. Hic autem tropice dicitur *emendicare, humili et mendicorum ratione aliquid consectari.* Ψευδῆ jungi potest vel cum *κηρύγματα* vel cum *φιλοτιμίαν*; aptius tamen jungitur cum *κηρύγματα*, et *φιλοτιμίαν* ponitur sine epitheto, ut § 23. *μὴ ἅρπαζε τὴν φιλοτιμίαν.*

*ἀπούσης βουλῆς*] *Si desit senatus*, i. e. si excipiatur senatus, præter senatum. Hæc significatio ex primaria verbi notione sponte enascitur. § 71. *οὐδὲ γιγνώσκειν ἔφη (τοὺς Φιλίππου πρέσβεις) τὴν εἰρήνην, ἀπούσης συμμαχίας.* Monet tamen Orellius fuisse, qui conjiceret *ἀκούσης β.*

στέφανον, ὃς ἂν ἐν τῷ θεάτρῳ τῷ ἐν ἄστει ἀναῤῥηθῇ, ἱερὸν εἶναι τῆς Ἀθηνᾶς ὁ νόμος κελεύει, ἀφελόμενος τὸν στεφανούμενον. καίτοι τίς ἂν ὑμῶν τολμήσειε τοσαύτην ἀνελευθερίαν καταγνῶναι τοῦ δήμου τοῦ Ἀθηναίων; μὴ γὰρ ὅτι πόλις, ἀλλ' οὐδ' ἂν ἰδιώτης οὐδὲ εἷς οὕτως ἀγεννὴς γένοιτο, ὥστε, ὃν αὐτὸς ἔδωκε στέφανον, ἅμα ἀνακηρύττειν καὶ ἀφαιρεῖσθαι καὶ καθιεροῦν. ἀλλ' οἶμαι, διὰ τὸ ξενικὸν εἶναι τὸν στέφανον καὶ ἡ καθιέρωσις γίγνεται, ἵνα μηδεὶς ἀλλοτρίαν εὔνοιαν περὶ πλείονος ποιούμενος τῆς πατρίδος χείρων γένηται τὴν ψυχήν. 47. ἀλλ' οὐκ ἐκεῖνον τὸν ἐν τῇ ἐκκλησίᾳ ἀναῤῥηθέντα στέφανον οὐδεὶς καθιεροῖ, ἀλλ' ἔξεστι κεκτῆσθαι, ἵνα μὴ μόνον αὐτός, ἀλλὰ καὶ οἱ ἐξ ἐκείνου, ἔχοντες ἐν τῇ οἰκίᾳ τὸ ὑπόμνημα, μηδέποτε κακοὶ τὴν ψυχὴν εἰς τὸν δῆμον γίγνωνται. καὶ διὰ τοῦτο προσέθηκεν ὁ νομοθέτης μὴ κηρύττεσθαι τὸν ἀλλότριον στέφανον ἐν τῷ θεάτρῳ, ἐὰν μὴ ψηφίσηται ὁ δῆμος, ἵν' ἡ πόλις, ἡ βουλομένη τινὰ τῶν ὑμετέρων στεφανοῦν, πρέσβεις πέμψασα δεηθῇ τοῦ δήμου, ἵνα κηρυττόμενος μείζω χάριν εἰδῇ τῶν στεφανούντων ὑμῖν, ὅτι κηρῦξαι ἐπετρέψατε. ὅτι δ' ἀληθῆ λέγω, τῶν νόμων αὐτῶν ἀκούσατε.

## ΝΟΜΟΙ.

48. Ἐπειδὰν τοίνυν ἐξαπατῶντες ὑμᾶς λέγωσιν, ὡς προσγέγραπται ἐν τῷ νόμῳ ἐξεῖναι στεφανοῦν, ἐὰν ψηφίσηται ὁ

47. *μείζω χάριν εἰδῇ τῶν στεφανούντων ὑμῖν, ὅτι* cet.] Sic Aldina et schedæ Scrimgeri. Vulgo legitur *μείζω χάριν εἰδῇ τῶν στεφάνων ὑμῖν ἢ τοῖς στεφανοῦσιν, ὅτι.* Sed *στεφάνων* memoratur nonnisi ex uno Bekkeri pro *στεφανοῦντων* et *ἢ τοῖς στεφανοῦσι* manifesta est explicatio genitivi post comparativum positi *τῶν στεφανούντων.*

46. *τοῦ δήμου τοῦ Ἀθηναίων*] Sic duo Bekkeri codd. pro vulgato *τοῦ δήμου τῶν Ἀθηναίων.* Ad genitivum nominis proprii pendentem ex nomine appellativo plerumque Æschines repetit articulum nominis appellativi, et nomen proprium in genitivo ponit sine articulo. Hunc usum dicimus esse Atticorum scriptorum: quem librarii sæpe vitiarunt. Attendendum tamen ad consuetudinem singulorum scriptorum. Recentiores imprimis utrumque articulum et appellativi nominis et proprii jungere videntur. Cf. *Jacobs* ad Ach. Tat. p. 4, 23. Animadvv. p. 398.

*μὴ—ὅτι—ἀλλ' οὐδ'*] Μή ellipticum est: *μὴ γὰρ ὑπολαμβάνετε, ὅτι ἂν γένοιτα πόλις, ἀλλ' οὐδ' ἂν ἰδιώτης—γένοιτο,* ne opinemini civitatem fore, sed ne fuerit quidem privatus tam illiberalis.

47. *ἀλλ' οὐκ—οὐδεὶς καθιεροῖ*] Sine caussa nonnemo offenderat in duplici negatione et malebat *οὖν* pro *οὐκ.* Sed per *ἀλλ' οὐκ* in oppositione enuntiatio fortiter negativa annuntiatur; tum ubi nos indefinitum affirmativum in eadem enuntiatione ponimus, Græci ponunt negativum. Vide *Matthiae* Gr. Gr. p. 786.

48. *ἐξεῖναι στεφανοῦν*] *Petitus* Legg. Att. p. 379. ed. Wesseling. addendum censet *ἐν τῷ θεάτρῳ,* idemque suspicabatur Taylor. Locus quidem sic est intelligendus, ut si hæc verba adessent.

δῆμος, ἀπομνημονεύετε αὐτοῖς ὑποβάλλειν, ναί, εἴ γέ σε τις ἄλλη πόλις στεφανοῖ· εἰ δὲ ὁ δῆμος ὁ Ἀθηναίων, ἀποδέδεικταί σοι τόπος, ὅπου δεῖ τοῦτο γενέσθαι, ἀπείρηταί σοι ἔξω τῆς ἐκκλησίας μὴ κηρύττεσθαι. τὸ γὰρ "ἄλλοθι δὲ μηδαμοῦ" ὅ τι ἐστιν, ὅλην τὴν ἡμέραν λέγε· οὐ γὰρ ἀποδείξεις, ὡς ἔννομα γέγραφας.

49. Ἔστι δὲ ὑπόλοιπόν μοι μέρος τῆς κατηγορίας, ἐφ' ᾧ μάλιστα σπουδάζω· τοῦτο δέ ἐστιν ἡ πρόφασις, δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι. λέγει γὰρ οὕτως ἐν τῷ ψηφίσματι, "καὶ τὸν κήρυκα ἀναγορεύειν ἐν τῷ θεάτρῳ πρὸς τοὺς Ἕλληνας, ὅτι στεφανοῖ αὐτὸν ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας" καὶ τὸ μέγιστον, "ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ." 50. ἁπλοῦς δὴ παντάπασιν ὁ μετὰ ταῦτα ἡμῖν λόγος γίνεται, καὶ ὑμῖν ἀκούσασι κρῖναι εὐμαθής· δεῖ γὰρ δή που τὸν μὲν κατηγοροῦντα ἐμὲ τοῦθ' ὑμῖν ἐπιδεικνύναι, ὡς εἰσὶν οἱ κατὰ Δημοσθένους ἔπαινοι ψευδεῖς καὶ ὡς οὔτ' ἤρξατο λέγειν τὰ βέλτιστα οὔτε νῦν διατελεῖ πράττων τὰ συμφέροντα τῷ δήμῳ. κἂν τοῦτ' ἐπιδείξω, δικαίως δή που τὴν γραφὴν ἁλώσεται Κτησι-

48. ὑποβάλλειν] Sic septem Bekkeri codd. et ante Helmst. Vulgo ὑποβαλεῖν. In præsente inest, quod immorari eos oporteat in responsione.

Sed ut addantur, non est necessarium. Contextus enim satis docet de nulla coronatione sermonem esse posse, nisi quæ fiat in theatro.

ἀπείρηται] Asyndeton fortius est, quam si addatur γάρ, quod Reiskius addidit de suo et quod est in uno Bekkeri; asyndeto autem hoc raro utitur Æschines. Κατὰ Τιμ. § 193. p. 132. meæ ed. ἀλλ' ἐκεῖνο ποιήσω· ἀφελὼν τὰ ὀνόματα, διεξιὼν δὲ τὰ ἐπιτηδεύματα αὐτῶν καὶ τὰ σώματα γνώριμα καταστήσω. Tenendum autem enuntiationes quasdem suo pondere tam graves esse, ut particula præsertim caussali non egeant. Hinc apud tragicos rarissima ejus est intra parvum spatium repetitio.

49. τὸ μέγιστον] Hoc in ipso psephismate Ctesiphontis, quod legimus ap. *Demosthen.* Περὶ στεφ. p. 243. non est, sed additum ab Æschine, ut attentionem ad hoc maxime momentum moveat. Hic autem totus locus abunde docet, quousque animus odio et cupiditate abreptus progredi possit.

50. ἁπλοῦς] Scholiastes: τριχῶς λέγεται τὸ ἁπλοῦν ἢ ἐπὶ τοῦ ἀπανουργήτου, ἢ ἐπὶ τοῦ ἐρήμου, ἢ ἐπὶ τοῦ συντόμου· ἐνταῦθα οὖν ἁπλοῦν λέγει τὸ σύντομον, ὥσπερ Εὐριπίδης (Phœn. 772.)

ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.

οἱ κατὰ Δημοσθένους ἔπαινοι] Κατά proprie motum ex superiore loco in inferiorem locum significat; hinc tropice vel de vituperiis vel de laudibus dicitur, quæ quasi dejiciuntur in aliquem, et facile intelligitur significationem malam esse frequentiorem. Interdum tamen etiam in ejusmodi locutionibus reperitur, in quibus aut omnino significat *quod attinet ad*, aut *in favorem, honorem*. § 241. ἄνδρας ἀγαθούς, — ἐὰν τοὺς καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν.

οὔτ' ἤρξατο—οὔτε—διατελεῖ] Sic accipienda, quasi posuisset οὐχ ὅτι διατελεῖ, ἀλλ' οὐδ' ἤρξατο. Interdum illud membrum, quod primo οὔτε adhæret, involvit, quum ipsum negetur, alterum ne fieri quidem posse.

ἁλώσεται] *Pollux* VIII. 73. ἐπὶ τοῦ καταδικασθέντος ἥλω, ἑάλω, ἁλίσκεσθαι. Cf. *Valckenaer* ad Herod. II.

φῶν· ἅπαντες γὰρ ἀπαγορεύουσιν οἱ νόμοι μηδένα ψευδῆ γράμματα ἐγγράφειν ἐν τοῖς δημοσίοις ψηφίσμασι. τῷ δ' ἀπολογουμένῳ τοὐναντίον τούτου δεικτέον ἐστίν. ὑμεῖς δ' ἡμῖν ἔσεσθε τῶν λόγων κριταί. ἔχει δ' οὕτως.

51. Ἐγὼ τὸν μὲν βίον τὸν Δημοσθένους ἐξετάζειν μακροτέρου λόγου ἔργον ἡγοῦμαι εἶναι. τί γὰρ δεῖ νῦν ταῦτα λέγειν, ἢ τὰ περὶ τὴν τοῦ τραύματος γραφὴν αὐτῷ συμβεβηκότα, ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλη τὸν Παιανιέα, ἀνεψιὸν ὄντα ἑαυτῷ, καὶ τὴν τῆς κεφαλῆς ἐπιτομήν· ἢ τὰ περὶ τὴν Κηφισοδότου στρατηγίαν καὶ τὸν τῶν νεῶν ἔκπλουν τὸν εἰς Ἑλλήσποντον, 52. ὅτε εἷς ὢν τῶν τριηράρχων Δημοσθένης καὶ περιάγων τὸν στρατηγὸν ἐπὶ τῆς νεὼς καὶ συσσιτῶν καὶ συνθύων καὶ συσπένδων, καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς αὐτῷ φίλος εἶναι, οὐκ ὤκνησεν ἀπ' εἰσαγγελίας αὐτοῦ κρινομένου περὶ θανάτου κατήγορος γενέσθαι· καὶ ταῦτα ἤδη τὰ περὶ Μειδίαν καὶ τοὺς κονδύλους, οὓς ἔλαβεν ἐν τῇ ὀρχήστρᾳ χορηγὸς ὤν, καὶ ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς

50. ψευδῆ γράμματα ἐγγράφειν] Γράμματα, quod vulgo deerat, ex cunctis fere codd. accessit. Librarios conjugata expellere nota res est. ψευδῆ γράμματα sunt ea ipsa, quæ in laudem Demosthenis scripsisse arguitur Ctesiphon.

174. Oppositum est ἀποφεύγειν, *criminibus elabi.*

51. τὴν τοῦ τραύματος γραφὴν] Γραφὴ τραύματος erat ἐκ προνοίας. Scilicet si quis eo consilio aliquem vulneraverat, ut eum interficeret, γραφὴ τραύματος locum habebat secundum Solonis legem, quam nobis servavit *Demosth.* Κατὰ Τιμοκρ. p. 627. apud Areopagum. Alterum genus τραύματος est, ἄν τις τύπτῃ τινὰ ἄρχων χειρῶν ἀδίκων. Hic αἰτίας δίκη tenebatur: quæ erat actio privata, cui lege multa non definita, tamen constituta erat, si quis scilicet injuriam prior intulerat, non vim vi repellebat. Hæc δίκη agebatur πρὸς τετταράκοντα, magistratum sorte ductum, ad quem pertinebant caussæ privatæ, quarum multa decem minas non superabat. Hinc conjicere licet eos, qui casu et sine consilio aut temeritate aliquem vulneraverint, non esse multatos.

Κηφισοδότου] Scholiastes: Κηφισόδοτος, πολιορκήσας Ἀλωπεκόννησον, εἰσαγγελθεὶς διὰ τὴν συνθήκην τὴν πρὸς Χαρίδημον γενομένην καὶ καταψηφισθεὶς πέντε ταλάντοις ἐζημιώθη. Rem narrantem conferre poteris *Demosth.* Κατὰ Ἀριστοκρ. p. 675. s.

52. περιάγων] Scholiastes: Δοκεῖ τοῦτο ὥσπερ τιμή τις εἶναι τριηράρχου ἐκείνου, οὗ ἂν ὁ στρατηγὸς ἐπιβῇ τῆς νεώς, καθὸ δοκεῖ τῶν ἄλλων τριηράρχων προκρίνειν τὴν ἐκείνου τριήρη ὡς καλῶς κατεσκευασμένην.

ἀπ' εἰσαγγελίας] Sollemnis hæc est formula. De εἰσαγγελίᾳ accuratissime exposuit *Schœmann.* de Comit. L. II. c. 3. Interdum præpositio cum substantivo in unum vocabulum coaluit, optimi tamen codd. disjungunt. Infra § 79. φυγὰς ἀπ' εἰσαγγελίας γεγένηται. § 171. accessit ex bonis codd. φυγὰς ἀπ' εἰσαγγελίας ἐκ τῆς πόλεως ἐγένετο. Hic εἰσαγγελία spectabat perfidiam in populum commissam.

Μειδίαν] In hunc scripta Demosthenis oratio exstat, sed non habita. Inde quod non habita sit, factum esse putant viri docti, ut adumbratam eam, non perpolitam relinqueret orator.

τριάκοντα μνῶν] Conferendus de hac re *Boeckh. über die Zeitverhältnisse der Demosthenischen Rede gegen den Midias* in Dissertationibus Academiæ Reg. Bor. 1818-1819, unde patebit hanc Æschinis criminationem haud improbabilem esse. Quanquam enim contra leges erat componere caussam ad magistratum delatam, tamen id interdum fiebat nec

αὑτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτονίαν, ἣν ἐν Διονύσου κατεχειροτόνησε Μειδίου. 53. ταῦτα μὲν οὖν μοι δοκῶ καὶ τἄλλα τὰ τούτοις ὅμοια ὑπερβήσεσθαι, οὐ προδιδοὺς ὑμᾶς, οὐδὲ τὸν ἀγῶνα καταχαριζόμενος, ἀλλ' ἐκεῖνο φοβούμενος, μή μοι παρ' ὑμῶν ἀπαντήσῃ τὸ δοκεῖν μὲν ἀληθῆ λέγειν, ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα. καίτοι, ὦ Κτησιφῶν, ὅτῳ τὰ μέγιστα τῶν αἰσχρῶν οὕτως ἐστὶ πιστὰ καὶ γνώριμα τοῖς ἀκούουσιν, ὥστε τὸν κατήγορον μὴ δοκεῖν ψευδῆ λέγειν, ἀλλὰ παλαιὰ καὶ λίαν προωμολογημένα, πότερα αὐτὸν δεῖ χρυσῷ στεφάνῳ στεφανωθῆναι, ἢ ψέγεσθαι; καὶ σέ, τὸν ψευδῆ καὶ παράνομα τολμῶντα γράφειν, πότερα χρὴ καταφρονεῖν τῶν δικαστηρίων, ἢ δίκην τῇ πόλει δοῦναι; 54. Περὶ δὲ τῶν δημοσίων ἀδικημάτων πειράσομαι σαφέστερον εἰπεῖν. καὶ γὰρ πυνθάνομαι μέλλειν Δημοσθένην, ἐπειδὰν αὐτοῖς ὁ λόγος ἀποδοθῇ, καταριθμεῖσθαι πρὸς ὑμᾶς, ὡς ἄρα τῇ πόλει τέτταρες ἤδη γεγένηνται καιροί, ἐν οἷς αὐτὸς πεπολίτευται. ὧν ἕνα μὲν καὶ πάντων πρῶτον, ὡς ἔγωγε ἀκούω, καταλογίζεται ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ πρὸς Φίλιππον ὑπὲρ Ἀμφιπόλεως ἐπολεμοῦμεν· τοῦτον δ' ἀφορίζεται τὸν χρόνον τῇ γενομένῃ

54. *πάντων πρῶτον*] Genitivus *πάντων* suspectus esse potest. Deest enim in sex codd. Duo autem habent *πρῶτον ἁπάντων*: quæ diversitas suspicionem auget.

pœna compositioni constituta imponebatur. Midiæ autem eo tempore potentia et opes tantæ erant, ut metuendum esset Demostheni nondum auctoritate pollenti, ne caussa caderet. Hinc non alienus erat a lite componenda. Atticæ vero levitati tantum concessit, ut triginta minas ab adversario acciperet, ne, re gratis omissa, omnium esset ludibrio. Ἅμα i. e. *ἐπὶ τοῦ κατὰ τὸν αὐτὸν καιρόν*, quod animadvertit *Suidas*, hunc locum laudans s. v. *ἅμα*; *eodem tempore.*

*κατεχειροτόνησε*] Nempe *προβολήν*, *querelam*, Demosthenes ad populum detulerat, Midiam impium fuisse contra Deum ejusque sacra. A populo autem res demum tradebatur legitimo judicio, et *καταχειροτονία τοῦ δήμου* nonnisi eo valebat, ut actor, quamvis inops et humilis, populi præjudicio munitus cum certiore vincendi spe in judicio ageret. Accurate de hac re exposuit *Schœmann.* de Comit. L. II. c. 5.

53. *τὸν ἀγῶνα καταχαριζόμενος*] Καταχαρίζεσθαι est prodere aliquid contra jus fasque in gratiam alicujus.

*λίαν ὁμολογούμενα*] Præsens indicat ea, quanquam antiqua, tamen etiamnum ut præsentia in memoria esse et ab omnibus concedi. Bene scholiastes: *οὕτω μεγάλα ἐστὶν, ὥστε οὐδὲ ὁ χρόνος τὴν μνήμην αὐτῶν ἠδυνήθη ἀφελέσθαι.*

*ὅτῳ τὰ μέγιστα τῶν αἰσχρῶν—πιστὰ*] Πιστός de hominibus et de rebus, quæ fidem merentur, dicitur. Sed pro dativo *ὅτῳ* exspectaveris *περὶ οὗ*. Adjectivo tamen explicativo *καὶ γνώριμα τοῖς ἀκούουσιν* res mitigatur: *de quo turpissima fidem merentur et inveniunt.*

54. *ἐν οἷς αὐτὸς πεπολίτευται*] Αὐτός ludibrii caussa additum: *ipse*, homo scilicet unicus.

*ὑπὲρ Ἀμφιπόλεως*] Ol. CV. 3: quo anno Philippus Amphipolin vi expugnavit. *Diodorus Sic.* XVI. 8.

*τῇ γενομένῃ εἰρήνῃ καὶ συμμαχίᾳ*] Ol. CVIII. 2.

εἰρήνῃ καὶ συμμαχίᾳ, ἣν Φιλοκράτης ὁ Ἁγνούσιος ἔγραψε καὶ αὐτὸς οὗτος μετ᾽ ἐκείνου, ὡς ἐγὼ δείξω. 55. δεύτερον δὲ καιρόν φησι γενέσθαι ὃν ἤγομεν χρόνον τὴν εἰρήνην, δηλονότι μέχρι τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ καταλύσας τὴν ὑπάρχουσαν εἰρήνην τῇ πόλει ὁ αὐτὸς οὗτος ῥήτωρ ἔγραψε τὸν πόλεμον· τρίτον δὲ ὃν ἐπολεμοῦμεν χρόνον μέχρι τῆς ἀτυχίας τῆς ἐν Χαιρωνείᾳ, τέταρτον δὲ τὸν νῦν παρόντα καιρόν. ταῦτα δὲ καταριθμησάμενος, ὡς ἀκούω, μέλλει με παρακαλεῖν καὶ ἐπερωτᾶν, ὁποῖον τούτων τῶν τεττάρων αὐτοῦ καιρῶν κατηγορῶ καὶ πότε αὐτὸν οὐ τὰ βέλτιστά φημι τῷ δήμῳ πεπολιτεῦσθαι· κἂν μὴ θέλω ἀποκρίνασθαι, ἀλλ᾽ ἐγκαλύπτωμαι καὶ ἀποδιδράσκω, ἐκκαλύψειν μέ φησι προσελθὼν καὶ ἄξειν ἐπὶ τὸ βῆμα καὶ ἀναγκάσειν ἀποκρίνασθαι. 56. ἵν᾽ οὖν μήθ᾽ οὗτος ἰσχυρίζηται, ὑμεῖς τε προειδῆτε, ἐγώ τε ἀποκρίνωμαι· ἐναντίον σοι τῶν δικαστῶν, Δημόσθενες, καὶ τῶν ἄλλων πολιτῶν, ὅσοι δὴ ἔξωθεν περιεστᾶσι, καὶ τῶν Ἑλλήνων, ὅσοις ἐπιμελὲς γέγονεν ὑπακούειν τῆσδε τῆς κρίσεως· ὁρῶ δὲ

55. *παρακαλεῖν*] Hoc novem codices præbuerunt pro vulgato *καλεῖν*. Alterum commendat præter codd. sequens *ἐπερωτᾶν*.

56. *ἵν᾽ οὖν μήθ᾽ οὗτος ἰσχυρίζηται, ὑμεῖς τε προειδῆτε, ἐγώ τε ἀποκρίνωμαι· ἐναντίον σοι τῶν δικαστῶν . . . ἀποκρίνομαι, ὅτι . . κατηγορῶ σου*] Quum pro *ἀποκρίνωμαι* Mead., quocum consentit unus Bekkeri, habeat *ἀποκρίνομαι*, Taylor pro *ἐγώ τε ἀποκρίνωμαι* scribendum censet *ἐγὼ δὴ αποκρίνομαι*, quo omnis periodi vis et subtilitas enervatur. Mirum quidem videatur, quod in apodosi idem verbum recurrat *ἀποκρίνεσθαι*, quod est in protasi. Sed in eo ipso vis inest. Protasis constat ex tribus partibus bene institutis, quæ consilium indicant Æschinis. Prima pars adversarium spectat, secunda auditores, tertia ipsum loquentem. De prima aliquid negatur, de reliquis affirmatur, et apodosis affirmat de eo, cujus partes sunt primariæ, de ipso loquente, et ita affirmat, ut affirmatio in admirationem rapiat omnes. Quibus superbit adversarius, et quæ omnia in laudem suam esse cessura opinatur, hæc omnia ejus malitiam et improbitatem demonstratura esse affirmat.

55. *ὃν ἤγομεν χρόνον τὴν εἰρήνην*] Per sex fere annos. Nam Ol. CX. 1. instabat bellum Philippi contra Athenienses.

*τῆς ἀτυχίας τῆς ἐν Χαιρωνείᾳ*] Ol. CX. 3.

*ἐγκαλύπτωμαι καὶ ἀποδιδράσκω*] Ἐγκαλύπτεσθαι, *faciem obtegere:* quod variis de caussis fiebat. Hinc variæ tropicæ significationes. Qui v. c. in mœrore et luctu erant, obtegebant faciem. Hinc tropica significatio *mœrore affici dolere*. Idem faciebant, quos alicujus facti pudebat. Hinc tropica significatio *pudore affici*, quæ h. l. obtinet. Utrumque autem verbum *ἐγκαλύπτωμαι καὶ ἀποδιδράσκω* conjunctum per ἓν διὰ δυοῖν intelligendum est: si *pudore affectus aufugiam.* Ad verbi *ἐγκαλύπτεσθαι* vim respiciens in sequentibus opposuit *ἐκκαλύψειν*.

56. *ἰσχυρίζηται*] Ἰσχυρίζεσθαι de pertinace dicitur, qui superbe et importune, non argumentorum pondere, sed sua unius auctoritate nixus, aliquid ita esse asseverat, ut ipse pronuntiet, et mendacia dicere eos, qui aliud quid affirment. Sic interpretanda sunt ea, quæ habet *Dukerus* ad Thucyd. VII. 49.

*ἔξωθεν*] H. l. idem, quod Demosthenes *ἔξωθεν κύκλῳ* dicit, idque exprimit præpositio in verbo *περιεστᾶσι*. Duo codices habent *ἔξω*, ex correctione, opinor.

*ὑπακούειν*] Marklandus conjecit *ἐπακούειν*, quod, si varietas esset in manu-

οὐκ ὀλίγους παρόντας, ἀλλ' ὅσους οὐδεὶς πώποτε μέμνηται πρὸς ἀγῶνα δημόσιον παραγενομένους· ἀποκρίνομαι, ὅτι ἁπάντων τῶν τεττάρων καιρῶν κατηγορῶ σου, οὓς σὺ διαιρῇ, 57. κἂν οἵ τε θεοὶ θέλωσι καὶ οἱ δικασταὶ ἐξ ἴσου ἡμῶν ἀκούσωσι κἀγὼ δύνωμαι ἀπομνημονεῦσαι ἅ σοι σύνοιδα, πάνυ προσδοκῶ ἐπιδείξειν τοῖς δικασταῖς τῆς μὲν σωτηρίας τῇ πόλει τοὺς θεοὺς αἰτίους γεγενημένους καὶ τοὺς φιλανθρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους, τῶν δὲ ἀτυχημάτων ἁπάντων Δημοσθένην αἴτιον γεγενημένον. καὶ χρήσομαι τῇ τοῦ λόγου τάξει ταύτῃ, ἣν τοῦτον πυνθάνομαι μέλλειν ποιεῖσθαι, λέξω δὲ πρῶτον περὶ τοῦ πρώτου καιροῦ καὶ δεύτερον περὶ τοῦ δευτέρου καὶ τρίτον περὶ τοῦ ἐφεξῆς καὶ τέταρτον περὶ τῶν νῦν καθεστηκότων πραγμάτων. καὶ δὴ ἐπανάγω ἐμαυτὸν ἐπὶ τὴν εἰρήνην, ἣν σὺ καὶ Φιλοκράτης ἐγράψατε.

58. Ὑμῖν γὰρ ἐξεγένετ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν προτέραν ἐκείνην εἰρήνην ποιήσασθαι μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων, εἴ τινες ὑμᾶς εἴασαν περιμεῖναι τὰς πρεσβείας, ἃς

scriptis, equidem præferrem. Nam ex usu linguæ ἐπακούειν est *audire, audire diligenter et cum attentione*, ὑπακούειν *auscultare*, de eo imprimis, qui clam et furtim aliquid comperire cupit, aut *dicto audientem esse.*

*ὁρῶ δὲ οὐκ ὀλίγους παρόντας*] Dicit hoc in ludibrium Demosthenis, qui, ut non coram civibus solum, sed etiam coram peregrinis coronam suam promulgari cupiat, sic jam frui possit voluptate, ut non solum cives, sed etiam exteri turpitudinem ejus cognoscant.

57. *κἀγὼ δύνωμαι ἀπομνημονεῦσαι*] Emphatice dictum tum *δύνασθαι*, tum *ἀπομνημονεύειν*: *si mihi contigerit, si vires meæ suffecerint, accurate commemorare.*

*μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους*] Intelligit sobriam et humanam rerum civilium rationem, alienam a superbia et arrogantia. *Τὰ τῆς πόλεως πράγματα* et *χρῆσθαι* de omni rerum gerendarum ratione; qualis intelligenda sit, vel contextus docet, vel, ut hic, adjectum epitheton *φιλανθρώπως καὶ μετρίως.*

*αἴτιον γεγενημένον*] Taylor nihil auribus ingratius accidere ait, quam ejusmodi *ὁμοιοτέλευτα.* Et eo hæc verba rescindenda concedit: quod nolim. Nam repetitur in oppositione vel idem vocabulum vel synonyma locutio, ut vim habeat oratio. § 168. *ἐὰν μὲν τοίνυν πρὸς τὴν εὐφημίαν αὐτοῦ τῶν λόγων ἀποβλέπητε, ἐξαπατηθήσεσθε—, ἐὰν δ' εἰς τὴν φύσιν καὶ ἀλήθειαν, οὐκ ἐξαπατηθήσεσθε.* Item non probo Reiskium, quod Κατὰ Τιμ. § 51. p. 46. meæ edit. in verbis *ὁ γὰρ πρὸς ἕνα τοῦτο πράσσων ἐπὶ μισθῷ δὲ τὴν πρᾶξιν ποιούμενος* vocabula *τὴν πρᾶξιν ποιούμενος* delenda censet. Hujus generis locos in Cicerone multos temere tentavit *Ernestius.*

58. *μετὰ κοινοῦ συνεδρίου*] Intelligit conventum legatorum sociarum Græciæ civitatum, qui, si tempus suffecisset, Athenis congregati, communi omnium civitatum nomine pacem fecissent. § 64. *ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων, ἀλλ' ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην.* Demosthenes ipse, hunc locum respiciens, dicit *μετὰ κοινοῦ συνεδρίου Ἑλλήνων.* P. 232.

*περιμεῖναι τὰς*] Reiskius ex conjectura dedit *περιμείναντας*: quo non opus. Nam *μετασχεῖν Ἑλληνικοῦ συνεδρίου* appositio est ad *παρακαλοῦντες ἐπὶ Φίλιππον* sc. *ὥστε μετασχ. Ἑ. σ.* Æschines dicit Athenienses per legatos Græcas civitates contra Philippum sollicitasse, ut scilicet singulæ participes essent consilii socialis, quod Athenis [illegible] Philippum

ἦτε ἐκπεπομφότες κατ' ἐκεῖνον τὸν καιρὸν εἰς τὴν Ἑλλάδα, παρακαλοῦντες ἐπὶ Φίλιππον μετασχεῖν Ἑλληνικοῦ συνεδρίου, καὶ προϊόντος τοῦ χρόνου παρ' ἑκόντων τῶν Ἑλλήνων ἀπολαβεῖν τὴν ἡγεμονίαν· καὶ τούτων ἀπεστερήθητε διὰ Δημοσθένην καὶ Φιλοκράτην καὶ τὰς τούτων δωροδοκίας, ἃς ἐδωροδόκησαν συστάντες ἐπὶ τὸ δημόσιον τὸ ὑμέτερον. 59. εἰ δέ τισιν ὑμῶν ἐξαίφνης ἀκούσασιν ἀπιστότερος προσπέπτωκεν ὁ τοιοῦτος λόγος, ἐκείνως τὴν ὑπόλοιπον ποιήσασθε ἀκρόασιν, ὥσπερ ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρόνου καθεζώμεθα ἐπὶ τοὺς λογισμούς. ἐρχόμεθα δή που ψευδεῖς οἴκοθεν ἐνίοτε δόξας ἔχοντες κατὰ τῶν λογισμῶν· ἀλλ' ὅμως ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς ὑμῶν ἐστιν οὕτω δύσκολος τὴν φύσιν, ὅστις οὐκ ἀπέρχεται τοῦθ' ὁμολογήσας καὶ ἐπινεύσας ἀληθὲς εἶναι, ὅ τι ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ. οὕτω καὶ νῦν τὴν ἀκρόασιν ποιήσασθε. 60. εἴ τινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἥκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν δόξαν, ὡς ἄρα ὁ Δημοσθένης οὐδὲν πώποτε εἴρηκεν ὑπὲρ Φιλίππου συστὰς μετὰ Φιλοκράτους,—ὅστις

59. *οὐδεὶς ὑμῶν ἐστιν οὕτω δύσκολος*] Revocavi lectionem omnium codicum *ὑμῶν*. Inde ab H. Stephano editur *ἡμῶν*: quæ persona quidem in hac enuntiatione dominatur. Sed frequentes sunt apud oratores subitæ personarum mutationes. *Wolfius* in Leptin. p. 365, "in antiqua oratione, inquit, oculus, manus, digitus vice interpretis funguntur, qui, quæ dura legentibus videri possunt, ea auditoribus facillima præstat ac plena nativæ elegantiæ." Hic autem Æschines aliquid affert, quod ipsum facturum esse sponte patet. Hinc fortis est inexspectata orationis ad auditores conversio.

spectantes communi omnium nomine administraret. *Καὶ—ἀπολαβεῖν* jungendum cum *ποιήσασθαι*, ut pendeat ex *ἐξεγένετο ἄν*. Similiter *Demosthen.* Περὶ στεφ. p. 265. *δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι τὸν Ναυσικλέα* ..... multis enuntiationibus interjectis, *καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ.*

59. *εἰ δέ τισιν*] Victorius margini Ven. adscripsit *προδιόρθωσις σχῆμα.* Aquila Romanus § 1. *prodiorthosis*, inquit, præcedens correctio. Hæc figura, ubi aliquid necessarium dictu et insuave audientibus aut odiosum nobis dicturi sumus, præmunit. Alii technici hanc figuram *προθεραπείαν* nominarunt, præviam expositionem, qua iis, quæ sequuntur, fidem aut veniam conciliamus: alii etiam *προμάλαξιν*, quemadmodum Quintilianus L. IV. 3, 10. de *fomentis*, quibus aspera præmolliamus, locutus est. Ad sequens *ὥσπερ* adscribit *παραβολή*, quæ dicitur *collatio*, *διότι τοῖς λεγομένοις παραβάλλει, τουτέστι, συγκρίνει καὶ παρατίθησι πρᾶγμά τι γνώριμον εἰωθὸς ἀεὶ γίνεσθαι.*

*ἐπὶ τοὺς λογισμούς*] Victorius: *ἐπὶ τὸ ἀπαιτῆσαι λόγους τῶν ἀναλωθέντων χρημάτων.*

*ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ*] *συγκεφαλαιοῦν rem summatim et capitulatim complecti*, ut in reddenda ratione nonnisi capita recenseri solent. Victorius adscripsit *ἀντὶ πλήρης ἀποδειχθῇ.*—Ceterum callide homines, qui melius de Demosthene existimabant, a benigno favore sub specie æquitatis abducit, pietatemque deminuit, quam isti Demostheni deberi fortasse arbitrabantur.

*ὅ τι ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ*] *Αἱρεῖν ostendere verum esse*, quod Latini dicunt *evincere*. *Horatius* Serm. II. 3, 250.

*puerilius his ratio esse evincet amare.*

οὕτω διάκειται, μήτ' ἀπογνώτω μηδὲν μήτε καταγνώτω, πρὶν ἀκούσῃ· οὐ γὰρ δίκαιον. ἀλλ' ἐὰν ἐμοῦ διὰ βραχέων ἀκούσητε ὑπομιμνήσκοντος τοὺς καιροὺς καὶ τὸ ψήφισμα παρεχομένου, ὃ μετὰ Φιλοκράτους ἔγραψε Δημοσθένης, ἐὰν αὐτὸς ὁ τῆς ἀληθείας λογισμὸς ἐγκαταλαμβάνῃ τὸν Δημοσθένην πλείω μὲν γεγραφότα ψηφίσματα Φιλοκράτους περὶ τῆς ἐξ ἀρχῆς εἰρήνης καὶ συμμαχίας, 61. καθ' ὑπερβολὴν δὲ αἰσχύνης κεκολακευκότα Φίλιππον καὶ τοὺς παρ' ἐκείνου πρέσβεις οὐκ ἀναμείναντα, αἴτιον δὲ γεγονότα τῷ δήμῳ τοῦ μὴ μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον δὲ Φιλίππῳ πεποιηκότα Κερσοβλέπτην τὸν Θρᾴκης βασιλέα, ἄνδρα φίλον καὶ σύμμαχον τῇ πόλει, ἐὰν ταῦθ' ὑμῖν σαφῶς ἐπιδείξω, δεήσομαι ὑμῶν μετρίαν δέησιν· ἐπινεύσατέ μοι πρὸς θεῶν τὸν πρῶτον τῶν τεττάρων καιρῶν μὴ καλῶς αὐτὸν πεπολιτεῦσθαι· λέξω δὲ ὅθεν μάλιστα παρακολουθήσετε.

62. Ἔγραψε Φιλοκράτης ἐξεῖναι Φιλίππῳ δεῦρο κήρυκα καὶ πρέσβεις πέμπειν περὶ εἰρήνης καὶ συμμαχίας· τοῦτο τὸ ψήφισμα ἐγράφη παρανόμων. ἧκον οἱ τῆς κρίσεως χρόνοι· κατηγόρει μὲν Λυκῖνος ὁ γραψάμενος, ἀπελογεῖτο δὲ Φιλοκράτης, συναπελογεῖτο δὲ καὶ Δημοσθένης· ἀπέφυγε Φιλοκράτης. μετὰ ταῦτα ἐπῄει ὁ χρόνος, Θεμιστοκλῆς ἄρχων· ἐνταῦθ' εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης, οὔτε λαχὼν οὔτ' ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος,

60. *μήτ' ἀπογνώτω μηδὲν*] Μηδέν adverbialiter positum est, nonnisi ad augendam vim negativam enuntiationis. Hinc non est cur Reiskium sequaris, suadentem *μηδενός*. Judicandi verba, quæ cum *ἀπό* composita sunt, significationem habent *absolvendi*, quæ cum *κατά*, *condemnandi*. Cf. *Pollux* VIII. 9.

*πρὶν ἀκούσῃ*] *Porsonus* ad Med. v. 222. monet sæpe *πρίν* jungere tragicos cum subjunctivo sine *ἄν*, quod in sermone familiari semper requiratur. Elmsleius et Hermannus ad eundem locum rem subtilius tractantes, non tetigerunt tamen eam quæstionem, num apud prosæ scriptores *ἄν* omitti possit. Si usum spectaveris, vix certos locos inveneris, in quibus aut *ἄν* ab omnibus codd. absit, aut subjunctivus ab omnibus libris teneatur. Nonnulli tamen sunt certi. *Reiskius* Conj. in Aristophanem L. I. p. 66. monet hanc locutionem *μὴ δικάσῃς πρὶν ἂν ἀκούσῃς* quasi in proverbium abiisse, nec usquam ad *πρίν* deesse *ἄν*; id ergo etiam hic addendum: cui equidem assentior.

61. *καὶ τοὺς παρ' ἐκείνου πρέσβεις οὐκ ἀναμείναντα*] si lectio sana est, respicit Æschines ad id, quod § 62. ss. uberius exponitur, Demosthenem non exspectasse, quoad venerint legati a Philippo ultro missi, sed curasse, qui invitarent, ut mitteret. Suspicionem tamen movere potest varietas lectionis. *Παρ' ἐκείνου* deest in tribus codd., et vocabula *οὐκ ἀναμείναντα*, quæ Wolfius omittebat, iidem codd. post *καί* ponunt, Bekkerus uncis inclusit.

62. *Θεμιστοκλῆς ἄρχων*] Ol. CVIII. 2.

*οὔτε λαχὼν οὔτ' ἐπιλαχών*] *Harpocration*, s. v. *ἐπιλαχών*: . . . *ἔοικε τὸ γιγνόμενον τοιοῦτον εἶναι· ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι· ἔπειτα ἑκάστῳ τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵν', ἐὰν ὁ πρῶτος λαχὼν ἀποδοκιμασθῇ, ἢ τε-*

ἵν' εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράττοι Φιλοκράτει, ὡς αὐτὸ ἔδειξε τὸ ἔργον. 63. νικᾷ γὰρ ἕτερον ψήφισμα Φιλοκράτης, ἐν ᾧ κελεύει ἑλέσθαι δέκα πρέσβεις, οἵτινες ἀφικόμενοι πρὸς Φίλιππον ἀξιώσουσιν αὐτὸν δεῦρο πρέσβεις αὐτοκράτορας πέμπειν ὑπὲρ τῆς εἰρήνης· τούτων εἷς ἦν Δημοσθένης. κἀκεῖθεν ἐπανήκων ἐπαινέτης ἦν τῆς εἰρήνης, καὶ ταὐτὰ τοῖς ἄλλοις πρέσβεσιν ἀπήγγειλε, καὶ μόνος τῶν βουλευτῶν ἔγραψε σπείσασθαι τῷ κήρυκι τῷ ἀπὸ τοῦ Φιλίππου καὶ τοῖς πρέσβεσιν, ἀκόλουθα γράφων Φιλοκράτει· ὁ μέν γε τὴν ἐξουσίαν ἔδωκε τοῦ δεῦρο κήρυκα καὶ πρέσβεις πέμπεσθαι, ὁ δὲ τῇ πρεσβείᾳ σπένδεται + 64. τὰ δὲ μετὰ ταῦτα ἤδη σφόδρα μοι τὸν νοῦν προσέχετε. ἐπράττετο γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις τοὺς πολλὰ συκοφαντηθέντας ὕστερον ἐκ μεταβολῆς ὑπὸ Δημοσθένους, ἀλλὰ πρὸς Φιλοκράτην καὶ Δημοσθένην, εἰκότως, τοὺς ἅμα μὲν πρεσβεύοντας, ἅμα δὲ τὰ ψηφίσματα γράφοντας, πρῶτον μὲν ὅπως μὴ περιμείνητε τοὺς πρέσβεις, οὓς ἦτε ἐκπεπομφότες, παρακαλοῦντες ἐπὶ Φίλιππον, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων, ἀλλ' ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην· 65. δεύτερον δ' ὅπως μὴ μόνον τὴν εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν εἶναι ψηφιεῖσθε πρὸς Φίλιππον, ἵν', εἴ τινες προσέχοιεν τῷ πλήθει τῷ ὑμετέρῳ, εἰς τὴν ἐσχάτην ἐμπέσοιεν ἀθυμίαν, ὁρῶντες ὑμᾶς αὐτοὺς μὲν παρακαλοῦντας

*λευτήσῃ, ἀντ' ἐκείνου γένηται βουλευτὴς ἢ ἄρχων ὁ ἐπιλαχὼν αὐτῷ.* Quod sequitur, *ἐκ παρασκευῆς πριάμενος*, videtur id spectare, quod fraude et pecunia sibi *πινάκιον*, *tabellam*, comparaverit, quæ dabatur ei, cui sors senatoria ceciderat.

*ἵν' εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράττοι Φιλοκράτει*] *Ὑποδέχεσθαι* et inde derivata significationem tropicam *opitulandi* habent, quum sæpe de hospitio et receptione dicantur eorum, quibus opus sit auxilio. Apud recentiores hic usus imprimis frequens est.

63. *νικᾷ γὰρ ἕτερον ψήφισμα Φιλοκράτης*] *Νικᾶν*, ut *vincere* apud Latinos, proprium est de eo, qui pertulit rogationem. Cf. *Schœm.* de Comit. p. 129. *Ernesti* Cl. Cic. s. v. *vincere*. Ut autem is, qui rogationem perfert, dicitur *νικᾶν*, sic etiam *γνώμη*. § 72. *Καὶ τέλος ταῦτ' ἐνίκα*, ubi *ταῦτα* est nominativus. *Demosthenes* Phil. I. fin. *νικῴη δ' ὅ τι πᾶσιν ὑμῖν μέλλει συνοίσειν.*

*τῷ ἀπὸ τοῦ Φιλίππου*] Quum Ald. haberet *ὑπό*, Wolfius scripsit *παρά*, idemque restituit Valckenaer. Annott. Critt. in LL. N. T. p. 352, locutionis plura exempla afferens. Sed proprior codicum scripturæ est lectio Bekkeri *ἀπό*. Cf. *Bast.* ad Gregor. Cor. p. 794. Et *ἀπό*, ut *παρά*, elliptice usurpatur, originem denotans, unde quid proficiscatur. Cf. *Matthiae*, Gr. Gr. p. 741.

64. *τὰ δὲ μετὰ ταῦτα ἤδη σφόδρα μοι τὸν νοῦν προσέχετε*] Lenis est anacoluthia. Æschines enuntiationem inchoans videtur verbum ponere voluisse, quod accusativum regit; tum vero synonymum posuit *προσέχετε τὸν νοῦν*, cujus constructio dativum flagitaret. Vulgo ejusmodi accusativos vocant absolutos et interpretantur *quod attinet ad.*

*ὅπως μὴ περιμείνητε*] Opinor hic aoristum conjunctivi positum esse, non futurum indicativi, quod adversarii maxime metuebant, ne Athenienses legatorum reditum exspectarent.

*παρακαλοῦντες*] Participium refertur

ἐπὶ τὸν πόλεμον, οἴκοι δὲ μὴ μόνον εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν ἐψηφισμένους ποιεῖσθαι· τρίτον δὲ ὅπως Κερσοβλέπτης ὁ Θρᾴκης βασιλεὺς μὴ ἔσται ἔνορκος, μηδὲ μετέσται τῆς συμμαχίας καὶ τῆς εἰρήνης αὐτῷ, παρηγγέλλετο δ᾽ ἤδη ἐπ᾽ αὐτὸν στρατεία. 66. καὶ ταῦθ᾽ ὁ μὲν ἐξωνούμενος οὐκ ἠδίκει, πρὸ γὰρ τῶν ὅρκων καὶ τῶν συνθηκῶν ἀνεμέσητον ἦν αὐτῷ πράττειν τὰ συμφέροντα, οἱ δ᾽ ἀποδόμενοι καὶ κατακοινωνήσαντες τὰ τῆς πόλεως ἰσχυρᾶ μεγάλης ὀργῆς ἦσαν ἄξιοι. ὁ γὰρ μισαλέξανδρος νυνὶ φάσκων εἶναι καὶ τότε μισοφίλιππος Δημοσθένης, ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τὴν Ἀλεξάνδρου, γράφει ψήφισμα, τοὺς καιροὺς τῆς πόλεως ὑφαιρούμενος, ἐκκλησίαν ποιεῖν τοὺς πρυτάνεις τῇ ὀγδόῃ ἱσταμένου τοῦ Ἐλαφηβολιῶνος μηνός. 67. ὅτ᾽ ἦν τῷ Ἀσκληπιῷ ἡ θυσία καὶ ὁ προαγών, ἐν τῇ ἱερᾷ ἡμέρᾳ, ὃ πρότερον οὐδεὶς μέμνηται γενόμενον, τίνα πρόφασιν ποιησάμενος; ἵνα, φησίν, ἐὰν ἤδη παρῶσιν οἱ Φιλίππου πρέσβεις, βουλεύσηται ὁ δῆμος ὡς τάχιστα περὶ τῶν πρὸς Φίλιππον, τοῖς οὔπω παροῦσι πρέσβεσι προκαταλαμβάνων τὴν ἐκκλησίαν καὶ τοὺς χρόνους ὑμῶν ὑποτεμνόμενος καὶ τὸ πρᾶγμα κατασπεύδων, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων, ἐπανελθόντων τῶν ὑμετέρων

ad subjectum, ad Athenienses, non ad objectum, ad *πρέσβεις*, ut § 58. et paulo post *ὁρῶντες ὑμᾶς αὐτοὺς παρακαλοῦντας ἐπὶ τὸν πόλεμον.*

*ποιήσησθε*] Conjunctivo significatur rem fieri conditione aliqua interposita.

66. *ὁ μὲν ἐξωνούμενος οὐκ ἠδίκει*] His ostendit cautum saltem fuisse Philippum, qui præ se ferre possit, rebus adhuc integris se consuluisse Demosthenem et Philocratem; quum vero hos rerum suarum studiosissimos esse perspexerit, suis ipsum commodis non adversatum esse eorumque studia ut par erat honorasse. Sic unam eamque infamem culpam hærere in Demosthene et Philippo.

*κατακοινωνήσαντες*] *Thomas M.* *οὐ μόνον κοινωνῶ σοι τοῦ δεῖνος ἀντὶ τοῦ συμμετέχω σοι, ἀλλὰ καὶ κοινωνῶ σοι ὧν ἔχω ἀντὶ τοῦ μεταδίδωμι. Πλάτων ἐν δευτέρῳ τῶν πολιτειῶν· τετραπλάσιον χρόνον τε καὶ πόνον ἀναλίσκειν ἐπὶ σίτου παρασκευῇ καὶ ἄλλοις κοινωνεῖν. καὶ πάλιν ᾽ν τῷ αὐτῷ· καὶ μὴ ἄλλοις κοινωνοῦντα πράγματα ἔχειν.* Locus est L. II. p. 369. c. 370. a. Hinc patet contra codices nihil mutandum esse, quum præsertim etiam in oratoribus activa significatio interdum locum habeat. *Demosth.* Κατὰ Ἀριστογ. p. 789. *μετὰ ταῦτα ψηφίζονται ταυτὶ οἱ ἐν τῷ οἰκήματι, μηδένα μηδενὸς τούτῳ κοινωνεῖν μηδὲ λαμβάνειν.*

67. *ὅτ᾽ ἦν τῷ Ἀσκληπιῷ ἡ θυσία*] Nempe diebus festis patriæ leges moresque majorum non concedebant populum in concionem vocari. Ex hoc autem uno loco novimus festum in honorem Æsculapii octavo Elaphebolionis die actum esse idque primus inter Atheniensium festa retulit *Corsini* Fast. Att. Dissert. XIII. 19. Si ex Asclepiæis celebratissimis, quæ Epidauri agebantur, conjicere licet, res primaria erant *ἀγῶνες μουσικῆς*, et ad hos referendus qui hic memoratur *προαγών.*

*ἐπανελθόντων τῶν ὑμετέρων πρέσβεων*] Abfuisse legati ad Græcos contra Philippum invitandos missi dicuntur, et ita quidem, quasi etiam tum omnes abfuerint. *Demosthen.* autem de Coron. p. 233. *οὔτε γάρ*, inquit, *ἦν πρεσβεία πρὸς οὐδένας ἀπεσταλμένη τότε τῶν Ἑλλήνων, ἀλλὰ*

πρέσβεων, ἀλλὰ μόνοι ποιήσησθε τὴν εἰρήνην. 68. μετὰ δὲ ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, ἧκον οἱ Φιλίππου πρέσβεις· οἱ δὲ ὑμέτεροι ἀπεδήμουν παρακαλοῦντες τοὺς Ἕλληνας ἐπὶ Φίλιππον. ἐνταῦθ' ἕτερον ψήφισμα νικᾷ Δημοσθένης, ἐν ᾧ γράφει μὴ μόνον ὑπὲρ τῆς εἰρήνης, ἀλλὰ καὶ συμμαχίας ὑμᾶς βουλεύσασθαι, μὴ περιμείναντας τοὺς πρέσβεις τοὺς ὑμετέρους, ἀλλ' εὐθὺς μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει, τῇ ὀγδόῃ καὶ ἐνάτῃ ἐπὶ δέκα. ὅτι δ' ἀληθῆ λέγω, ἀκούσατε τῶν ψηφισμάτων.

## ΨΗΦΙΣΜΑΤΑ.

69. Ἐπειδὴ τοίνυν, ὦ Ἀθηναῖοι, παρεληλύθει τὰ Διονύσια, ἐγίγνοντο δὲ αἱ ἐκκλησίαι, ἐν δὲ τῇ προτέρᾳ τῶν ἐκκλησιῶν ἀνεγνώσθη δόγμα κοινὸν τῶν συμμάχων, οὗ τὰ κεφάλαια διὰ βραχέων ἐγὼ προερῶ. πρῶτον μὲν γὰρ ἔγραψαν ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι, τὸ δὲ τῆς συμμαχίας ὄνομα

69. *δόγμα κοινὸν τῶν συμμάχων*] Post δόγμα vulgo adduntur τῇ ὀγδόῃ ἐπὶ δέκα: quæ jam Taylor in margine ad explicationem τῇ προτέρᾳ adscripta fuisse recte judicavit. Hoc etiam inde fit probabile, quod in tribus codd. eadem vocabula addita sunt ante δόγμα. Hinc Bekkerum secutus sum, qui in editione Halensi hæc vocabula ejecit, quanquam in altera uncis tantum ea incluserit.—Quod autem Taylor etiam τῶν ἐκκλησιῶν ejiciendum censet, id quidem non probo, quum nec in verbis sit quod damnetur, nec manuscripti quicquam varient.

πάλαι πάντες ἦσαν ἐξεληλεγμένοι, οὐθ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν— quæ utraque gravius quam verius dicta esse arguit repugnantia, facile concilianda, si memineris paulo ante (Ol. CVIII. 1.) invitatos ab Atheniensibus esse Arcades aliosque Græcos Olynthi excidio exacerbatos (*Diod. Sic.* XVI. 54. *Demosthenes*, p. 438. 19. cf. 439. 4.) quorum alii jam accesserant ad illud sociorum Atheniensium collegium (cf. supra § 58), alii autem, quorum vel refrixerant studia, vel nunquam illis faverant, etiam tunc ab eorum legatis adibantur. Cf. *Weiske* de Hyperb. II. p. 40 et 49.

68. *μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει*] Ex hoc loco patet hæc magna Dionysia mensis Elaphebolionis post diem octavum et ante decimum octavum celebrata esse; quo die et quamdiu, incertum. *Dodwellus* Diss. VI. 18. ad duodecimum hujus mensis diem ea revocanda esse judicat. Egit de hoc festo *Corsini* Fast. Att. Diss. XIII. 37. P. I. 325 sqq. nuper *Boeckh.* in commentatione de Lenæis (*Abhandl. der Acad. der Wissench.* in Berlin. J. 1817), et *Buttmannus* in Exc. I. ad Demosth. Mid.

§ 69. *ἐπειδὴ τοίνυν — παρεληλύθει — ἐγίγνοντο δὲ—ἐν δέ* cet.] Oratio est ἀναπόδοτος. Protasis incipit ab ἐπειδή, tum sequuntur alia membra adjecta protasi et tandem orator constructionem deserit, et sententia, quæ apodoseos forma addenda erat, enuntiatione exprimitur recta et suæ potestatis. § 71. Hujusmodi anapodota, præsertim in periodis, quæ ab ἐπειδή incipiunt, apud Græcos scriptores frequentia sunt. *Æschines* Περὶ Παραπρ. § 22. p. 149. meæ ed. ἐπειδὴ δὲ εἰσεκλήθημεν—, ubi vide notas. *Demosthenes*, Περὶ Στεφ. p. 269. § 126. ἐπειδὴ τοίνυν— δέδεικται. p. 289. § 181. ἐπειδὴ Φίλιππος —παραβαίνων φαίνεται.

*ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι*] Vocabulum μόνον non erat in sociorum psephismate, sed scribebant εἰρήνην simpliciter. Hoc jam ita interpretatur Æschines, intelligendum fuisse addita particula μόνον, eamque particulam explicat dein tota enuntiatione τὸ δὲ τῆς συμμαχίας ὄνομα ὑπερέβησαν. Videtur autem

ὑπερέβησαν, οὐκ ἐπιλελησμένοι, ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω ὑπολαμβάνοντες εἶναι· 70. ἔπειτα ἀπήντησαν ὀρθῶς ἰασόμενοι τὸ Δημοσθένους δωροδόκημα, καὶ προσέγραψαν ἐν τῷ δόγματι ἐξεῖναι τῷ βουλομένῳ τῶν Ἑλλήνων ἐν τρισὶ μησὶν εἰς τὴν αὐτὴν στήλην ἀναγεγράφθαι μετ᾽ Ἀθηναίων καὶ μετέχειν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, δύο μέγιστα προκαταλαμβάνοντες, πρῶτον μὲν τὸν χρόνον τὸν τῆς τριμήνου ταῖς τῶν Ἑλλήνων πρεσβείαις ἱκανὸν γενέσθαι παρασκευάζοντες, ἔπειτα τὴν τῶν Ἑλλήνων εὔνοιαν τῇ πόλει μετὰ κοινοῦ συνεδρίου κτώμενοι, ἵν᾽, εἰ παραβαίνοιντο αἱ συνθῆκαι, μὴ μόνοι μηδ᾽ ἀπαράσκευοι πολεμήσαιμεν. ἃ νῦν ἡμῖν παθεῖν συνέβη διὰ Δημοσθένην. ὅτι δ᾽ ἀληθῆ λέγω, ἐξ αὐτοῦ τοῦ δόγματος ἀκούσαντες μαθήσεσθε.

## ΔΟΓΜΑ ΣΥΜΜΑΧΩΝ.

71. Τούτῳ τῷ δόγματι συνειπεῖν ὁμολογῶ, καὶ πάντες οἱ ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγοροῦντες· καὶ ὁ δῆμος ἀπῆλθε τοιαύτην τινὰ δόξαν εἰληφώς, ὡς ἔσται μὲν ἡ εἰρήνη, περὶ δὲ συμμαχίας οὐκ ἄμεινον εἴη διὰ τὴν τῶν Ἑλλήνων παράκλησιν βουλεύσασθαι, ἔσται δὲ κοινῇ μετὰ τῶν Ἑλλήνων

70. *δύο μέγιστα*] Quod habent quattuor codices *δύο τὰ μέγιστα*, et numerosius est et significantius: *duo illa gravissima.*

sociorum psephisma ejusmodi verbis conceptum fuisse, quæ variam admittebant interpretationem; quemadmodum facere solent homines, qui angustiis pressi quid faciant nesciunt et tamen videri volunt se aliquid fecisse.

*ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω ὑπολαμβάνοντες εἶναι*] Sensus est: *ipsam etiam pacem*, nedum *συμμαχίαν*, necessariam magis quam pulcram esse opinantes, unde patet *καί* minime otiosum esse. De duplice comparativo vide *Matthiæ* Gr. Gr. § 456.

70. *στήλην*] *Suidas: στήλη ἢ λίθος ἢ χαλκὸς ἐπιμήκης, τετραγώνῳ σχήματι ἱδρυμένος.* Quicquid publicæ memoriæ mandari volebant, ejusmodi columnis inscribebatur. Cujus rei varia exempla habet Suidas.

*τῆς τριμήνου*] Græci adjectiva composita ex vocabulo numerali et *μήν* absolute ponunt et quidem addito articulo modo feminini generis modo masculini. Temporis notionem suppressam esse non dubium. Ad articulum femininum supplere solent *περίοδος*, ad masculinum *χρόνος.*

*μετὰ κοινοῦ συνεδρίου*] Per communem sociorum senatum, qui ex legatis, quos denuo novis mandatis instructos convenire oportebat, constaret.

71. *καὶ πάντες οἱ* cet.] Notanda constructio, quæ talis est, ut ex antecedente infinitivo *συνειπεῖν* assumendus sit indicativus *συνεῖπον.*

*οὐκ ἄμεινον εἴη—βουλεύσασθαι*] Negatio, quæ infinitivi notionem spectat, addita est enuntiationi, unde infinitivus pendet. Alii fortasse dicent comparativum positum esse pro positivo. Cf. *Hermann.* ad Viger. p. 719, ubi tamen imprimis Reizii verba attendenda sunt.

ἁπάντων. νὺξ ἐν μέσῳ καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν. ἐνταῦθα δὴ προκαταλαμβάνων Δημοσθένης τὸ βῆμα, οὐδενὶ τῶν ἄλλων παραλιπὼν λόγον, οὐδὲν ὄφελος ἔφη τῶν χθὲς εἰρημένων εἶναι λόγων, εἰ ταῦθ᾽ οἱ Φιλίππου μὴ συμπεισθήσονται πρέσβεις, οὐδὲ γιγνώσκειν ἔφη τὴν εἰρήνην, ἀπούσης συμμαχίας. 72. οὐ γὰρ ἔφη δεῖν, καὶ γὰρ τὸ ῥῆμα μέμνημαι ὡς εἶπε, διὰ τὴν ἀηδίαν τοῦ λέγοντος ἅμα καὶ τοῦ ὀνόματος, ἀποῤῥῆξαι τῆς εἰρήνης τὴν συμμαχίαν, οὐδὲ τὰ τῶν Ἑλλήνων ἀναμένειν μελλήματα, ἀλλ᾽ ἢ πολεμεῖν αὐτούς, η τὴν εἰρήνην ἰδίᾳ ποιεῖσθαι. καὶ τελευτῶν ἐπὶ τὸ βῆμα παρακαλέσας Ἀντίπατρον, ἐρώτημά τι ἠρώτα, προειπὼν μὲν ἃ ἐρήσεται, προδιδάξας δὲ ἃ χρὴ κατὰ τῆς πόλεως ἀποκρίνασθαι. καὶ τέλος ταῦτ᾽ ἐνίκα, τῷ μὲν λόγῳ προβιασαμένου Δημοσθένους, τὸ δὲ ψήφισμα γράψαντος Φιλοκράτους. 73. ὃ δὲ ἦν ὑπόλοιπον αὐτοῖς, Κερσοβλέπτην καὶ τὸν ἐπὶ Θρᾴκης τόπον ἔκδοτον ποιῆσαι, καὶ τοῦτ᾽ ἔπραξαν ἕκτῃ φθίνοντος τοῦ Ἐλαφηβολιῶνος μηνός, πρὶν ἐπὶ τὴν ὑστέραν

71. *εἰ ταῦθ᾽*] Quum editio Ald. haberet *ἐνταῦθ᾽*, quod est in duobus Bekkeri codicibus, Wolfius inde fecit *ἐὰν ταυθ᾽*, quod a nullo libro oblatum probari vix potest (vide tamen *Rostium* ad Lysiæ orationem *δήμ. καταλ. ἀπολ.* § 4. supra p. 172). Quod autem, H. Stephanus dederat *εἰ ταῦθ᾽*, id est in omnibus Bekkeri præter duos.

72. *παρακαλέσας*] Ita habent plurimi et optimi codd., quod mutaverat Reiskius ex Mead., quocum faciunt quattuor Bekkeri codices unius familiæ, in *καλέσας* simplex. § 82. *ἄσμενοι παρεκάλουν ἐπὶ τὸ βῆμα.* Περὶ Παραπρ. fin. *παρακαλῶ δὲ Εὔβουλον—συνήγορον.* Παρακαλεῖν in genere sæpe ponitur cum accusativo ejus, quem advocamus, ut defensor et patronus sit nostræ caussæ.

*καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν*] Miror hic interpretum neminem hæsisse in constructione sæpe a viris doctis tentata. Κατὰ Τιμ. § 64. p. 54. meæ ed. quum legatur *ὡς δὲ παρῆν ἐπὶ τὸ βῆμα ὁ Ἡγήσανδρος*, Reiskius primus de suo *παρήει* dedit pro *παρῆν*, quumque id tres codices offerrent, eum Bekkerus secutus est. Sed recte constructionem defendit *Fr. Jacobsius* ad Achillem Tatium p. 580. In constructione *παρεῖναι εἰς* vel *ἐπί* c. acc. inest conjunctio duarum notionum. In præpositione inest motus ipse ad locum, in verbo id, ut sis in loco, ut eo *perveneris*. cf. etiam *Seidler* ad Eurip. El. v. 1275.

72. *διὰ τὴν ἀηδίαν τοῦ λέγοντος*] *Plutarchus* Demosth. p. 847. E. c. 4. fin. *ὁ δ᾽ Ἀργὰς (καὶ τοῦτο γάρ φασι Δημοσθένει γενέσθαι παρώνυμον)* [vide Æschinem Περὶ Παραπρ. § 99.] *ἢ πρὸς τὸν τρόπον ὡς θηριώδη καὶ πικρὸν ἐτέθη (τὸν γὰρ ὄφιν ἔνιοι τῶν ποιητῶν ἄργαν καλοῦσιν), ἢ πρὸς τὸν λόγον, ὡς ἀνιῶντα τους ἀκροωμένους.* Tropus quidem in *ἀποῤῥῆξαι* non est lenissimus, nec tamen, mea sententia, tam durus, quam vituperat eum Æschines. Vario modo hoc verbum tropice Græci usurparunt. *Euripid.* Orest. 862. dixit *πνεῦμ᾽ ἀποῤῥῆξαι.* Iphig. T. 974. *βίον ἀποῤῥήξειν.* Constructio quidem rara est, ut duo casus jungantur, accusativus et genitivus, ea tamen minime vituperanda.

*προβιασαμένου*] Etsi nusquam me memini legere *προβιάζεσθαι*, tamen in se non damnandum hic significat, antequam Philocratis psephisma scribebatur, rem ita instruere et ornare, ut populus ad id accipiendum quasi cogeretur. Patet Reiskii correctione *προσβιασαμένου* non opus esse, qua temporis momentum prætermittitur.

73. *ἕκτῃ φθίνοντος*] Non est *sextus et vicesimus*, ut Wolfius vertit, sed *quartus*

ἀπαίρειν πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους Δημοσθένην· ὁ γὰρ μισαλέξανδρος καὶ μισοφίλιππος ὑμῖν οὑτοσὶ ῥήτωρ δὶς ἐπρέσβευσεν εἰς Μακεδονίαν, ἐξὸν μηδὲ ἅπαξ, ὁ νυνὶ κελεύων τῶν Μακεδόνων καταπτύειν. εἰς δὲ τὴν ἐκκλησίαν, τὴν τῇ ἕκτῃ λέγω, καθεζόμενος βουλευτὴς ὢν ἐκ παρασκευῆς, ἔκδοτον Κερσοβλέπτην μετὰ Φιλοκράτους ἐποίησε. 74. λανθάνει γὰρ ὁ μὲν Φιλοκράτης ἐν ψηφίσματι μετὰ τῶν ἄλλων γραμμάτων παρεγγράψας, ὁ δ' ἐπιψηφίσας, Δημοσθένης, ἐν ᾧ γέγραπται, "ἀποδοῦναι δὲ τοὺς ὅρκους τοῖς πρέσβεσι τοῖς παρὰ Φιλίππου ἐν τῇδε τῇ ἡμέρᾳ τοὺς συνέδρους τῶν συμμάχων." παρὰ δὲ Κερσοβλέπτου σύνεδρος οὐκ ἐκάθητο· γράψας δὲ τοὺς συνεδρεύοντας ὀμνύναι, τὸν Κερσοβλέπτην οὐ συνεδρεύοντα ἐξέκλεισε τῶν ὅρκων. 75. ὅτι δ' ἀληθῆ λέγω, ἀνάγνωθί μοι, τίς ἦν ὁ ταῦτα γράψας καὶ τίς ὁ ταῦτα ἐπιψηφίσας πρόεδρος.

## ΨΗΦΙΣΜΑ. ΠΡΟΕΔΡΟΣ.

Καλόν, ὦ ἄνδρες Ἀθηναῖοι, καλὸν ἡ τῶν δημοσίων γραμμάτων φυλακή· ἀκίνητον γάρ ἐστι καὶ οὐ συμμεταπίπτει τοῖς αὐτομολοῦσιν ἐν τῇ πολιτείᾳ, ἀλλ' ἐπέδωκε τῷ δήμῳ, ὁπόταν βούληται, συνιδεῖν τοὺς πάλαι μὲν πονηρούς, ἐκ μεταβολῆς δ' ἀξιοῦντας εἶναι χρηστούς.

76. Ὑπόλοιπον δ' ἐστί μοι τὴν κολακείαν αὐτοῦ διεξελ-

75. *τῶν δημοσίων γραμμάτων*] Sic quattuor Bekkeri codices et jam Reiskius. Vulgo *πραγμάτων*: quod legitur etiam in editione Aristidis, qui hunc locum laudat T. II. p. 442. Jebb. *Bastius* tamen ad Gregor. Cor. p. 185. laudat cod. Paris., qui habet *γραμμάτων* ostenditque hæc vocabula, *πράγματα* et *γράμματα*, sæpissime confusa esse.

*et vicesimus*, ut patet ex iis quæ dixi supra ad § 27.

74. *μετὰ τῶν ἄλλων γραμμάτων παρεγγράψας*] Γράμματα erunt ipsius psephismatis momenta. Παρεγγράφειν autem est verbum proprium de eo, qui contra jus fasque aliquid documentis publicis inserit. Facile ex verbis *μετὰ τῶν ἄλλων γραμμάτων* suppletur *γράμμα τι*, ad quod refertur *ἐν ᾧ γέγραπται*. Weiskius de Hyperb. II. p. 23. locum inter eos habet, in quibus *τὸ κατὰ ῥητόν* et *τὸ κατα διάνοιαν* confundantur, et conjicit scriptum fuisse διὰ δ' ἄλλων ῥημάτων eodem sensu, quo § 126. legitur *εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς*. et § 142. *τοῖς ὀνόμασι κλέπτων τὰ πράγματα*

75. Πρόεδρος] H. l. i. q. *ἐπιστάτης*. Hujus enim erat *ἐπιψηφίζειν*. cf. notam meam Περὶ Παραπρ. p. 171.

*αὐτομολοῦσιν*] Αὐτομολεῖν proprie dicuntur milites, qui ad hostes transfugiunt. In re civili facile transfertur ad eos, qui alio tempore alias partes secuti, modo in perniciem patriæ aperte agunt, modo in ejus salutem agere se simulant. Ne de tropo quis dubitare possit, addit Æschines *ἐν τῇ πολιτείᾳ*, et in sequentibus ejus vim propriis verbis explicat. Tres codices addunt glossam ἀντιμεταβαλλομένοις.

*θεῖν. Δημοσθένης γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐνιαυτὸν βουλεύσας, οὐδεμίαν πώποτε φανήσεται πρεσβείαν εἰς προεδρίαν καλέσας, ἀλλὰ τότε πρῶτον καὶ μόνον πρέσβεις εἰς προεδρίαν ἐκάλεσε, καὶ προσκεφάλαια ἔθηκε καὶ φοινικίδας περιεπέτασε, καὶ ἅμα τῇ ἡμέρᾳ ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συρίττεσθαι διὰ τὴν ἀσχημοσύνην καὶ κολακείαν. καὶ ὅτ᾽ ἀπῄεσαν εἰς Θήβας, ἐμισθώσατο αὐτοῖς τρία ζεύγη ὀρικά, καὶ τοὺς πρέσβεις προὔπεμψεν εἰς Θήβας, καταγέλαστον τὴν πόλιν ποιῶν. ἵνα δ᾽ ἐπὶ τῆς ὑποθέσεως μείνω, λάβε μοι τὸ ψήφισμα τὸ περὶ τῆς προεδρίας.*

## ΨΗΦΙΣΜΑ.

77. *Οὗτος τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὁ τηλικοῦτος τὸ μέγεθος κόλαξ πρῶτος διὰ τῶν κατασκόπων τῶν παρὰ Χαριδήμου πυθόμενος τὴν Φιλίππου τελευτήν, τῶν μὲν θεῶν*

76. *φανήσεται*] Sic scripsi ex Lock. et tribus Bekkeri ejusdem quidem familiæ codd. Vulgo *φανεῖται*. Sed Æschines ubique formam futuri habet *φανήσομαι*. In uno tantum loco sine varietate legitur *φανεῖσθε*. Κατὰ Τιμ. § 4. p. 18. meæ ed.

*ἀλλὰ τότε πρῶτον καὶ μόνον*] Sic tres Bekkeri codices ejusdem quidem familiæ. Vulgo *ἀλλὰ τότε μόνον καὶ πρῶτον*: quæ verba Taylor delenda censebat ut supposita. Et sane, si quid est solum, quid valet additamentum *πρῶτον*? Id secus est in nostra verborum collocatione. Ex eo, quod quis primum aliquid fecit, minime sequitur eum non plus semel hoc fecisse. Sed in eo ipso major inest mirandi caussa, si quis rem, quam si facere voluerit, citius eum opineris facturum fuisse, non solum diu intermiserit, sed sero et semel fecerit. Aliud est, quum § 77. legitur de filia Demosthenis *μόνην καὶ πρώτην*. Ex eo enim, quod eo tempore sola erat, non sequitur eam unicam fuisse. Sed *μόνην καὶ πρώτην* eam unicam fuisse testatur: quo Æschines Demosthenis impietatem eo magis detestandam esse ostendit.

76. *εἰς προεδρίαν*] Προεδρία *sedes prima*, *πρῶτον ξύλον*. Qua *προεδρίᾳ* ut cives bene de republica meriti honorabantur, sic videmus eadem etiam legatos externorum populorum ornatos esse. Vide *Hemsterh.* ad Polluc. VIII. 133. *Casaubon.* ad Theophr. Char. V. Sermonem hic esse de *προεδρίᾳ* in theatro festis Dionysiis patet ex Παραπρ. § 110. De hac *προεδρίᾳ* erudite nuper egit *G. E. Groddeck.* in disputatione prælectionibus in Univers. litt. Vilnensi a. 1821. habendis præmissa: quæ inserta legitur Misc. Crit. a Friedemanno et Seebodio editis Vol. I. P. II.

*φοινικίδας περιεπέτασε*] Quemadmodum *προσκεφάλαια* ad tergorum et capitum mollitiem, sic *φοινικίς*, stragula purpurea, pedibus substernebatur, ne offenderent.

*ἅμα τῇ ἡμέρᾳ*] Ut scilicet splendidissimas sedes præoccuparent.

*ζεύγη ὀρικά*] *Harpocration* s. v. *ὀρικὰ ζεύγη*, *τὰ τῶν ὀρέων*, inquit, *τουτέστι τὰ τῶν ἡμιόνων.—ὅτι γὰρ ὀρέας ἐκάλουν τὰς ἡμιόνους, καὶ Ὅμηρος* (Il. I. 50. et sæpe) *καὶ Ἀριστοφάνης ἐν Βατράχοις* (v. 292.) *δηλοῖ.* Audacter *Thomas M.* s. v. *ὀρεικὸν ζεῦγος· οὐχ ἡμιονικόν.* Hoc tamen legitur apud *Xenoph.* Anab. VII. 5, 2. Recentioris quidem ævi scriptoribus frequentius est quam Atticis. Vehiculum est, cui juncti sunt muli: quod erat hominum ditiorum et splendidiorum. Cf. *Hemsterh.* ad Poll. VII. 183.

77. *κατασκόπων τῶν παρὰ Χαριδήμου*] Quisquis hic sit Charidemus, ponitur nostro loco speculatores in aula Philippi habuisse, per quos Demosthenem illico de gravioribus, quæ accidebant, rebus certiorem faciebat. Narrat rem in genere *Plutarch.* Demosth. p. 855. D. De Charidemo autem adscribit Victorius margini Ven. *οὗτός ἐστιν ὠρίτης* (l. *Ὠρείτης*) *γένος δημοποίητος Ἀθηναῖος, στρατηγὸς ὑπ᾽ Ἀθηναίων ᾑρημένος.*

συμπλάσας ἑαυτῷ ἐνύπνιον κατεψεύσατο, ὡς οὐ παρὰ Χαριδήμου τὸ πρᾶγμα πεπυσμένος, ἀλλὰ παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς, οὓς μεθ' ἡμέραν ἐπιορκῶν νύκτωρ φησὶν ἑαυτῷ διαλέγεσθαι καὶ τὰ μέλλοντα ἔσεσθαι προλέγειν, ἑβδόμην δ' ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα λαβὼν ἐβουθύτει καὶ παρηνόμει, τὴν μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προσειποῦσαν ἀπολέσας. 78. καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω, ἀλλὰ τὸν τρόπον ἐξετάζω. ὁ γὰρ μισότεκνος καὶ πατὴρ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημαγωγὸς χρηστός, οὐδὲ ὁ τὰ φίλτατα καὶ οἰκειότατα σώματα μὴ στέργων οὐδέποθ' ὑμᾶς περὶ πλείονος ποιήσεται τοὺς ἀλλοτρίους, οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημοσίᾳ

77. παρηνόμει] Bekkerus ex quinque codicibus scripsit παρενόμει. *Buttmannus, ausführl. Griechische Grammatik*, T. I. p. 345. nostrum quidem ex abusu ortum judicat nec tamen rejiciendum. Præter nostrum locum duos laudat, *Thucyd.* III. 67. ubi legitur etiam in editione Bekkeri, *Demosth.* p. 217, 26. in oratione Demostheni perperam tributa, ubi tamen Bekkerus ex duobus codd. scripsit παρενόμουν. In Lysiæ oratione Πρὸς Σίμ. § 17. sine varietate habuimus παρηνόμουν. Ex iis, quæ G. Schæferus habet in nova Reiskiani App. editione T. I. p. 879, videtur patere utramque formam scriptores Atticos admisisse. In varietate lectionis η prætulerim, quoniam alteram formam librariis deberi opinor, qui restituerunt, quod vulgari regulæ convenientius.

ἑβδόμην δ' ἡμέραν] Numerus ordinalis, junctus vocabulo ἡμέρα, genitivum post se habet ejus rei, a qua fit computatio, ut hic: septimo die post, quam filia mortua erat, post filiæ mortem. Vocabulum autem, quod designat tempus, imprimis si sit ἡμέρα, ponunt in accusativo. *Thucyd.* VIII. 23. τρίτην ἡμέραν αὐτοῦ ἥκοντος. Interdum etiam accusativus temporis absolute ponitur, non sequente genitivo. *Xenoph.* Anab. IV. 5, 24. τὴν θυγατέρα τοῦ κωμάρχου ἐνάτην ἡμέραν γεγαμημένην. Tres Bekkeri codices habent ἑβδόμῃ δ' ἡμέρᾳ, idemque margini edit. Ald. adscripsit Victorius, qui casus num hac significatione usurpatus fuerit, dubito. Apud *Xenophontem* quidem Hell. II. 4, 13. absolute legitur οὓς ὑμεῖς ἡμέρᾳ πέμπτῃ ἐδιώξατε, sed non sine varietate. Nam margo Leoncl. habet ἡμέραν πέμπτην. De re confer, quæ laudat *Wyttenbachius* ad Plutarch. Nott. p. 787. Oxon.

πρὶν πενθῆσαι] *Scholiastes* Eurip. ad Hec. 209. πένθος ἡ διὰ λύπην μελανειμονία καὶ ἡ κουρὰ καὶ ἡ οἴκοι ἀπόκλεισις καὶ ὅσα τοιαῦτα.

ἐβουθύτει] Scholiastes: ὡς χάριν ὁμολογῶν τοῖς θεοῖς ὑπὲρ τῆς πόλεως, ὅτι ἐτελεύτησεν ὁ Φίλιππος.

78. καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω] *Eurip.* Orest. v. 4. κοὐκ ὀνειδίζω τύχας. Sensus est: *Non commemoro hoc infortunium, ut ei insultem.* Cf. *Valcken.* ad Phœniss. 1549.

οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημοσίᾳ χρηστός] Οὐδέ ab initio enuntiationis ponitur ita, ut interdum aliquot vocabulis interjectis negatio item repetatur ad verbum. Ex tragicis nonnulla habet *Erfurdt* ad Sophoclis Ant. v. 5, 6. Addam nonnulla ex oratoribus. Infra § 194. ἀλλ' οὐχὶ ὁ Κέφαλος, ὁ παλαιὸς ἐκεῖνος, οὐχ οὕτως. *Demosth.* Περὶ Ῥοδίων Ἐλευθερίας p. 196. ex bonis libris Reiskius scripserat: καὶ γὰρ οὐδ' εἰ δίκαιά τις ἂν φήσειε Ῥοδίους πεπονθέναι, οὐκ ἐπιτήδειος ὁ χρόνος ἐφησθῆναι; Bekkerus οὐδ' delevit, nullam varietatem notans e suis codicibus; Schæferus mavult οὐδ' servato οὐκ, quod sequitur, delere. Κατὰ Μειδ. p. 532. τὸν δὲ χορηγὸν αὐτὸν οὐδ' ὁ συγκόψας παρὰ πάντας τοὺς νόμους οὐ δώσει δίκην; ubi Bekkerus ex uno codice οὐ delevit. Κατὰ Τιμοκρ. p. 746. οὐδ' ἐάν τις καταλύῃ τὸν δῆμον τὸν Ἀθηναίων ἢ λέγῃ ἢ ἐπιψηφίζῃ παρὰ τοῦτο, οὐ πείσομαι. ib. p. 767. οὐδ' εἰ δὶς γένοιθ' ὅσα νῦν ἐστιν, οὐδ' ὁτιοῦν ἂν ὄφελος εἴη. Possunt plurima congeri exempla.

χρηστός, οὐδ' ὅστις ἐστὶν οἴκοι φαῦλος οὐδέποτ' ἦν ἐν Μακεδονίᾳ κατὰ τὴν πρεσβείαν καλὸς κἀγαθός· οὐ γὰρ τὸν τρόπον, ἀλλὰ τὸν τόπον μόνον μετήλλαξεν.

79. Πόθεν οὖν ἐπὶ τὴν μεταβολὴν ἦλθε τῶν πραγμάτων, οὗτος γάρ ἐστιν ὁ δεύτερος καιρός, καὶ τί ποτ' ἐστὶ τὸ αἴτιον, ὅτι Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ' εἰσαγγελίας γεγένηται, Δημοσθένης δὲ ἐπέστη τῶν ἄλλων κατήγορος, καὶ πόθεν ποθ' ἡμᾶς εἰς τὰς ἀτυχίας ὁ μιαρὸς ἄνθρωπος ἐμβέβληκε, ταῦτ' ἤδη διαφερόντως ἄξιόν ἐστιν ἀκοῦσαι. 80. ὡς γὰρ τάχιστα εἴσω Πυλῶν Φίλιππος παρῆλθε καὶ τάς τε ἐν Φωκεῦσι πόλεις παραδόξως ἀναστάτους ἐποίησε, Θηβαίους δέ, ὡς τόθ' ὑμῖν ἐδόκει, περαιτέρω τοῦ καιροῦ καὶ τοῦ ὑμετέρου συμφέροντος ἰσχυροὺς κατεσκεύασεν, ὑμεῖς τε ἐκ τῶν ἀγρῶν φοβηθέντες ἐσκευαγωγήσατε, ἐν ταῖς

79. εἰς τὰς ἀτυχίας] Tres Bekkeri codices ejusdem familiæ habent εἰς τὴν ἀτυχίαν. Videntur librarii rariore plurali offensi esse. Sed scriptores hoc numero sæpe utuntur ad augendam notionem, Κατὰ Τιμ. § 118. p. 86. meæ ed. τοὺς ὀνείδη τὸν ἑαυτῶν βίον τῇ πόλει παρασκευάζοντας, ubi nihil mutandum. Pluralis enim ὀνείδη significat *quod est magnæ infamiæ.* Atque etiam pluralis nominum concretorum de una re sæpe ponitur per rhetoricam hyperbolen. Sic infra § 109. ex iisdem tribus codicibus recepit Bekkerus τὸν λιμένα ἔχωσαν, ubi ceteri libri omnes habent τοὺς λιμένας, quod retinui.

80. καὶ τάς τε ἐν Φ. πόλεις cet.] Reiskius de suo dedit καὶ τὰς μέν et in seqq. ὑμεῖς δέ. Quum autem prius τε ab omnibus codd. teneatur, alterum vero a plurimis et optimis (duo nonnisi Bekkeri habent δέ), manuscriptorum auctoritati obtemperavi, præeunte Wunderlichio. Quæ Phocensibus et Thebanis acciderunt, ab altera parte proferuntur, ab altera quæ fiebant apud Athenienses.

περαιτέρω τοῦ καιροῦ] Articulum, qui vulgo deest, obtulerunt plurimi et optimi codd., et solet nomen, quod ex πέρα, περαιτέρω pendet, additum habere articulum. Περὶ Παραπρ. § 149. τὸ γὰρ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται. *Demosth.* Ὑπὲρ Μεγαλοπ. p. 208. τί πέρα τοῦ καιροῦ τοὺς ἑτέρους ἐπαίρουσιν. Imprimis a substantivo καιρός articulus abesse nequit.

ἐσκευαγωγήσατε] Sic Helmst. et quattuor Bekkeri codd. pro vulgato ἐσκευαγωγήκατε. Et quæ antecedunt et quæ sequuntur, flagitant aoristum, nec aptum præsens actionis perfectæ.

οὐ γὰρ τὸν τρόπον, ἀλλὰ τὸν τόπον—μετήλλαξε] Sententiam sæpe apud antiquos obviam Æschines expressit figura, quam technici παρονομασίαν appellant. Consulto enim ob soni similitudinem τρόπον et τόπον opposuisse per se patet. Qua figura quanquam Æschines raro utatur, hic eam cum judicio et vi positam esse nemo negabit. Huc respicere videtur Ciceronis vox Tusc. III. 26, 63. *quæ verba contorquet!* Apud Lysiam excellit ea, quam habemus Κατὰ Φίλων. § 26. supra p. 167. οὐ περὶ τοῦ βουλεύειν, ἀλλὰ περὶ τοῦ δουλεύειν. Nimius, si vera dicere volumus, in sectanda hac figura est Isocrates.

79. ἀπ' εἰσαγγελίας] Cf. supra § 52.

ἐπέστη] Hoc verbum significat Demosthenem *repente* et *contra omnium opinionem* accusatoris partes suscepisse.

80. τοῦ ὑμετέρου συμφέροντος] Notandum, quod participio aut adjectivo substantive adhibito pronomen possessivum vel genitivus substantivi addatur. *Demosth.* Περὶ Στεφ. p. 234. τὰ μικρὰ συμφέροντα τῆς πόλεως ἔδει με φυλάττειν. Cf. *Schæfer.* ad Gregor. Cor. p. 139. s. *Rost.* Gr. Gr. § 130. not. 6.

ἐσκευαγωγήσατε] *Cuncta, quæ moveri poterant, in urbem transvexistis:* quod est metuentis, ne hosti repente irrumpenti resisti nullo modo possit.

*μεγίσταις δ᾽ ἦσαν αἰτίαις οἱ πρέσβεις οἱ τὴν εἰρήνην πρεσβεύσαντες, πολὺ δὲ τῶν ἄλλων διαφερόντως Φιλοκράτης καὶ Δημοσθένης διὰ τὸ μὴ μόνον πρεσβεύειν, ἀλλὰ καὶ τὰ ψηφίσματα γεγραφέναι,* 81. *συνέβη δ᾽ ἐν τοῖς αὐτοῖς χρόνοις διαφέρεσθαί τι Δημοσθένην καὶ Φιλοκράτην σχεδὸν ὑπὲρ τούτων, ὑπὲρ ὧν καὶ ὑμεῖς αὐτοὺς ὑπωπτεύσατε διενεχθῆναι, τοιαύτης δὲ ἐμπιπτούσης ταραχῆς μετὰ τῶν συμφύτων νοσημάτων αὐτῷ ἤδη τὰ μετὰ ταῦτα ἐβουλεύετο, μετὰ δειλίας καὶ τῆς πρὸς Φιλοκράτην ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας, καὶ ἡγήσατο, εἰ τῶν συμπρεσβευόντων καὶ τοῦ Φιλίππου κατήγορος ἀναφανείη, τὸν μὲν Φιλοκράτην προδήλως ἀπολεῖσθαι, τοὺς δὲ ἄλλους συμπρέσβεις κινδυνεύσειν, αὐτὸς δ᾽ εὐδοκιμήσειν καὶ προδότης ὢν τῶν φίλων καὶ πονηρὸς πιστὸς τῷ δήμῳ φανήσεσθαι.* 82. *κατιδόντες δ᾽ αὐτὸν οἱ τῇ τῆς πόλεως προσπολεμοῦντες ἡσυχίᾳ ἄσμενοι παρεκάλουν ἐπὶ τὸ βῆμα, τὸν μόνον ἀδωροδόκητον ὀνομάζοντες τῇ πόλει· ὁ δὲ παριὼν ἀρχὰς αὐτοῖς ἐνεδίδου πολέμου καὶ ταραχῆς. οὗτός ἐστιν, ὦ*

82. *ἄσμενοι παρεκάλουν*] Bern. et tres Bekkeri codd. *ἀσμένως*. Cf. Excurs. XI. ad Lysiam.

81. *τοιαύτης δὲ ἐμπιπτούσης ταραχῆς*] Δέ interdum ponitur in enuntiatione, quæ in unum complectitur plura, ut Latinorum *autem*. Cf. *Hermann.* ad Viger. p. 847.

*μετὰ τῶν συμφύτων νοσημάτων*] *Ut par erat innatis ei morbis; μετὰ δειλίας* cet. est appositio. Fit enim sæpe, ut in appositione præpositio repetatur, quæ adest nomini, cui additur appositio, ut eam Latine reddere possis *et quidem*: quo usu interdum perperam offenduntur viri docti.

*ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας*] Scholiastes: *οἱονεὶ ὑπὲρ τοῦ λαβεῖν αὐτοὺς χρήματα παρὰ Φιλίππου καὶ φιλονεικεῖν ἑκατέρους περὶ τοῦ πλείονος πρὸς ἀλλήλους.*

*τῶν συμπρεσβευόντων*] Marklandus conjicit vel *συμπρεσβευσάντων* vel *συμπρεσβευτῶν*. Posterius Atticis non usitatum. In singulari enim dicunt *συμπρεσβευτής*, in plurali *συμπρέσβεις*, non *συμπρεσβευταί*. Primo non opus. Præsens enim participii sæpe ponitur pro substantivo, rem ipsam in genere indicans. Quid? quod de hac re jam ante infinitivus ponebatur *διὰ τὸ μὴ μόνον πρεσβεύειν* cet. ubi Marklandus conjecit *πρεσβεῦσαι*, quod recepit Reiskius. Sed præsens tuentur etiam omnes Bekkeri codd. et defenditur loco *Demosthen.* Περὶ Παραπρ. p. 400. § 189. *ἐγὼ δ᾽ οὐδὲ συμπεπρεσβευκέναι φημί σοι, πρεσβεύειν μέντοι σὲ μὲν πολλὰ καὶ δεινά, ἐμαυτὸν δ᾽ ὑπὲρ τουτωνὶ τὰ βέλτιστα.* Res enim spectatur ut durans.

82. *ἀδωροδόκητον*] *Pollux* IV. 34. VI. 191. in laudibus oratoris ponit *ἄδωρος*, *ἀδωροδόκητος*, utrumque eadem significatione. Sed *ἄδωρος* duplicem habet significationem, tum ejus, qui ipse nihil populo largitur, tum ejus, qui nullis se donis et muneribus tentari patitur et corrumpi: quæ posterior significatio in *ἀδωροδόκητος* unice locum habet, quod est *δῶρα μὴ λαμβάνων* a *δέχεσθαι*.— Ceterum quam hic Demosthenis asseclæ uni Demostheni laudem tribuisse dicuntur, eam referente Diogene Laertio IV. 9. Philippus uni tribuebat Xenocrati, *ὡς μόνος εἴη τῶν πρὸς αὐτὸν ἀφιγμένων ἀδωροδόκητος.*

ἄνδρες Ἀθηναῖοι, ὁ πρῶτος ἐξευρὼν Σέῤῥιον τεῖχος καὶ Δορίσκον καὶ Ἐργίσκην καὶ Μουργίσκην καὶ Γάνος καὶ Γανίδα, χωρία, ὧν οὐδὲ τὰ ὀνόματα ᾔδειμεν πρότερον. καὶ ἐς τοῦτο φέρων περιέστησε τὰ πράγματα, ὥστ', εἰ μὲν μὴ πέμποι Φίλιππος πρέσβεις, καταφρονεῖν αὐτὸν ἔφη τῆς πόλεως, εἰ δὲ πέμποι, κατασκόπους πέμπειν, ἀλλ' οὐ πρέσβεις. 83. εἰ δὲ ἐπιτρέπειν ἐθέλοι πόλει τινὶ ἴσῃ καὶ ὁμοίᾳ περὶ τῶν ἐγκλημάτων, οὐκ εἶναι κριτὴν ἴσον ἡμῖν ἔφη καὶ Φιλίππῳ. Ἁλόνησον ἐδίδου· ὁ δ' ἀπηγόρευε μὴ λαμβάνειν, εἰ δίδωσιν, ἀλλὰ μὴ ἀποδίδωσι, περὶ συλλαβῶν διαφερόμενος. καὶ τὸ τελευταῖον στεφανώσας τοὺς μετὰ Ἀριστοδήμου εἰς Θετταλίαν καὶ Μαγνησίαν παρὰ τὰς τῆς εἰρήνης συνθήκας ἐπιστρατεύσαντας, τὴν μὲν εἰρήνην διέλυσε, τὴν δὲ συμφορὰν καὶ τὸν πόλεμον παρεσκεύασεν.

84. Ναί, ἀλλὰ χαλκοῖς καὶ ἀδαμαντίνοις τείχεσιν, ὡς αὐτός φησι, τὴν χώραν ἡμῶν ἐτείχισε, τῇ τῶν Εὐβοέων καὶ

καὶ Μουργίσκην] Deest in sex Bekkeri codicibus, nec usquam hunc locum memoratum inveni, et, quod notandum, nulla ejus mentio in Harpocratione, qui cetera loca, quæ hic nominantur, omnia memoravit, ut hoc vocabulum in suo Æschinis exemplo non videatur invenisse. *Demosth.* Περὶ Στεφ. p. 234. cum Serrio et Ergisce habet Μύρτιον. Harpocration id Μύρτανον appellat. Suidas autem Μυρτώνιον habet. In καὶ Γάνος καὶ Γανίδα Helmst. Γάνον habet pro Γάνος, quod fortasse verum. Harpocration: Γάνος θηλυκῶς: addit Suidas, vere, opinor, τὸ πρὸς τῇ Θράκῃ ὄρος ἡ Γάνος. Pro Γανίδα habet Harpocration et Suidas Γανιάδα. Nomen videtur regionis fuisse, quæ circumjacebat. Montem Ganum Scylax Periplus, p. 28. Hutch. nominat. Γάνος, Γανίαι.

84. Εὐβοέων] Bekkerus in editione Halensi dederat Εὐβοῶν ad præceptum quorundam Grammaticorum, qui ajunt Atticos genitivum nominum in εύς, quorum terminationem vocalis præcedat, contraxisse, et ubique etiam contra libros genitivos contraxit. Quod præceptum si verum est, nonnisi ad eos scriptores pertinet, qui

Σέῤῥιον τεῖχος cet.] Loca sunt Thraciæ non omnia tam ignobilia, quam ea fingit orator ad minuendam rem. Vide *Herod.* VII. 59.

φέρων περιέστησε τὰ πράγματα] Sunt, qui in tali constructione φέρων abundare dicant. Verius alii monent *ubique illud pro rei substratæ indole emphasin addere.* Omnium accuratissime de eo egit *Hemsterhus.* ad Lucianum Dialogg. Mortt. VI. 3. T. I. p. 349 s. Plerumque reddi potest *dedita opera* vel *ultro, sponte, cum studio.* Infra § 90. ἀποδρὰς ὑπέβαλεν ἑαυτὸν φέρων Θηβαίοις. § 146. προσέμιξε φέρων ἀναρπασθέντων τῶν ξένων τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει.

83. πόλει τινὶ ἴσῃ καὶ ὁμοίᾳ] Jam hic habemus *civitatem neutrarum partium studiosam, sed ex justo et æquo cuncta judicantem.* Quod nos *neutral* dicimus, id Græci ἴσον appellabant.

Ἁλόνησον ἐδίδου] Ista res uberius narratur in oratione, quæ inter Demosthenis opera legitur T. I. p. 75—88. Hoc vocabulorum lusu sæpe et multifariam Comici usi sunt.

84. χαλκοῖς καὶ ἀδαμαντίνοις τείχεσιν] Cf. *Demosth.* Περὶ Στεφ. p. 325.—Ἀδάμας apud antiquos nomen est poeticum ferri, chalybis, æris durissimi; apud posteriores nomen κύριον *adamantis* gemmæ. Tropice Græcis et Latinis *adamantinum* dicebatur quicquid durum, firmum et maxime munitum est. Vide *Perizonium.* ad Ælian. Varr. Historr. VI. 12.

Θηβαίων συμμαχίᾳ. ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ταῦτα τρία μέγιστα ἠδίκησθε καὶ μάλιστα ἠγνοήκατε. σπεύδων δ' εἰπεῖν περὶ τῆς θαυμαστῆς συμμαχίας τῆς τῶν Θηβαίων, ἵν' ἐφεξῆς εἴπω, περὶ τῶν Εὐβοέων πρῶτον μνησθήσομαι.

85. Ὑμεῖς γάρ, ὦ Ἀθηναῖοι, πολλὰ καὶ μεγάλα ἠδικημένοι ὑπὸ Μνησάρχου τοῦ Χαλκιδέως, τοῦ Καλλίου καὶ Ταυροσθένους πατρός, οὓς οὗτος νυνὶ μισθὸν λαβὼν Ἀθηναίους εἶναι τολμᾷ γράφειν, καὶ πάλιν ὑπὸ Θεμίσωνος τοῦ Ἐρετριέως, ὃς ἡμῶν εἰρήνης οὔσης Ὠρωπὸν ἀφείλετο, τούτων ἑκόντες ἐπιλανθανόμενοι, ἐπειδὴ διέβησαν εἰς Εὔβοιαν Θηβαῖοι καταδουλώσασθαι τὰς πόλεις πειρώμενοι, ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς καὶ ναυσὶ καὶ πεζῇ δυνάμει, καὶ, πρὶν τριάκονθ' ἡμέρας διελθεῖν, ὑποσπόνδους Θηβαίους ἀφήκατε, κύριοι τῆς Εὐβοίας γενόμενοι, καὶ τάς τε πόλεις αὐτὰς καὶ τὰς πολιτείας ἀπέδοτε ὀρθῶς καὶ δικαίως τοῖς παρακαταθεμένοις, οὐχ ἡγούμενοι δίκαιον εἶναι τὴν ὀργὴν ἀπομνημονεύειν ἐν τῷ πιστευθῆναι. 86. καὶ τηλικαῦθ' ὑφ' ὑμῶν εὖ πεπονθότες οἱ Χαλκιδεῖς οὐ τὰς ὁμοίας ὑμῖν ἀπέδοσαν χάριτας,

sunt Atticæ dialecti antiquæ, quæ Æschinem satis longo intervallo antecedit. Hujus enim ætatis scriptores, si fidem non omnem libris scriptis denegamus, hanc contractionem in paucis secuti sunt.

85. *τοῖς παρακαταθεμένοις*] Sic habent Bern. Steph. codd. et tres Bekkeri. Vulgo *αὐτοῖς παρακαταθέμενοι.* Quam fingit Reiskius formæ mediæ significationem, *παρακατατίθεσθαι* eum dici, qui pignus servandum et aliquando reddendum accipiat et apud se deponi patiatur, ea nusquam locum habet nec habere potest, sed est rem tanquam depositam tradere, ut fideliter et sancte custodiatur. Sententia igitur est: iis, qui res suas vestræ fidei tradiderunt, eas pie reddidistis, quanquam magnam ab iis injuriam passi eratis. Idem confirmat *Demosth.* Περὶ Στεφ. p. 259. *καίτοι καλὸν μὲν ἐποιήσατε καὶ τὸ σῶσαι τὴν νῆσον, πολλῷ δ' ἔτι τούτου κάλλιον τὸ καταστάντες κύριοι καὶ τῶν σωμάτων καὶ τῶν πόλεων ἀποδοῦναι ταῦτα δικαίως αὐτοῖς τοῖς ἐξημαρτηκόσιν εἰς ὑμᾶς, μηδὲν ὧν ἠδίκησθε ἐν οἷς ἐπιστεύθητε ὑπολογισάμενοι.*

*ἵν' ἐφεξῆς εἴπω*] Ut rem ordine ad temporum rationem exponam.

85. *ἠδικημένοι ὑπὸ Μνησάρχου*] Quas injurias passi sint Athenienses a Mnesarcho et quo tempore, nusquam potui invenire.

*Ἀθηναίους εἶναι*] Qua de caussa Athenienses eos civitate donaverint, ex sequentibus patet.

*ὑπὸ Θεμίσωνος*] Quo modo Demosthenes rem exponat, cognosces ex oratione Περὶ Στεφ. p. 259. ubi Ulpianus sua hausit ex Diodoro Siculo XV. 76. Occupatio Oropi incidebat in Ol. CIII. 3. archonte Cephisodoro. *Xenoph.* Hellen. VII. 4. urbem tradit ab exsulibus occupatam esse.

*ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς*] Hæc expeditio incidit in annum tertium Ol. CV. archonte Cephisodoto. Suscepta ea est auctore Timotheo, cujus adhortationem nobis tradit auctor orationis de rebus Cherson. in Demosthenis operibus T. I. p. 108. Per Dioclem cum Thebanis pactionem factam esse monet *Demosthen.* Κατὰ Μειδ. p. 570. Expeditionem hanc promte et studiose paratam esse, in eo consentiunt oratores. Quid? quod *Demosth.* in Androt. p. 597. affirmat intra tres dies eam factam esse. Idem addit *Εὐβοεῖς σωθέντες καὶ ἐλευθερωθέντες ἐστεφάνωσαν τὸν δῆμον.*

ἀλλ' ἐπειδὴ τάχιστα διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ βοηθήσοντες, τοὺς μὲν πρώτους χρόνους ἀλλ' οὖν προσεποιοῦνθ' ὑμῖν εἶναι φίλοι, ἐπειδὴ δὲ τάχιστα εἰς Ταμύνας παρήλθομεν καὶ τὸ Κοτύλαιον ὀνομαζόμενον ὄρος ὑπερεβάλλομεν, 87. ἐνταῦθα Καλλίας ὁ Χαλκιδεύς, ὃν Δημοσθένης μισθαρνῶν ἐνεκωμίαζεν, ὁρῶν τὸ στρατόπεδον τὸ τῆς πόλεως εἴς τινας δυςχωρίας κατακεκλεισμένον, ὅθεν μὴ νικήσασι μάχην οὐκ ἦν ἀναχώρησις οὐδὲ βοηθείας ἐλπὶς οὔτ' ἐκ γῆς οὔτ' ἐκ θαλάττης,

86. *ὑπερεβάλλομεν*] Stephani editio et tres Bekkeri codices ejusdem familiæ habent *ὑπερεβάλομεν* idque præferendum censet Wunderlichius, quod verisimilius sit montem Cotylæum, antequam Tamynas descenderent Athenienses, superandum iis fuisse. Sed vel ipse sententiarum ordo indicat primum per Tamynas fuisse transeundum, quæ urbs erat sub radicibus montis Cotylæi: quam quum transiissent, ascendere eos oportebat montem: in quo quum essent superando, Callias eos oppressit. Hinc priore loco aoristus, qui rem narrat absolutam, altero imperfectum *ὑπερεβάλλομεν*, quod rem ponit durantem.

87. *μισθαρνῶν*] Hoc obtulerunt Helmstad. et tres Bekkeri ejusdem familiæ. Vulgo *μισθὸν λαβών* ex glossa. Glossographi enim sæpe compositum explicarunt per periphrasin compositioni synonymam. Caute tamen hac in re agendum. Nam Attica dialectus sæpe per phrasin exprimit, quod recentior Græcorum ætas per compositum vocabulum. Sed *μισθαρνεῖν* optimis est usitatum. Bekkeri Anecdd. p. 446. *Ἄρνυσθαι, ἀντικαταλλάσσεσθαι. ὅθεν καὶ τὸ μισθαρνεῖν τὸ μισθὸν ἀπό τινος λαμβάνειν λέγεται.* Inter alia imprimis de demagogo, qui opificis instar ratione sua et oratione mercedem sectatur. Infra § 220. *καὶ τὸ μὲν διὰ χρόνου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν παραλείπειν ἡμέραν ἐργαζομένου καὶ μισθαρνοῦντος.* Pro *ἐνεκωμίαζεν* habent octo Bekkeri codd. *ἐνεχυρίαζεν*; et Weiskius de Hyperbole P. II. p. 39. scribendum opinatur *ἐνηχυρίαζεν*: *pignoris eum loco esse dixit, prædem fidei Chalcidensium.* Dubito vero, num *ἐνεχυράζειν* sit apud Atticos scriptores *pignori dare.* *Ἐνεκωμίαζε* hic *celebrandi* significatione positum Casp. Orellio nostro merito languet, eique probabile videtur in utroque verbo corrupto latere verbum aliquod minus usitatum, quod significet: *subdole civitati donari fecit.*

*εἴς τινας δυςχωρίας*] Tres Bekkeri codd. ejusdem familiæ habent *εἰς δεινὰς δ.* quod fortasse glossatoris est. *Τίς* enim substantivis additum haud raro significat *magnum.* Sed videtur Æschines locum describere nolle, nec opus esse existimat præter illa, quæ sequuntur.

*κατακεκλεισμένον*] Bekkerus ex duobus codicibus *κατακεκλειμένον.* Utramque formam agnoscunt Attici. Cf. *Buttmanni ausführliche Griechische Gr.* T. II. P. I. p. 169. Plurimis et optimis igitur codd. obsecutus sum.

*νικήσασι μάχην*] Quattuor Bekkeri codd. ejusdem familiæ *μάχῃ*, quæ videtur esse librarii correctio. *Νικᾶν μάχην* legitimum est. § 181. *Μιλτιάδης ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας.* Quanquam ne dativus quidem inusitatus. *Xenoph.* Anab. II. 6, 5. *καὶ μάχῃ τε ἐνίκησε καὶ ἀπὸ τούτου ἔφερε καὶ ἦγεν αὐτούς.* *ν* et *ι* subscriptum sæpe jam vidimus confusa.

86. *Πλουτάρχῳ βοηθήσοντες*] Hæc est secunda, quam novimus, expeditio Euboica, qua Athenienses Plutarcho, Eretriæ tyranno, suppetias ferebant, qui in discrimen venerat amittendæ civitatis, conspirantibus in eum civibus duce Clitarcho. Atheniensium imperator erat Phocion. Expeditio videtur locum habuisse Ol. CVI. 4. Temporum rationes disceptat *Boeckh.* in chronologia orat. Mid. p. 81 ss.

*εἰς Ταμύνας*] *Ταμύναι πόλις ἐστὶν ἐν Εὐβοίᾳ, ἐν τῇ χώρᾳ τῶν Ἐρετριέων.* De re confer etiam *Plutarch.* in Phocionis vita p. 746 sq.

*Κοτύλαιον—ὄρος*] *Harpocration: ἔοικε τὸ ὄρος τῆς Εὐβοίας εἶναι. Ἀρχέμαχος γοῦν ἐν τρίτῃ Εὐβοεικῶν φησι. Κότυλος μὲν οὖν φαίνεται κατασχεῖν τὸ ὄρος τὸ νῦν ἀπ' ἐκείνου καλούμενον Κοτύλαιον. Steph. Byz. Κοτύλαιον ὄρος Εὐβοίας ἀνακείμενον Ἀρτέμιδι, ὥς φησιν Ἀντίμαχος ἐν Ἀρτέμιδος B.*

*συναγείρας ἐξ ἁπάσης τῆς Εὐβοίας στρατόπεδον καὶ παρὰ Φιλίππου δύναμιν προσμεταπεμψάμενος, ὅ τ' ἀδελφὸς αὐτοῦ Ταυροσθένης, ὁ νυνὶ πάντας δεξιούμενος καὶ προσγελῶν, τοὺς Φωκικοὺς ξένους διαβιβάσας, ἦλθον ἐφ' ἡμᾶς ὡς ἀναιρήσοντες.* 88. *καὶ εἰ μὴ πρῶτον μὲν θεῶν τις ἔσωσε τὸ στρατόπεδον, ἔπειθ' οἱ στρατιῶται οἱ ὑμέτεροι καὶ πεζοὶ καὶ ἱππεῖς ἄνδρες ἀγαθοὶ ἐγένοντο καὶ παρὰ τὸν ἱππόδρομον τὸν ἐν Ταμύναις ἐκ παρατάξεως μάχῃ κρατήσαντες ἀφεῖσαν ὑποσπόνδους τοὺς πολεμίους, ἐκινδύνευσεν ἂν ἡμῶν ἡ πόλις αἴσχιστα παθεῖν· οὐ γὰρ τὸ δυστυχῆσαι κατὰ πόλεμον μέγιστόν ἐστι κακόν, ἀλλ' ὅταν τις πρὸς ἀνταγωνιστὰς ἀναξίους ἑαυτοῦ διακινδυνεύων ἀποτύχῃ, διπλασίαν εἰκὸς εἶναι τὴν συμφοράν. ἀλλ' ὅμως ὑμεῖς τοιαῦτα πεπονθότες πάλιν διελύσασθε πρὸς αὐτούς.* 89. *τυχὼν δὲ συγγνώμης παρ' ὑμῶν Καλλίας ὁ Χαλκιδεύς, μικρὸν διαλιπὼν χρόνον, πάλιν ἧκε φερόμενος εἰς τὴν ἑαυτοῦ φύσιν, Εὐβοϊκὸν μὲν τῷ λόγῳ συνέδριον εἰς Χαλκίδα συνάγων, ἰσχυρὰν δὲ τὴν Εὔβοιαν ἐφ' ὑμᾶς ἔργῳ παρασκευάζων, ἐξαίρετον δ' αὑτῷ τυραννίδα περιποιούμενος. καὶ ταύτης ἐλπίζων συναγωνιστὴν Φίλιππον λήψεσθαι ἀπῆλθεν εἰς Μακεδονίαν καὶ περιῄει μετὰ Φιλίππου, καὶ τῶν ἑταίρων εἷς ὠνομάζετο.* 90. *ἀδικήσας δὲ Φίλιππον κἀκεῖθεν ἀποδρὰς ὑπέβαλεν ἑαυτὸν φέρων Θηβαίοις. ἐγκαταλιπὼν δὲ κἀκείνους, καὶ πλείους τραπόμενος τροπὰς τοῦ Εὐρίπου, παρ' ὃν ᾤκει, εἰς*

88. *ἀφεῖσαν ὑποσπόνδους*] Sic tres Bekkeri codices ejusdem familiæ, post adjectivum quidem verbo posito, pro vulgato *ἀφίεσαν*. Aoristus præcessit. Ceterum hoc membrum non erat conjunctioni conditionali adjungendum; non enim dimissio hostium erat conditio, quæ servaret civitatem; sed est argumentum liberalitatis et benignitatis Atheniensium.

89. *τῷ λόγῳ—ἔργῳ*] Sæpe fit, ut in horum similiumque vocabulorum oppositione uni articulus addatur, ad alterum omittatur, unum in singulari, in plurali alterum ponatur. Tales, inquit *Porson* ad Eurip. Phœn. v. 512, minutias non anxie curant antiqui. Infra § 248. *φθάνουσι δ' ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ, ὡς ἐπὶ πολύ, οἱ τοῖς ἔργοις πλεῖστον ἀπέχοντες.*

*Εὐβοϊκὸν—συνέδριον*] Senatus Euboicus, ita scilicet compositus, ut singulæ urbes Eubœæ legatos Chalcida mitterent, qui res omnes moderarentur.

90. *πλείους — τροπὰς τοῦ Εὐρίπου*] *Strabo* L. IX. 11, 8. *Livius* XXVIII. 6. *Erasmus* Adagg. p. m. 281. laudat proverbium *Εὔριπος ἄνθρωπος* in inconstantes et varios homines. Septies enim die reciprocabat Euripus. Hesychius, *Εὔριπος ὁ εὐχερῶς μεταβαλλόμενος.* [In hac comparatione prævivit *Plato* in Phædon. p. 90. C. ubi vid. Wyttenb. p. 240. Sophistæ seriores eandem crebro usurpaverunt. F. I.]

*παρ' ὃν ᾤκει*] Nempe *Χαλκὶς* erat ad Euripum, qui inde *Χαλκιδικὸς* appellatur vel *ὁ Χαλκίδος*. Cf. *Strabo* L. I. p. 10. Cas. IX. 8.

*μέσον πίπτει τῆς τε Θηβαίων ἔχθρας καὶ τῆς Φιλίππου. ἀπορῶν δ' ὅ τι χρήσαιτο αὐτῷ, καὶ παραγγελλομένης ἐπ' αὐτὸν ἤδη στρατείας, μίαν ἐλπίδα λοιπὴν κατεῖδε σωτηρίας, ἔνορκον λαβεῖν τὸν δῆμον τῶν Ἀθηναίων, σύμμαχον ὀνομασθέντα, βοηθήσειν, εἴ τις ἐπ' αὐτὸν ἴοι· ὃ πρόδηλον ἦν ἐσόμενον, εἰ μὴ ὑμεῖς κωλύσετε.* 91. *ταῦτα δὲ διανοηθεὶς ἀποστέλλει δεῦρο πρέσβεις Γλαυκέτην καὶ Ἐμπέδωνα καὶ Διόδωρον τὸν δολιχοδρομήσαντα, φέροντας τῷ μὲν δήμῳ ἐλπίδας κενάς, Δημοσθένει δ' ἀργύριον καὶ τοῖς περὶ αὐτόν. τρία δ' ἦν ἃ ἅμα ἐξωνεῖτο, πρῶτον μὲν μὴ διασφαλῆναι τῆς πρὸς ὑμᾶς συμμαχίας· οὐδὲν γὰρ ἦν τὸ μέσον, εἰ μνησθεὶς τῶν προτέρων ἀδικημάτων ὁ δῆμος μὴ προσδέξαιτο τὴν συμμαχίαν, ἀλλ' ὑπῆρχεν αὐτῷ ἢ φεύγειν ἐκ Χαλκίδος, ἢ τεθνάναι ἐγκαταληφθέντι· τηλικαῦται δυνάμεις ἐπ' αὐτὸν ἐπεστράτευον, ἥ τε Φιλίππου καὶ Θηβαίων. δεύτερον δ' ἧκον οἱ μισθοὶ τῷ γράψαντι τὴν συμμαχίαν ὑπὲρ τοῦ μὴ συνεδρεύειν Ἀθήνησι Χαλκιδέας, τρίτον δὲ ὥστε μὴ τελεῖν συντάξεις.* 92. *καὶ τούτων τῶν προαιρέσεων οὐδεμιᾶς ἀπέτυχε Καλλίας, ἀλλ' ὁ*

90. *εἴ τις ἐπ' αὐτὸν ἴοι*] Sic omnes Bekkeri codd. Edd. habebant *ἴῃ*, quod in scriptore prosaico non opinor recte dictum. Stephanus *ἐάν τις—ἴῃ*. Verum est alterum. Loquitur enim de re futura, quæ cogitari possit ut profectura a compluribus, quæ notio inest in *εἴ τις*. Si MSS. offerrent *ἐάν τις—ἴῃ*, res indicaretur, quam ut inevitabilem Callias futuro tempore cognoscebat.

*εἰ μὴ ὑμεῖς κωλύσετε*] Recentissimi *κωλύσαιτε* ex conjectura Marklandi. Cf. Excurs. VII. in Lysiam.

91. *ἐγκαταληφθέντι*] Sic Stephanus et quinque Bekkeri codices. Ceteri *ἐγκαταλειφθέντι*, quod parum huic loco aptum. Sensus est: *sine auxilio Atheniensium captivitatem eum effugere non potuisse, nisi Chalcidem reliquerit.*

*ἀπορῶν δ' ὅ τι χρήσαιτο αὐτῷ*] Formula, qua quis significatur summis premi angustiis, nec ullam salutem undecunque sperare posse.

91. *τὸν δολιχοδρομήσαντα*] *Suidas*: *Δολιχὸς τὸ ἐπίθετον ὁ μακρὸς ὀξυτόνως· δόλιχος δὲ τὸ ὄνομα δρόμου προπαροξυτόνως.* *Δόλιχος* igitur nomen erat longioris vel cursus vel spatii, quod percurrebatur. In mensuræ ratione non convenit inter Grammaticos, et pro locorum varietate videtur *δολίχου* longitudo, quemadmodum ipsius stadii, varia fuisse. Quicquid sit, *δολιχοδρομήσας* est *qui cursu excellebat et fortis erat.* Quod autem apud *Polluc.* L. III. 148. legitur: *Αἰσχίνης δὲ ὁ ῥήτωρ εἴρηκε, τὸν δολιχοδρομήσαντα στάδιον*, id corruptum videtur.

*ὑπὲρ τοῦ μὴ συνεδρεύειν Ἀθήνησι Χαλκιδέας*] Chalcidenses tum temporis erant socii Atheniensium; Callias autem dominationem in Chalcidenses exercebat, quam quo firmiorem haberet, ne quando sui cives contra ipsum ab Atheniensibus aliquid auxilii impetrarent, effecit, ut Chalcidensibus non permitteretur legatos Athenas mittere ad sociorum concilium, ipse vero, ut Chalcidensium tyrannus Atheniensium fœdere uteretur. Honestam autem speciem verba præ se ferebant *βοηθεῖν τοὺς Ἀθηναίους Χαλκιδεῦσι*, non *Καλλίᾳ*.

*συντάξεις*] *Harpocration*: *ἔλεγον δὲ ἑκάστους φόρους συντάξεις, ἐπειδὴ χαλεπῶς ἔφερον οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα.* Cf. *Boeckh.* Staatsh. I. p. 430.

*μισοτύραννος Δημοσθένης, ὡς αὐτὸς προσποιεῖται, ὅν φησι Κτησιφῶν τὰ βέλτιστα λέγειν, ἀπέδοτο μὲν τοὺς καιροὺς τοὺς τῆς πόλεως, ἔγραψε δ' ἐν τῇ συμμαχίᾳ βοηθεῖν ἡμᾶς Χαλκιδεῦσι, ῥῆμα μόνον ἀντικαταλλαξάμενος, ἀντὶ τούτων εὐφημίας ἕνεκα προσγράψας Χαλκιδέας βοηθεῖν, ἐάν τις ἴῃ ἐπ' Ἀθηναίους·* 93. *τὰς δὲ συνεδρίας καὶ τὰς συντάξεις, ἐξ ὧν ἰσχύσειν ὁ πόλεμος ἤμελλεν, ἄρδην ἀπέδοτο, καλλίστοις ὀνόμασι αἰσχίστας πράξεις γράφων καὶ τῷ λόγῳ προσβιβάζων ὑμᾶς, ὡς δεῖ τὴν πόλιν τὰς μὲν βοηθείας πρότερον ποιεῖσθαι τοῖς ἀεὶ δεομένοις τῶν Ἑλλήνων, τὰς δὲ συμμαχίας ὑστέρας μετὰ τὰς εὐεργεσίας. ἵνα δ' εὖ εἰδῆτε, ὅτι ἀληθῆ λέγω, λάβε μοι τὴν Καλλίου γραφὴν καὶ τὴν συμμαχίαν, καὶ ἀνάγνωθι τὸ ψήφισμα.*

## ΨΗΦΙΣΜΑ.

94. *Οὔπω τοίνυν τοῦτ' ἐστι δεινόν, εἰ καιροὶ πέπρανται τηλικοῦτοι καὶ συνεδρίαι καὶ συντάξεις, ἀλλὰ πολὺ τούτου δεινότερον ὑμῖν φανήσεται ὃ μέλλω λέγειν. εἰς γὰρ τοῦτο προήχθη Καλλίας μὲν ὁ Χαλκιδεὺς ὕβρεως καὶ πλεονεξίας, Δημοσθένης δέ, ὃν ἐπαινεῖ Κτησιφῶν, δωροδοκίας, ὥστε τὰς ἐξ Ὠρεοῦ συντάξεις καὶ τὰς ἐξ Ἐρετρίας, τὰ δέκα τάλαντα, ὁρώντων, φρονούντων, βλεπόντων ἔλαθον ὑμῶν ὑφελόμενοι, καὶ τοὺς ἐκ τῶν πόλεων τούτων συνέδρους παρ' ὑμῶν μὲν ἀνέστησαν, πάλιν δὲ εἰς Χαλκίδα καὶ τὸ καλούμενον Εὐβοϊκὸν συνέδριον συνήγαγον. ὃν δὲ τρόπον καὶ δι' οἵων κακουργημάτων, ταῦτ' ἤδη ἄξιόν ἐστιν ἀκοῦσαι.* 95. *ἀφικνεῖται γὰρ πρὸς ὑμᾶς οὐκέτι δι' ἀγγέλων, ἀλλ' αὐτὸς ὁ Καλλίας, καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν λόγους διεξῆλθε κατεσκευασμένους ὑπὸ Δημοσθένους. εἶπε γάρ, ὡς ἥκοι ἐκ Πελοποννήσου νεωστὶ σύνταγμα συντάξας εἰς ἑκατὸν ταλάντων πρόσοδον ἐπὶ Φίλιππον, καὶ διελογίζετο ὅσον ἑκάστους ἔδει συντελεῖν,*

93. τῷ λόγῳ προσβιβάζων ὑμᾶς] *Blandis et speciosis verbis ad sententiam suam perducens.* In MSS. fere confunditur cum προβιβάζειν, quod est *impellere* bona plerumque significatione.

94. ὁρώντων, φρονούντων, βλεπόντων] In quo quis magnum ponit momentum, id per plura vel verba vel formulas solet enuntiare, quo firmius notio memoriæ et animo inhæreat. Si discrimen velis inter synonyma βλέπειν et ὁρᾶν constituere, βλέπειν visum oculorum significat, ὁρᾶν additam habet vim tropicam.

Ἀχαιοὺς μὲν πάντας καὶ Μεγαρέας ἑξήκοντα τάλαντα, τὰς δ' ἐν Εὐβοίᾳ πόλεις ἁπάσας τετταράκοντα· 96. ἐκ δὲ τούτων τῶν χρημάτων ὑπάρξειν καὶ ναυτικὴν καὶ πεζὴν δύναμιν· εἶναι δὲ πολλοὺς καὶ ἄλλους τῶν Ἑλλήνων, οὓς βούλεσθαι κοινωνεῖν τῆς συντάξεως, ὥστε οὔτε χρημάτων οὔτε στρατιωτῶν ἔσεσθαι ἀπορίαν. καὶ ταῦτα μὲν τὰ φανερά· ἔφη δὲ καὶ πράξεις πράττειν ἑτέρας δι' ἀποῤῥήτων, καὶ τούτων εἶναί τινας μάρτυρας τῶν ἡμετέρων πολιτῶν, καὶ τελευτῶν ὀνομαστὶ παρεκάλει Δημοσθένην καὶ συνειπεῖν ἠξίου. 97. ὁ δὲ σεμνῶς πάνυ παρελθὼν τόν τε Καλλίαν ὑπερεπῄνει τό τε ἀπόῤῥητον προσεποιήσατο εἰδέναι· τὴν δ' ἐκ Πελοποννήσου πρεσβείαν, ἣν ἐπρέσβευσε, καὶ τὴν ἐξ Ἀκαρνανίας ἔφη βούλεσθαι ὑμῖν ἀπαγγεῖλαι. ἦν δ' αὐτῷ κεφάλαιον τῶν λόγων πάντας μὲν Πελοποννησίους ὑπάρχειν, πάντας δ' Ἀκαρνᾶνας συντεταγμένους ἐπὶ Φίλιππον ὑφ' ἑαυτοῦ, εἶναι δὲ τὸ σύνταγμα χρημάτων μὲν εἰς ἑκατὸν νεῶν ταχυναυτουσῶν πληρώματα καὶ εἰς πεζοὺς στρατιώτας μυρίους καὶ ἱππέας χιλίους, 98. ὑπάρξειν δὲ πρὸς τούτοις καὶ τὰς πολιτικὰς δυνάμεις, ἐκ Πελοποννήσου μὲν πλείονας ἢ δισχιλίους ὁπλίτας, ἐξ Ἀκαρνανίας δὲ ἑτέρους τοσούτους· δεδόσθαι δὲ ἀπὸ πάντων τούτων τὴν ἡγεμονίαν ὑμῖν· πραχθήσεσθαι δὲ ταῦτα οὐκ εἰς μακράν, ἀλλ' εἰς τὴν

97. ἔφη βούλεσθαι] Reiskius ex solo Mead. dedit ἔφη δὴ βούλεσθαι. Sed otiosa est particula et facile alienam a loco sententiam movet.

98. δεδόσθαι δὲ ἀπὸ πάντων τούτων τὴν ἡγεμονίαν ὑμῖν] Duo Bekkeri codices habent ἁπάντων pro ἀπὸ πάντων, quæ fortasse est lectio vera, ut genitivus pendeat ex ἡγεμονίαν. Ἁπάντων facile abiit in ἀπὸ πάντων. Cf. *Bast.* in Palæogr. p. 784. Præpositio autem ἀπό hic vix locum habet. Quanquam multis locis et ἀπό ut ὑπό

95. Ἀχαιοὺς μὲν πάντας] Achaia nominabatur septentrionalis Peloponnesi pars, continens duodecim urbes, quas enumerat *Pausan.* L. VII. 6. Non admodum erant bellicosi Achæi, et ubicunque fieri potest, neutrarum erant partium.

96. δι' ἀποῤῥήτων] Philippi tempore multa jactabantur a demagogis subornata, quæ necesse sit per aliquod tempus silentio contineri, ne scilicet magna in populum utilitas pereat.

97. ἣν ἐπρέσβευσε] Demosthenes legationem in Peloponnesum obibat Ol. CIX. 1. Fortasse rediens ex Peloponneso Acarnaniam, regionem in occidentali Helladis parte non inopem, adiit.

συντεταγμένους] *Paratos ad subsidia et ad omnia, quæ opus sunt bello.* Συντάττεσθαι enim interdum de iis dicitur, qui promittunt se in usum publicum pecunias collaturos: quo vocabulo imprimis sic utitur *Demosth.* in oratione Περὶ Συντάξεως. Cf. p. 167, 168. cet.

πληρώματα] Πληροῦν et quæ inde derivantur vocabula, significant quod Latini dicunt navem *ornare*, instruere omnibus, quibus opus est in bello.

98. τὰς πολιτικὰς δυνάμεις] Copias ex ipsis civibus lectas; vocabulo opposito pecuniis, quas in usum belli tribuerent, vel copiis conductis. *Demosth.* Περὶ Στεφ. p. 306. μύριοι μὲν καὶ τετρακισχίλιοι ξένοι, δισχίλιοι δ' ἱππεῖς ἄνευ τῶν πολιτικῶν δυνάμεων συνήχθησαν.

ἕκτην ἐπὶ δέκα τοῦ Ἀνθεστηριῶνος μηνός· εἰρῆσθαι γὰρ ἐν ταῖς πόλεσιν ὑφ' ἑαυτοῦ καὶ παρηγγέλθαι πάντας ἥκειν συνεδρεύσοντας Ἀθήναζε εἰς τὴν πανσέληνον. 99. καὶ γὰρ τοῦτο ἄνθρωπος ἴδιον καὶ οὐ κοινὸν ποιεῖ. οἱ μὲν γὰρ ἄλλοι ἀλαζόνες, ὅταν τι ψεύδωνται, ἀόριστα καὶ ἀσαφῆ πειρῶνται λέγειν, φοβούμενοι τὸν ἔλεγχον· Δημοσθένης δ' ὅταν ἀλαζονεύηται, πρῶτον μὲν μεθ' ὅρκου ψεύδεται, ἐξώλειαν ἐπαρώμενος ἑαυτῷ, δεύτερον δὲ, ἃ εὖ οἶδεν οὐδέποτε ἐσόμενα, τολμᾷ λέγειν ἀριθμῶν εἰς ὁπότ' ἔσται, καὶ ὧν τὰ σώματα οὐχ ἑώρακε, τούτων τὰ ὀνόματα λέγει, κλέπτων τὴν ἀκρόασιν καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας. διὸ καὶ σφόδρα ἄξιός ἐστι μισεῖσθαι, ὅτι πονηρὸς ὢν καὶ τὰ τῶν χρηστῶν σημεῖα διαφθείρει. 100. ταῦτα δ' εἰπὼν δίδωσιν ἀναγνῶναι ψήφισμα τῷ γραμματεῖ μακρότερον μὲν τῆς Ἰλιάδος, κενώτερον δὲ τῶν λόγων, οὓς εἴωθε λέγειν, καὶ τοῦ βίου, ὃν βεβίωκε, μεστὸν

adhiberi potest recte, prout vel originem aut tempus, a quo, vel caussam efficientem indicare velis, hic tamen verbo passivo δεδόσθαι et genitivo personæ addenda videtur præpositio ὑπό. Ἀπό enim pro ὑπό non Atticis scriptoribus dicitur, sed serioris ævi Græcis; et quæ olim de hac re afferebantur exempla, hæc aut ab interpretibus perperam intelligebantur, aut jam in editionibus accuratis ad optimorum codicum auctoritatem sublata sunt.

εἰς τὴν πανσέληνον] Sic Stephanus, Helmst. et Bekkeri codices; idque etiam margini Ald. et Ven. adscripsit Victorius. Edd. ceteræ habent εἰς τὴν σελήνην, quod non ita adhibent Græci, ut significet plenilunium, sed hoc est ἡ πανσέληνος sc. νύξ. Κύκλον πανσέληνον dixit *Euripides* Ion. 1155. Lunam Græcos attendisse in rerum discrimine notum. Cf. *Scholiasten* Aristoph. ad Acharn. v. 84.

99. ἀριθμῶν] Hoc deest in multis et bonis codicibus, Helmst. et in sex Bekkeri. Sed recte Scholiastes: ἀντὶ τοῦ ἀπατῶν ὑμᾶς διὰ τῶν πιθανῶν τούτων λόγων, ἐν τῷ καὶ ὁρίζειν τὴν ἡμέραν καὶ ἄλλα τοιαῦτα. Ad sententiam quidem vocabulum non est necessarium, sed est γραφικόν. *Wunderlich*. "Græci non raro singulas res tam accurate et plene verbis depingere solent, ut aliis interdum in sententia proposita aliquid abundare videatur, pars in explicanda ea in aliena et inepta abeant."

99. οὐ κοινὸν] Κοινὸν τῷ ἰδίῳ oppositum hic est: *agendi ratio, quam plerique sequuntur.*

ἀλαζόνες] Proprium hoc erat sophistarum epitheton, qui, quod nesciebant, pulchre se scire insolenti vanitate jactabant. Vide *Ruhnkenius* ad Timæum, p. 28.

εἰς ὁπότ' ἔσται] Num usquam juncta legantur εἰς ὁπότε, nescio. Nec tamen videtur de lectionis veritate dubitandum. Εἰς τότε, quod posterioris tantum ævi esse opinabatur *Monkius* ad Eurip. Alc. 542, habet *Plato* Legg. VIII. p. 845. Quin etiam εἰς ὅτε legimus ap. *Homerum* Od. II. 99. Quænam adverbia cum præpositione jungantur, accurate exposuit *Lobeck.* ad Phrynich. p. 46. sq.

100 μακρότερον—τῆς Ἰλιάδος] Notum est proverbium Ἰλιὰς κακῶν de multitudine et magnitudine malorum: quod de Æschine adhibet Demosthenes. Æschines hinc videtur Ἰλιάς absolute de nimia longitudine s. magnitudine usurpasse.

κενώτερον δὲ τῶν λόγων—καὶ τοῦ βίου] In oppositione non semper diligentissimos esse scriptores antiquos jam sæpe vidimus. Hinc κενώτερος duo substantiva addita habet, quanquam in antecedente membro unum nonnisi substantivum additum sit adjectivo. Et sane unum κενώτερος ex Æschinis cupiditate utrique, et λόγοις et βίῳ Demosthenis, convenit.

δ' ἐλπίδων οὐκ ἐσομένων καὶ στρατοπέδων οὐδέποτε συλλεγησομένων. ἀπαγαγὼν δ' ὑμᾶς ἄποθεν ἀπὸ τοῦ κλέμματος καὶ ἀνακρεμάσας ἀπὸ τῶν ἐλπίδων, ἐνταῦθα δὴ συστρέψας γράφει, κελεύων ἑλέσθαι πρέσβεις εἰς Ἐρέτριαν, οἵτινες δεήσονται τῶν Ἐρετριέων, πάνυ γὰρ ἔδει δεηθῆναι, μηκέτι διδόναι τὴν σύνταξιν ὑμῖν τὰ πέντε τάλαντα, ἀλλὰ Καλλίᾳ, καὶ πάλιν ἑτέρους αἱρεῖσθαι εἰς Ὠρεὸν πρὸς τοὺς Ὠρείτας πρέσβεις, οἵτινες δεήσονται τὸν αὐτὸν Ἀθηναίοις φίλον καὶ ἐχθρὸν νομίζειν εἶναι. ✝ 101. ' ἔπειτα ἀναφαίνεται περὶ ἁπάντων ἐν τῷ ψηφίσματι πρὸς τῷ κλέμματι γράψας καὶ τὰ πέντε τάλαντα τοὺς πρέσβεις ἀξιοῦν τοὺς Ὠρείτας μὴ ὑμῖν, ἀλλὰ Καλλίᾳ διδόναι.' ὅτι δ' ἀληθῆ λέγω, ἀφελὼν τὸν κόμπον καὶ τὰς τριήρεις καὶ τὴν ἀλαζονείαν, ἀνάγνωθι, καὶ τοῦ κλέμματος ἅψαι, ὃ ὑφείλετο ὁ μιαρὸς καὶ ἀνόσιος ἄνθρωπος,

100. ἄποθεν] Num scribendum sit ἄποθεν an ἄπωθεν, Grammatici dissentiunt. *Lobeckius* autem ad Phryn. p. 9. ostendit apud scenicos poetas ἄπωθεν indubitabile esse, in prosaicis autem scriptoribus summam deprehendi lectionum ambiguitatem, et sic apud nostrum modo ἄποθεν legi, modo ἄπωθεν. Frequentius tamen in codd. apparet ο̆. Ἄπωθεν hic tantum in duobus codd. Ἄποθεν scribit etiam Imm. Bekkerus, ex Thucydide locos cum varietate colligens ad II. 81.

εἰς Ὠρεὸν πρὸς τοὺς Ὠρείτας] Cf. supra § 94. ad ὁρώντων, φρονούντων, βλεπόντων.

101. ἐν τῷ ψηφίσματι] Ἐν margo Steph. cod. Askew. et tres Bekkeri pro ἐπί.

ἀξιοῦν] Sic Bern., Helmst., tres Bekkeri codd. pro vulgato ἀξιῶν. Hujus verbi significationem subtiliter et accurate exposuit *Buttmannus* in Ind. orat. Mid.

ἐλπίδων οὐκ ἐσομένων] Ἐλπίδες in plurali sensu concreto *res speratæ*, quemadmodum sæpe nomina abstracta, animorum præsertim motus significantia, numero plurali ponuntur. Ἐλπίδας οὐκ 'σομένας dicimus spem, cui eventus erit nullus, spem irritam.

ἀπαγαγὼν ὑμᾶς ἄποθεν ἀπὸ τοῦ κλέμματος] *Valckenaer* ad Theocr. Adon. v. 7. T. II. p. 60. Heind. ἄποθεν delendum esse judicat ut interpretamentum præpositioni ἀπό supra scriptum, idque delevit in editione Hal. Bekkerus. Sed jam *Fr. Aug. Wolfius* ad Demosthenis Leptin. p. 245. vulgatam non sollicitandam recte censebat, et hujus parallelismi exempla, qui notionis vim auget, complura attulit *Lobeck.* ad Soph. Aj. 740. quibus veritatem lectionis vulgatæ vindicavit.—Κλέπτειν et quæ inde derivantur sæpe dicuntur de *furtiva fraude et callidis mendaciis. Demosthenes* Περὶ Στεφ. p. 236.

συστρέψας] Ni fallor i. q. συστρέψας ἑαυτόν *Plat.* de Rep. I. 10. Συστρέφεσθαι, quod proprie dicitur de serpentibus, qui se contrahunt dorso incurvato, ut impetus fiat vehementior saltusque perniciosior, ad orationem translatum significat concinnam brevitatem, ex qua enascitur vis et robur. Reddi igitur h. l. potest *cum vi.*

οἵτινες δεήσονται cet.] Scholiastes: τὸ ἀκόλουθον εἰπεῖν ἦν, ὥστε συμμαχῆσαι αὐτοὺς ἡμῖν. ὁ δὲ ἀπάγει παρ' ὑπόνοιαν κατ' εἰρώνειαν· ναί, ἵνα αὐτοὺς παρακαλέσωσι μὴ φέρειν ἔτι τοὺς φόρους ἡμῖν, ἀλλὰ Καλλίᾳ.

101. ἀναφαίνεται περὶ ἁπάντων ἐν τῷ ψηφίσματι πρὸς τῷ κλέμματι γράψας] Metathesis est verborum. Sic ad sententiam collocanda: πρὸς τῷ κλέμματι περὶ ἁπάντων ἐν τῷ ψηφίσματι ἀναφαίνεται γράψας: præterquam quod omnia, quæ in decreto posuit, scripta in fallaciam sunt, exoritur etiam id addens, ut legati petant ab Oritis. Wunderlichius tamen περὶ ἁπάντων explicat *præ omnibus*, locum fortasse sic intelligens, ut Rauchensteinius noster: *Deinde præter cetera omnia aperte in decreto in fraudem scripsit, ut quinque talenta Oritas legati juberent non vobis, sed Calliæ tradere.*

ὅν φησι Κτησιφῶν καὶ ἐν τῷδε τῷ ψηφίσματι διατελεῖν λέγοντα καὶ πράττοντα τὰ ἄριστα τῷ δήμῳ τῶν Ἀθηναίων.

## ΨΗΦΙΣΜΑ.

102. Οὐκοῦν τὰς μὲν τριήρεις καὶ τὴν πεζὴν στρατιὰν καὶ τὴν πανσέληνον καὶ τοὺς συνέδρους λόγῳ ἠκούσατε, τὰς δὲ συντάξεις τῶν συμμάχων, τὰ δέκα τάλαντα, ἔργῳ ἀπωλέσατε.

103. Ὑπόλοιπον δέ μοί ἐστιν εἰπεῖν, ὅτι, λαβὼν τρία τάλαντα μισθὸν, τὴν γνώμην ταύτην ἔγραψε Δημοσθένης, τάλαντον μὲν ἐκ Χαλκίδος παρὰ Καλλίου, τάλαντον δ' ἐξ Ἐρετρίας παρὰ Κλειτάρχου τοῦ τυράννου, τάλαντον δὲ ἐξ Ὠρεοῦ, διὸ καὶ καταφανὴς ἐγένετο, δημοκρατουμένων τῶν Ὠρειτῶν καὶ πάντα πραττόντων μετὰ ψηφίσματος. ἐξανηλωμένοι γὰρ ἐν τῷ πρὸς Φίλιππον πολέμῳ καὶ παντελῶς ἀπόρως διακείμενοι, πέμπουσι πρὸς αὐτὸν Γνωσίδημον, τὸν Χαριγένους υἱόν, τοῦ δυναστεύσαντός ποτε ἐν Ὠρεῷ, δεησόμενον αὐτοῦ τὸ μὲν τάλαντον ἀφεῖναι τῇ πόλει, ἐπαγγελλόμενον δ' αὐτῷ χαλκῆν εἰκόνα σταθήσεσθαι ἐν Ὠρεῷ. 104. ὁ δὲ ἀπεκρίνατο τῷ Γνωσιδήμῳ, ὅτι ἐλαχίστου χαλκοῦ οὐδὲν

103. *ἐπαγγελλόμενον*] Nota præsens ab omnibus codd. repræsentatum, antecedente futuro *δεησόμενον*, nisi quod tres codd. habent *ἐπαγγελόμενον*: quæ nulla est varietas. Pro λλ librarii sæpissime scribunt λ. Nec quicquam opinor esse mutandum. Futurum enim id indicat, quod ei mandatum erat ab iis, qui mittebant, præsens autem, quid fecerit ipse, etiam si publice mandatum non fuerit, ut finem assequeretur. Profitebatur enim certo sibi esse persuasum, Oritas Demostheni in gratiarum significationem statuam esse posituros. Hinc non erat, cur Stephanus et Bekkerus contra libros scriberent *ἐπαγγελούμενον.*

103. *παρὰ Κλειτάρχου τοῦ τυράννου*] Hunc Eretriæ tyrannum instituit Philippus, Plutarcho, de quo supra, ejecto. Ejus legatos malo consilio Athenas venientes Æschinem hospitio excepisse eorumque patronum fuisse notat *Demosthenes* Περὶ Στεφ. p. 252.

*διὸ καὶ καταφανὴς ἐγένετο*] Exspectes *καταφανές*, sc. *τὸ πρᾶγμα*. Pro *διό* malim *δι' ὅ*, per quod talentum, quod ab Oritis flagitabat; et ad *καταφανής* vel ex contextu supplendum *δωροδοκήσας*, vel quod antecedit *λαβών*.

*δημοκρατουμένων τῶν Ὠρειτῶν*] *Quum Oritæ, tyrannide liberati, reipublicæ forma uterentur*. Philippus nempe, ut Eretriæ Clitarchum, sic Orei Philistiden tyrannum instituerat. Per expeditionem, auctore Demosthene, in Eubœam susceptam Ol. CIX. 4. tyrannos ejecerunt Athenienses eorumque legatos, hostes reipublicæ declaratos, ex urbe excedere jusserunt.

*ἐξανηλωμένοι*] Rarum est de hominibus, quorum opes exhaustæ sunt, qui unde rebus necessariis pares sint, non habent. Similiter tamen dixit *Thucydides* L. IV. 3. *τὴν πόλιν δαπανᾶν*, quod explicant glossographi *εἰς ἀναλώματα μεγάλα ἐμβάλλειν.*

104. *ἐλαχίστου χαλκοῦ*] Vel dictum, ut nos fere solemus, *neither much nor little of metal; there is no use in a bit of metal;* sibi minime opus esse parvula illa æris parte, ex qua statua conficiatur; nihil se statuæ metallo juvari, sed opus esse auro argentove.

δέοιτο, τὸ δὲ τάλαντον διὰ τοῦ Καλλίου εἰςπράττειν. ἀναγκαζόμενοι δὲ οἱ Ὠρεῖται καὶ οὐκ εὐποροῦντες, ὑπέθεσαν αὐτῷ τοῦ ταλάντου τὰς δημοσίας προσόδους, καὶ τόκον ἤνεγκαν Δημοσθένει τοῦ δωροδοκήματος δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς, ἕως τὸ κεφάλαιον ἀπέδοσαν. καὶ ταῦτ' ἐπράχθη μετὰ ψηφίσματος τοῦ δήμου. ὅτι δὲ τἀληθῆ λέγω, λάβε μοι τὸ ψήφισμα τῶν Ὠρειτῶν.

## ΨΗΦΙΣΜΑ.

105. Τοῦτ' ἐστι τὸ ψήφισμα, ὦ ἄνδρες Ἀθηναῖοι, αἰσχύνη μὲν τῆς πόλεως, ἔλεγχος δὲ οὐ μικρὸς τῶν Δημοσθένους πολιτευμάτων, φανερὰ δὲ κατηγορία Κτησιφῶντος· τὸν γὰρ οὕτως αἰσχρῶς δωροδοκοῦντα οὐκ ἔστιν ἄνδρα γεγονέναι ἀγαθόν, ἃ τετόλμηκεν οὗτος γράψαι ἐν τῷ ψηφίσματι.

106. Ἐνταῦθ' ἤδη τέτακται καὶ ὁ τρίτος τῶν καιρῶν, μᾶλλον δ' ὁ πάντων πικρότατος χρόνος, ἐν ᾧ Δημοσθένης ἀπώλεσε τὰς τῶν Ἑλλήνων καὶ τῆς πόλεως πράξεις, ἀσεβήσας μὲν εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς, ἄδικον δὲ καὶ οὐδαμῶς ἴσην τὴν πρὸς Θηβαίους συμμαχίαν γράψας. ἄρξομαι δὲ ἀπὸ τῶν εἰς τοὺς θεοὺς αὐτοῦ πλημμελημάτων λέγειν.

106. πικρότατος] *Porsonus* edixit ad Phœn. 1367, quum πότμος, τέκνον et similia secundum Atticas rationes pænultimam syllabam corripiant, comparativos inde compositos et derivatos antepænultimam producere. Ego vero, motus iis, quæ *Buttmannus* habet *Ausführl. Gr. Sprachlehre* T. I. p. 263. contra libros in his rebus nil tentaverim.

εἰςπράττειν] Si sana est lectio, constructionis est mutatio, ita ut ἀπεκρίνατο primo constructum sit sequente ὅτι cum optativo, dein autem sequente infinitivo sine conjunctione. Ejusmodi quidem varietates apud optimos scriptores haud raræ sunt. Præsens tamen hic parum est aptum (futurum potius ponendum erat) et oratio directa sententiæ convenientior. Hinc præferendum fortasse εἰςέπραττεν, quod habent Bern. margo Steph. et tres Bekkeri ejusdem familiæ codd.

δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς] Nobis quidem fenus videtur immensum, plus dena capitis parte quotannis. Sed eo tempore parvum censebatur, quemadmodum hodie in orientali plaga. Cf. *Boeckh*. Staatsh. T. I. p. 143.

κεφάλαιον] *Suidas* s. v. ἔνιοι τῶν ῥαθύμως ἐντετυχηκότων τοῖς ὑπὸ τῶν δέκα ῥητόρων γραφεῖσι λόγοις οἴονται παρειλῆφθαι ἐπὶ τοῦ πράγματος καὶ λόγου μόνον ... παρείληπται δὲ καὶ ἐπ' ἀργυρίου τὸ κεφάλαιον, ὡς ὁ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.... ἕως τὸ κεφάλαιον ἀποδόσθαι.

106. ἐνταῦθ' ἤδη] Transitus est abruptus ad excitandam attentionem, quoniam hoc momentum tanquam πικρότατον æstimatur.

πικρότατος χρόνος] Χρόνος recte hic dixit, non καιρός, respiciens tempora reipublicæ iniquissima. Demostheni autem erat καιρός.

οὐδαμῶς ἴσην] Minime utrisque partibus æquam. Vult Æschines ex hoc pacto Thebanis quidem commoda, Atheniensibus autem damna redundasse.

107. Ἔστι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ Κιῤῥαῖον ὠνομασμένον πεδίον καὶ λιμὴν ὁ νῦν ἐξάγιστος καὶ ἐπάρατος ὠνομασμένος. ταύτην ποτὲ τὴν χώραν κατῴκησαν Κιῤῥαῖοι καὶ Ἀκραγαλλίδαι, γένη παρανομώτατα, οἳ εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς καὶ τὰ ἀναθήματα ἠσέβουν, ἐξημάρτανον δὲ καὶ εἰς τοὺς Ἀμφικτύονας. ἀγανακτήσαντες δ' ἐπὶ τοῖς γινομένοις μάλιστα μέν, ὡς λέγονται, οἱ πρόγονοι οἱ ὑμέτεροι, ἔπειτα καὶ οἱ ἄλλοι Ἀμφικτύονες, μαντείαν ἐμαντεύσαντο παρὰ τῷ θεῷ, τίνι χρὴ τιμωρίᾳ τοὺς ἀνθρώπους τούτους μετελθεῖν. 108. καὶ αὐτοῖς ἀναιρεῖ ἡ Πυθία πολεμεῖν Κιῤῥαίοις καὶ Ἀκραγαλλίδαις πάντ' ἤματα καὶ πάσας νύκτας. καὶ τὴν χώραν αὐτῶν ἐκπορθήσαντας καὶ αὐτοὺς ἀνδραποδισαμένους ἀναθεῖναι τῷ Ἀπόλλωνι τῷ Πυθίῳ καὶ Ἀρτέμιδι καὶ Λητοῖ καὶ Ἀθηνᾷ Προνοίᾳ ἐπὶ πάσῃ ἀεργίᾳ, καὶ ταύτην τὴν χώραν μήτ' αὐτοὺς ἐργάζεσθαι, μήτ' ἄλλον ἐᾶν. λαβόντες δὲ τὸν

107. Ἀκραγαλλίδαι] *Harpocration* s. v. Κραναλλίδαι. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Δίδυμός φησι δεῖν γράφεσθαι Κραυγαλλίδαι. Οὕτω γὰρ λέγεσθαι τὴν ἐν Φωκεῦσι πλησίον Κίῤῥας χώραν Κραυγάλλων, ὡς καὶ Ξεναγόρας ἐν τετάρτῳ χρόνων ἱστορεῖ. Hinc sua videtur *Suidas* hausisse; Κραναλίδαι ἢ Κραυγαλίδαι ἡ ἐν Φωκεῦσι πλησίον Κίῤῥας χώρα.

γινομένοις] Sic Helmst. et tres Bekkeri codd. ejusdem familiæ. Vulgo γενομένοις. Per præsens actio durans exprimitur. Qui enim impune peccarunt, in peccando perseverant. Hinc præsens significantius quam aoristus vel præteritum γεγενημένοις, quod est in uno codice.

ἔπειτα καί] Quod Marklandus conjecit ἔπειτα δὲ καί, habent Helmst. et quattuor Bekkeri. Sed vide *Werferum* Act. Monac. T. I. p. 253. not.

108. καὶ τὴν χώραν αὐτῶν ἐκπορθήσαντας] Tres Bekkeri ejusdem familiæ post αὐτῶν addunt καὶ τὴν πόλιν, quod est vel a librario vel a grammatico profectum. Nam χώρα, χθών, γῆ, immo etiam νῆσος, ubi videntur *urbem* significare, sæpe de *agro* cet. ponuntur et de *urbe*, quæ inest in agro. Cf. *Seidler* ad Eurip. Troad. v. 4.

107. τὸ Κιῤῥαῖον—πεδίον] *Cirrha* Delphorum erat navale sexaginta a Delphis stadia distans, teste *Pausania* L. X. 37, 4. Inter epistolas Hippocratis Coi legitur πρεσβευτικὸς (λόγος) Θεσσαλοῦ Ἱπποκράτους υἱοῦ in hanc rem.

ἐξάγιστος] *Harpocration:* ἐξάγιστος ἀντὶ τοῦ λίαν ἐναγὴς καὶ ἔμπλεος ἄγους. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἐπί τινος λιμένος εἴρηκε τοὔνομα. Idem Suidas, Etymologicum M., alii. Cf. *Blomfield.* Gloss. ad Agam. v. 624. Præpositio ἐξ in compositione sæpe habet vim intensivam. Ἄγος explicant glossographi μύσος, μίασμα.

108. πάντ' ἤματα καὶ πάσας νύκτας] Formula periphrastica poesi et oraculis apta de rei diuturnitate.

Ἀθηνᾷ Προνοίᾳ] *Harpocration:* Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. ὠνομάζετό τις παρὰ Δελφοῖς Ἀθηνᾶ Πρόνοια, διὰ τὸ πρὸ τοῦ ναοῦ ἱδρῦσθαι, ἢ ὅτι προὐνόησεν, ὅπως τέκοι ἡ Λητώ. Confundit duo Ἀθηνᾶς epitheta, alterum Προναίας, alterum Προνοίας. Conjunguntur in Æschinis loco, Ἀπόλλων ὁ Πύθιος καὶ Ἄρτεμις καὶ Λητὼ καὶ Ἀθηνᾶ Πρόνοια, quibus aram in Zostere Atticæ fuisse discimus ex *Pausania* L. I. 31, 1. Pythia suo oraculo voluit, ut Cirrhæi et Acragallidæ in servitutem redacti eorumque agri ipsis numinibus Delphicis, Minervæ Προνοίᾳ et Apollini Pythico ceterisque donarentur. Cf. *Lennepium* ad Phalar. p. 144. ed. Bat.

ἐπὶ πάσῃ ἀεργίᾳ] Ita ut prorsus inculta jaceret ista regio. Qui deo sacratus erat ager, eum nec aratro findi, nec falce demeti licebat.

*χρησμὸν οἱ Ἀμφικτύονες ἐψηφίσαντο, Σόλωνος εἰπόντος Ἀθηναίου τὴν γνώμην, ἀνδρὸς καὶ νομοθετῆσαι δυνατοῦ καὶ περὶ ποίησιν καὶ φιλοσοφίαν διατετριφότος, ἐπιστρατεύειν ἐπὶ τοὺς ἐναγεῖς κατὰ τὴν μαντείαν τοῦ θεοῦ·* 109. *καὶ συναθροίσαντες δύναμιν ἱκανὴν τῶν Ἀμφικτυόνων, ἐξηνδραποδίσαντο τοὺς ἀνθρώπους καὶ τοὺς λιμένας ἔχωσαν, καὶ τὴν πόλιν αὐτῶν κατέσκαψαν, καὶ τὴν χώραν αὐτῶν καθιέρωσαν κατὰ τὴν μαντείαν· καὶ ἐπὶ τούτοις ὅρκον ὤμοσαν ἰσχυρὸν μήτ' αὐτοὶ τὴν ἱερὰν γῆν ἐργάσεσθαι, μήτ' ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ βοηθήσειν τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ καὶ χειρὶ καὶ ποδὶ καὶ πάσῃ δυνάμει.* 110. *καὶ οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι, ἀλλὰ καὶ προστροπὴν καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο. γέγραπται γὰρ οὕτως ἐν τῇ ἀρᾷ, "εἴ τις τάδε" φησὶ "παραβαίνοι, ἢ πόλις, ἢ ἰδιώτης, ἢ ἔθνος, ἐναγής" φησιν "ἔστω τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος καὶ Λητοῦς καὶ Ἀθηνᾶς Προνοίας."* 111. *καὶ ἐπεύχεται αὐτοῖς μήτε γῆν καρποὺς φέρειν, μήτε γυναῖκας τέκνα τίκτειν γονεῦσιν ἐοικότα, ἀλλὰ τέρατα, μήτε βοσκήματα κατὰ φύσιν γονὰς ποιεῖσθαι, ἧτταν δὲ αὐτοῖς εἶναι πολέμου καὶ δικῶν καὶ ἀγορῶν, καὶ ἐξώλεις εἶναι καὶ αὐτοὺς*

109. *τοὺς λιμένας*] Quod Marklandus conjecit *τὸν λιμένα*, dedit Bekkerus ex tribus codd. ejusdem familiæ. Ego pluralem hyperbolicum vindicavi supra § 79.

*ἐργάσεσθαι*] Sex Bekkeri codd. habent *ἐργάσασθαι*, tres ejusdem familiæ *ἐργάζεσθαι*: quorum in se neutrum damnandum. Cf. Excurs. VIII. in Lysiam. Sed quum in hac periodo ubique futurum sit positum, et quum ratio ubique sit eadem, non opinor Æschinem in hoc uno membro aoristum aut præsens posuisse.

109. *βοηθήσειν τῷ θεῷ*] Hac formula significatur *dei voluntati accuratissime obtemperare, ejus honorem vindicare impiosque punire.* Βοηθεῖν *αὐτῷ* dicitur is, qui injuriam illatam persequitur et ulciscitur. Vide *Demosth.* in Mid. p. 64. § 30. Buttm.

110. *οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι*] Est genus parallelismi *ἀπέχρησε—μόνον* neque abundat *μόνον*, ut opinatus est *Stephanus* de dialecto Attica p. 105. Verum *τοῦτον μόνον τὸν ὅρκον* dictum propter sequens *ἀλλὰ καὶ προστροπὴν καὶ ἀράν.*

111. *ἐπεύχεται*] Sc. *ἡ ἀρά*, quod subjectum est etiam ad antecedens interjectum *φησί*. Hanc *ἀρὰν* ante oculos habuit *Sophocles* Œd. Tyr. 270. s. Contraria *εὐχῇ* hunc locum ob oculos habuit *Liban.* ep. CCXLII. *καὶ δῆτα εὔχομαι τοῖς θεοῖς πᾶσι καὶ πάσαις γῆν τε αὐτοῖς καρπὸν ὅτι πλεῖστον διδόναι καὶ ἀέρα μένειν ἐν τοῖς μέτροις καὶ γυναῖκας τίκτειν ὅμοια τοῖς γονεῦσι, καὶ λόγων, ὥσπερ νῦν, τὴν πόλιν ἐρᾶν.* Cf. quos laudat *Mitscherl.* ad Horat. Od. IV. 5, 23.

*τέρατα*] *Bekker.* Anecdd. p. 308. *τέρας τὸ ζῶον τὸ μὴ κατὰ φύσιν γενόμενον*, ut Plato in Cratylo, *ἐάν, ὥσπερ τέρας, γένηται ἐξ ἵππου ἄλλο τι ἢ ἵππος.*—Ceterum non ubique verum esse *Thomæ* M. assertum: *τέρα καὶ τερῶν* Ἀττικοί, *τέρατα δὲ καὶ τεράτων ἁπλῶς* Ἕλληνες, ex nostro loco patet et docuit *Alberti* Gloss. in N. T. p. 115.

*ἀγορῶν*] H. I. i. q. *ἐκκλησιῶν*, Homerico loquendi usu. Cf. *Schœmann.* de Comit. p. 28.

*καὶ οἰκίας καὶ γένος τὸ ἐκείνων. "καὶ μήποτε" φησιν "ὁσίως θύσαιεν τῷ Ἀπόλλωνι, μηδὲ τῇ Ἀρτέμιδι, μηδὲ τῇ Λητοῖ, μηδ' Ἀθηνᾷ Προνοίᾳ, μηδὲ δέξαιντο αὐτοῖς τὰ ἱερά."* 112. *ὅτι δ' ἀληθῆ λέγω, ἀνάγνωθι τὴν τοῦ θεοῦ μαντείαν. ἀκούσατε τῆς ἀρᾶς. ἀναμνήσθητε τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι μετὰ τῶν Ἀμφικτυόνων συνώμοσαν.*

## ΜΑΝΤΕΙΑ.

*Οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες,*
*πρίν γε θεοῦ τεμένη κυανώπιδος Ἀμφιτρίτης*
*κῦμα ποτικλύζῃ κελαδοῦν ἱεραῖσιν ἐπ' ἀκταῖς.*

## ΟΡΚΟΙ. ΑΡΑ.

113. *Ταύτης τῆς ἀρᾶς καὶ τῶν ὅρκων καὶ τῆς μαντειας γενομένης, ἀναγεγραμμένων ἔτι καὶ νῦν, οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς, μᾶλλον δὲ οἱ προεστηκότες αὐτῶν ἄνδρες παρανομώτατοι, ἐπειργάζοντο τὸ πεδίον, καὶ τὸν λιμένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν καὶ συνῴκισαν, καὶ τέλη τοὺς καταπλέοντας ἐξέλεγον, καὶ τῶν ἀφικνουμένων εἰς Δελφοὺς πυλαγόρων ἐνίους χρήμασι διέφθειραν, ὧν εἷς ἦν Δημοσθένης.*

113. *πυλαγόρων*] Fluctuant libri inter terminationem *πυλαγόραι* et *πυλαγόροι*. Singularis quidem ubique, ni fallor, primam sequitur declinationem; in plurali tamen scriptores ipsi variasse videntur. In Æschine plerisque locis optimi et plurimi MSS. terminationem secundæ declinationis afferunt, eosque, ut par erat, secutus sum. Cf. *Wesseling.* ad Herodot. VII. 214.

*μηδὲ δέξαιντο αὐτοῖς τὰ ἱερά*] *Wolfius*: "pro *αὐτῶν* usitata Græcis *ἀντιπτώσει*." Sed *δέχεσθαι τινί τι* propria Græcis loquendi ratio pro *δέχεσθαί τι παρά τινος*, ut docuit *Porsonus* ad Eurip. Hec. 539. [ubi præcipue comparanda exempla a Schæfero adscripta], imprimis si dii clementer accipiunt, quod a mortalibus pio animo offertur, quo pertinet locus a Porsono laudatus ex *Aristoph.* Lysistr. 204. *τὰ σφάγια δέξαι ταῖς γυναιξὶν εὐμενής.* Sic etiam nostro loco. Quanquam nec genitivus inusitatus. Sic. § 121. *μηδὲ δέξαιντο αὐτῶν τὰ ἱερά.*

112. *Οὐ πρὶν* cet.] Hoc oraculum etiam ap. *Pausaniam* legitur X. 37. cum nonnullis, sed parum gravibus mutationibus. De hoc similibusque oraculorum fragmentis monet F. A. *Wolfius* ad Leptineam p. 245. "Omnino fictum videtur mihi sæpius, ut in locis, ubi deessent scita, leges aliæve litteræ publicæ, sicunde nota essent, aut ex ipsa oratione suppleri possent, a doctis lectoribus insererentur. Pro tali habuerim etiam fragmentum oraculi apud *Æschinem* in Ctesiph. p. 503. R."

113. *οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς*] Cf. *Strabo* L. IX. 4, 4. qui *Κρισσαίους* appellat, qui ceteris sunt *Κιρραῖοι*. *Pausanias* X. 38, 2. dicit *Ἄμφισσαν εἶναι μεγίστην καὶ ὀνομαστοτάτην πόλιν τῶν Λοκρῶν ... τεθῆναι δὲ τῇ πόλει τὸ ὄνομα ἀπὸ Ἀμφίσσης τῆς Μάκαρος τοῦ Αἰόλου φασίν.* *Stephan.* autem *Byz.* s. v. *Ἄμφισσα ἐκλήθη δέ*, inquit, *οὕτω διὰ τὸ ἐμπεριέχεσθαι τοῖς ὄρεσι τοῖς κειμένοις.*

*πυλαγόρων*] De legatis Amphictyonicis accurate egit *Tittmann.* in libro *über den Bund der Amphiktyonen* IV. § 4. Erant

114. χειροτονηθεὶς γὰρ ὑφ' ὑμῶν πυλαγόρας, λαμβάνει χιλίας δραχμὰς παρὰ τῶν Ἀμφισσέων τοῦ μηδεμίαν μνείαν περὶ αὐτῶν ἐν τοῖς Ἀμφικτύοσι ποιήσασθαι. διωμολογήθη δ' αὐτῷ καὶ εἰς τὸν λοιπὸν χρόνον ἀποσταλήσεσθαι Ἀθήναζε τοῦ ἐνιαυτοῦ ἑκάστου μνᾶς εἴκοσι τῶν ἐξαγίστων καὶ ἐπαράτων χρημάτων, ἐφ' ᾧτε βοηθήσειν τοῖς Ἀμφισσεῦσιν Ἀθήνῃσι κατὰ πάντα τρόπον· ὅθεν ἔτι μᾶλλον ἢ πρότερον συμβέβηκεν αὐτῷ, ὅτου ἂν προσάψηται ἢ ἀνδρὸς ἰδιώτου, ἢ δυνάστου, ἢ πόλεως δημοκρατουμένης, τούτων ἑκάστους ἀνιάτοις κακοῖς περιβάλλειν. 115. σκέψασθε δὴ τὸν δαίμονα καὶ τὴν τύχην, ὅσῳ περιεγένετο τῆς τῶν Ἀμφισσέων ἀσεβείας. ἐπὶ γὰρ Θεοφράστου ἄρχοντος, ἱερομνήμονος ὄντος Διογνήτου Ἀναφλυστίου, πυλαγόρους ὑμεῖς εἵλεσθε Μειδίαν τε ἐκεῖνον τὸν Ἀναγυράσιον, ὃν ἐβουλόμην ἂν πολλῶν ἕνεκα ζῆν, καὶ Θρασυκλέα τὸν ἐξ Οἴου, καὶ τρίτον δὲ μετὰ τούτων ἐμέ. συνέβη

114. ἢ ἀνδρὸς ἰδιώτου, ἢ δυνάστου, ἢ πόλεως δημοκρ] Vulgo ἀνδρὸς ἢ ἰδιώτου cet. Sed ἢ ἀνδρός habent quattuor Bekkeri ; et ἤ ante ἰδιώτου prorsus deest in quinque aliis. Duo genera producuntur. Alterum est ἀνὴρ ἰδιώτης, ἢ δυνάστης, alterum πόλις δημοκρατουμένη. Ἰδιώτης, ἢ δυνάστης partes sunt ejusdem generis, et ἤ ante δυνάστης indicium novæ partis. Si quæris, cur orator hoc diserte civitatium genus (πόλ. δημ.) nominet, sciebat, quantopere cives sui huic adhærerent, invisum autem adversarium potissimum hac suspicione reddi, si quid crederent eum contra democratiæ statum moliri.

115. Μειδίαν τε ἐκεῖνον τὸν Ἀναγυράσιον] Sic septem Bekkeri codices. Vulgo Ἀναγυῤῥάσιον. *Zenobius* Proverbb. Cent. II. 55. ἔστιν ὁ Ἀνάγυρος (alii, ut Harpocration, Ἀναγυροῦς) δῆμος τῆς Ἐρεχθηΐδος φυλῆς, ἔνθα δυσῶδες φυτὸν φύεται. εἴρηται οὖν ἡ παροιμία ἐντεῦθεν· Ἀνάγυρον κινεῖν, ἐπὶ τῶν κινούντων τινὰ ἐπὶ κακῷ ἑαυτῶν. Τινὲς δὲ λέγουσιν, ὅτι ἄνθρωπος ἥρως γέγονεν, ὅστις τοὺς οἴκους τῶν γειτονούντων αὐτῷ ἐκ βάθρων ἀνέστρεψεν, ἐπειδὴ τὸ ἡρῷον ὑβρίσαι ἐπεχείρησαν. Harpocration: ἔνθεν ὁ δημότης Ἀναγυράσιος. Quod Æschines optat, ut Midias adhuc in vivis esset, de multis, quas dicit, caussis prima, si non una, hæc erat, quod Demosthenes in Midia potentem et acrem adversarium habebat.

Θρασυκλέα τὸν ἐξ Οἴου] Sic quattuor Bekkeri codd. Vulgo Θρασυκλέα τὸν Λέσβιον: de qua lectione hæc notavit *F. A. Wolfius* ad Leptin. p. 245: "Postremum nomen pro gentili esse vix bene probetur ne ex iis quidem, quæ a Platone Ion. extr. eorum duo genera, πυλαγόρων unum, alterum ἱερομνημόνων. Bekkeri Anecdd. p. 292. ἐκλήθη δὲ Πυλαγόρας παρὰ τὸ ἐπὶ Πυλαίᾳ ἀγορεύειν· Πυλαία δ' ἐστὶ τὸ Ἀμφικτυονικὸν συνέδριον. Nomen ἱερομνημόνων respicit eorum curam rerum sacrarum, unde etiam ἱερογραμματεῖς appellabantur. Aliis locis videtur id præcipue ἱερομνημόνων fuisse munus, ut studia suarum civitatum curarent. Scriptores tamen non certum utriusque generis discrimen constituisse, sed per utrumque nomen legatos ad consilium Amphictyonum intellexisse videntur.

114. ἐφ' ᾧτε] De hac formula, significante *hac lege ut*, quæ vel cum indicativo vel cum infinitivo construitur, accuratissime exposuit *Fr. Wolfg. Reizius* de prosodiæ Græcæ accentus inclin. p. 27 ss.

115. Θεοφράστου ἄρχοντος] Ol. CX. 1.

Διογνήτου Ἀναφλυστίου] *Harpocration*, hunc locum respiciens, Ἀνάφλυστος δῆμος τῆς φυλῆς Ἀντιοχίδος. ἔνιοι δὲ ὡς πόλεως τῆς Ἀναφλύστου μνημονεύουσιν. Egit de hoc demo *Meurs.* de populis Atticis s. v.

δ' ἡμῖν ἀρτίως μὲν εἰς Δελφοὺς ἀφῖχθαι, παραχρῆμα δὲ τὸν ἱερομνήμονα Διόγνητον πυρέττειν· τὸ δ' αὐτὸ τοῦτο συμπεπτώκει καὶ τῷ Μειδίᾳ. οἱ δ' ἄλλοι συνεκάθηντο Ἀμφικτύονες. 116. ἐξηγγέλλετο δ' ἡμῖν παρὰ τῶν βουλομένων εὔνοιαν ἐνδείκνυσθαι τῇ πόλει, ὅτι οἱ Ἀμφισσεῖς, ὑποπεπτωκότες τότε καὶ δεινῶς θεραπεύοντες τοὺς Θηβαίους, εἰsέφερον δόγμα κατὰ τῆς ὑμετέρας πόλεως, πεντήκοντα ταλάντοις ζημιῶσαι τὸν δῆμον τὸν Ἀθηναίων, ὅτι χρυσᾶς ἀσπίδας ἀνέθεμεν πρὸς τὸν καινὸν νεὼν πρὶν ἐξειργάσθαι, καὶ ἐπεγράψαμεν τὸ προsῆκον ἐπίγραμμα "Ἀθηναῖοι ἀπὸ Μήδων καὶ Θηβαίων, ὅτε τἀναντία τοῖς Ἕλλησιν ἐμάχοντο." μεταπεμψάμενος δ' ἐμὲ ὁ ἱερομνήμων ἠξίου εἰsελθεῖν εἰς τὸ συνέδριον καὶ εἰπεῖν τι πρὸς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς πόλεως, καὶ αὐτὸν οὕτω προῃρημένον. 117. ἀρχομένου δέ μου λέγειν καὶ προθυμότερόν πως εἰsεληλυθότος εἰς τὸ συνέδριον, τῶν ἄλλων

Demosth. Phil. I. p. 51. et aliis narrantur. Nec magis placet emendatio Reiskii τὸν Λεσβίου. Exspectatur enim non patris nomen, sed demi, judice etiam Marklando. Scribendum igitur τὸν Λέκκιον. Hesychius: Λέκκον δῆμος Ἀντιοχίδος φυλῆς. Quem demum quum omisisset Meursius, eum Jac. Sponius addidit in Supplementis." Quod volebat vir præstantissimus, ut nomen demi restitueretur, id factum est, lectione bonorum librorum recepta. Cf. *Harpocrationem* s. v. Οἶον, qui recte inter duos demos, Λεοντίδος φυλῆς unum, alterum Ἱπποθοωντίδος discernit. Utrumque hoc nomen habebat διὰ τὸ μηδαμῶς εὐοίκητον τόπον ἔχειν. Tertius erat demus Πανδιονίδος, qui dicebatur Οἴα, δημόται Οἴηθεν, quum δημόται ex utroque Οἴου dicebantur ἐξ Οἴου.

συμπεπτώκει] Sic tres Bekkeri codices. Vulgo συνεπεπτώκει. Ubi boni codices superaugmentum omittunt, præsertim in verbis compositis, eos sequendos existimo. Nam Atticorum scriptorum normam perscrutantes, eos in plurimis verbis superaugmentum non addidisse inveniemus.

116. πρὶν ἐξειργάσθαι] Harpocrationem in suo Æschinis exemplari pro ἐξειργάσθαι reperisse ἐξαράσασθαι, apparet ex iis, quæ ap. eum habentur v. ἐξαράσασθαι. Ἐξαράσασθαί ἐστι τὸ ἐκτελέσαι τὰς ἀράς, τουτέστι τὰς εὐχὰς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν, αἳ εἰώθασι ποιεῖσθαι; accipit igitur de precibus et votis, quæ fiebant, quum templa ædificabantur. Scholiastes autem Æschinis ad vocabula πρὸς τὸν καινόν sic scribit: οὐ λέγει, ὅτι δύο ἦσαν ναοὶ ἐν Δελφοῖς, ἀλλὰ τὸν αὐτὸν λέγει. καλεῖ δὲ αὐτὸν καινόν, καθὸ τὸν παλαιὸν πρησθέντα ἀνῳκοδόμησαν οἱ Ἀμφικτύονες. πρὶν δὲ ἐξεργάσασθαί φησιν ἀντὶ τοῦ τελειωθῆναι τὸ ἔργον πᾶν τῆς οἰκοδομίας. λέγουσι δ' ὅτι ἔμεινεν ἐπὶ πολὺν χρόνον ἀτελής, ἕως οὗ ὕστερον Νέρων ὁ βασιλεὺς Ῥωμαίων ἐπλήρωσεν αὐτόν, ἐκεῖσε παραγενόμενος. Duo Bekkeri codices habent ἐξαράσασθαι; tertius ἐξαρέσασθαι.

116. τὸ προsῆκον ἐπίγραμμα] Hoc epitheto suam ipsius sententiam et æquorum hominum judicium exprimit Æschines. Si eorum, qui multare Athenienses volebant, sensum expressisset, dicendum erat τὸ μὴ προsῆκον.

καὶ αὐτὸν οὕτω προῃρημένον] *Qui etiam ipse, si non essem incitatus, id facere constitueram.* Unus codex ex glossa addidit ποιεῖν.

117. προθυμότερόν πως εἰsεληλυθότος] Εἰsέρχεσθαι hoc loco dicitur de *oratore: quum studiosius instarem, rem urgerem.* Quod sequitur μεθεστηκότων sic intelligendum, senatores, Æschinis oratione permotos, sententiam commutasse. Ante

πυλαγόρων μεθεστηκότων, ἀναβοήσας τις τῶν Ἀμφισσέων, ἄνθρωπος ἀσελγέστατος καί, ὡς ἐμοὶ ἐφαίνετο, οὐδεμιᾶς παιδείας μετεσχηκώς, ἴσως δὲ καὶ δαιμονίου τινὸς ἐξαμαρτάνειν αὐτὸν προαγομένου, "ἀρχὴν δέ γε" ἔφη "ὦ ἄνδρες Ἕλληνες, εἰ ἐσωφρονεῖτε, οὐδ᾽ ἂν ὠνομάζετε τοὔνομα τοῦ δήμου τοῦ Ἀθηναίων ἐν ταῖσδε ταῖς ἡμέραις, ἀλλ᾽ ὡς ἐναγεῖς ἐξείργετ᾽ ἂν ἐκ τοῦ ἱεροῦ." 118. ἅμα δὲ ἐμέμνητο τῆς τῶν Φωκέων συμμαχίας, ἣν ὁ Κρώβυλος ἐκεῖνος ἔγραψε, καὶ ἄλλα πολλὰ καὶ δυσχερῆ κατὰ τῆς πόλεως διεξῄει λέγων, ἃ ἐγὼ οὔτε τότ᾽ ἐκαρτέρουν ἀκούων, οὔτε νῦν ἡδέως μέμνημαι αὐτῶν. ἀκούσας δὲ οὕτω παρωξύνθην, ὡς οὐδεπώποτ᾽ ἐν τῷ ἐμαυτοῦ βίῳ. καὶ τοὺς μὲν ἄλλους λόγους ὑπερβήσομαι· ἐπῄει δ᾽ οὖν μοι ἐπὶ τὴν γνώμην μνησθῆναι τῆς τῶν Ἀμφισσέων περὶ τὴν γῆν τὴν ἱερὰν ἀσεβείας, καὶ αὐτόθεν ἑστηκὼς ᾽δείκνυον τοῖς Ἀμφικτύοσιν· ὑπόκειται γὰρ τὸ Κιῤῥαῖον πεδίον τῷ ἱερῷ καὶ ἔστιν εὐσύνοπτον. 119. "ὁρᾶτ᾽," ἔφην

117. ἐξείργετ᾽ ἄν] Sic Bern. Mor. margo Steph. et quattuor Bekkeri ejusdem familiæ. Vulgo ἐξήγετε, quod mitius est pro loquentis animo, nec facile potest ἄν abesse.

118. ἐπῄει δ᾽ οὖν μοι] Sic quattuor Bekkeri codices, et duo in margine pro vulgato ἐπῆλθε: quæ potius videtur glossa, quam vice versa. Ad ἐπιέναι, ἐπέρχεσθαι nonnisi dativum poni ejus, cui quid in mentem venit, ad εἰσιέναι, εἰσέρχεσθαι dativum et accusativum, docuit *Hemsterhusius* ad Luciani Prometh. § 2. T. I. p. 26.

περὶ τὴν γῆν τὴν ἱεράν] Sic quattuor Bekkeri codices ejusdem familiæ. Vulgo ἐπί. Ἀσεβής et quæ inde derivantur περί cum accusativo adjunctum habent vel rei vel hominis, in quem quis est ἀσεβής, interdum εἰς vel πρός. Ἐπί me legere non memini. Ἐπί autem et περί sæpe sunt confusa. Vide *Bast.* ad Gregorium Corinthium p. 783. s.

enim proni erant in Amphissensium arbitrium Atheniensibus imponendi multam; tunc autem a sententia desistebant. Rauchensteinius autem noster desiderat in Græcis verbis aliquam particulam temporis, ut ἤδη.

ἀσελγέστατος] H. I. *importunissimus, agrestissimus.* Explicatur eo, quod sequitur, οὐδεμιᾶς παιδείας μετεσχηκώς.

118. Κρώβυλος] Hoc cognomen Æschines tribuit *Hegesippo*, qui in re publica a Demosthenis stabat partibus. Vide *Ruhnken.* Histor. Critt. Oratt. Gr. p. LXXVIII. s. Κρώβυλος proprie est nodus crinium in verticem recinctorum: qui videtur mos fuisse elegantiorum hominum. Pluribus hoc nomen tanquam proprium fuisse tributum ostendit *Fr. Jacobs.* Anthol. T. VIII. p. 122. De re, si vis. Cf. *Demosthenem* Περὶ παραπρ. p. 364 ss.

αὐτόθεν ἑστηκὼς ἐδείκνυον] Αὐτόθεν, *ex eo ipso loco, quo conveneramus.* Ἑστηκώς significanter adjectum est, quod vulgo dicunt pleonastice, *forti vultu et animo.* Aliis locis alias significationes habet participium hoc pleonasticum.

119. ὁρᾶτ᾽—ὁρᾶτε τοῖς ὀφθαλμοῖς] Est orationis gradatio animo vel vere commoto, vel commotum se simulanti perquam apta. Nempe vim habet additum verbo videndi τοῖς ὀφθαλμοῖς. Sic interdum verbis sensuum additur substantivum, ipsum organon sensus exprimens. § 225. καὶ μὴ μόνον τοῖς ὠσίν, ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύεσθε.

ἐγώ, "ὦ ἄνδρες Ἀμφικτύονες, ἐξειργασμένον τουτὶ τὸ πεδίον ὑπὸ τῶν Ἀμφισσέων καὶ κεραμεῖα ἐνῳκοδομημένα καὶ αὔλια· ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν ἐξάγιστον καὶ ἐπάρατον λιμένα τετειχισμένον· ἴστε τούτους αὐτοί, καὶ οὐδὲν ἑτέρων δεῖσθε μαρτύρων, τέλη πεπραχότας καὶ χρήματα λαμβάνοντας ἐκ τοῦ ἱεροῦ λιμένος." 120. ἅμα δὲ ἀναγιγνώσκειν ἐκέλευον αὐτοῖς τὴν μαντείαν τοῦ θεοῦ, τὸν ὅρκον τῶν προγόνων, τὴν ἀρὰν τὴν γενομένην, καὶ διωριζόμην, ὅτι ἐγὼ μὲν ὑπὲρ τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τοῦ σώματος καὶ τῶν τέκνων καὶ οἰκίας τῆς ἐμαυτοῦ βοηθῶ κατὰ τὸν ὅρκον καὶ τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πᾶσιν οἷς δύναμαι, καὶ τὴν πόλιν τὴν ἡμετέραν τὰ πρὸς τοὺς θεοὺς ἀφοσιῶ· ὑμεῖς δ' ὑπὲρ ὑμῶν αὐτῶν ἤδη βουλεύεσθε. ἐνῆρκται μὲν τὰ κανᾶ, παρέστηκε δὲ τοῖς βωμοῖς τὰ θύματα, μέλλετε δ' αἰτεῖν τοὺς θεοὺς τἀγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ. 121. σκοπεῖτε δή, ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι τὰς ἱκεσίας ποιήσεσθε, τούτους παρέντες ἀτιμωρήτους τοὺς

120. *οἷς δύναμαι*] Forsitan alicui blandius videatur, quod offerunt quattuor Bekkeri codices, *οἷς ἂν δύνωμαι*. Sed indicativus fortius certum consilium exprimit, a quo se nulla vi abstrahi patiatur.

*βουλεύεσθε*] Sic Helmst. et novem Bekkeri codices pro vulgato *βουλεύσασθε*. Præsens curam et severitatem deliberationis aptius exprimit.

121. *σκοπεῖτε δή*] Multi libri habent *σκοπεῖτε δέ*. Forsitan optimum fuerit utraque lectione juncta scribere *σκοπεῖτε δὲ δή*, ut et oppositio deliberationis et exhortatio loquentis conjungatur.

*ἱκεσίας*] Tres Bekkeri codices habent *ἱκετείας*, et quartus, qui habet *οἰκετείας*, aperte idem voluit. Inter tres formas jam antiqui fluctuarunt. Forma *ἱκετεία* descendit a verbo *ἱκετεύω*, ut abstracta multa derivantur a verbis in *εύω*, eaque forma præsertim veteres Atticos locupletes habet auctores (vide *Lobeck.* ad Phryn. p. 504.) Ἱκεσία paullo post cœpit esse in usu, quod Grammatici derivant ab *ἱκέτης*, unde *ἱκετία* et *τροπῇ τοῦ τ εἰς σ ἱκεσία*, quemadmodum ex *εὐεργέτης* proprie *εὐεργετία*, ex usu autem *εὐεργεσία* descendit. Vide *Lobeck.* l. l.

120. *ἀφοσιῶ*] *Harpocration: ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφαγνίζω. Αἰσχίνης κατὰ Κτησιφῶντος.* Cf. *Ast* ad Platonem de Legg. VI. 1.

*ἐνῆρκται μὲν τὰ κανᾶ*] Valesius in Harpocrat. legendum opinatur *ἐνῆρται* vel *ἐπῆρται*, adductus versu *Aristoph.* Avv. 851. *παῖ, παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.* Ut *ἐνῆρται* aut *ἐπῆρται*, si ab omnibus codicibus offerretur, tolerandum foret, ita minime *ἐνῆρκται* contra MSS. rejici debet. Est enim *ἐνάρχεσθαι* verbum proprium de initiatione sacrorum, et sæpius vocabulo *κανοῦν* adjectum est. *Eurip.* El. 1141. *κανοῦν ἐνῆρκται.* Adde Iphig. Aul. 1471. Quid? quod Latini etiam *inchoare* sic usurpant. *Virgil.* Æn. VI. 252. *Tum Stygio regi nocturnas inchoat aras.* ubi Servius monet *inchoare* verbum sacrorum esse. Tuetur hoc etiam *Pollux* VIII. 83.

121. *ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι*] Coacervatio hæc signorum ut ad augendam notionem, ita non temere instituta est. Mens et mentis habitus magnam vim habet in vocem, tum in verba, tum in soni affectum. Ποίοις ὄμμασι explicatur per *τίνα τόλμαν κτησάμενοι.* Unde quis tantam arripiat audaciam, ut sacrificio adstare possit rectis oculis tanquam homo nullius sibi culpæ conscius?

ἐναγεῖς καὶ ταῖς ἀραῖς ἐνόχους· οὐ γὰρ δι᾽ αἰνιγμάτων, ἀλλ᾽ ἐναργῶς γέγραπται ἐν τῇ ἀρᾷ κατά τε τῶν ἀσεβησάντων, ἃ χρὴ παθεῖν αὐτούς, καὶ κατὰ τῶν ἐπιτρεψάντων, καὶ τελευταῖον ἐν τῇ ἀρᾷ γέγραπται, "μηδ᾽ ὁσίως θύσαιεν οἱ μὴ τιμωροῦντες," φησί, "τῷ Ἀπόλλωνι, μηδὲ τῇ Ἀρτέμιδι, μηδὲ τῇ Λητοῖ, μηδ᾽ Ἀθηνᾷ Προνοίᾳ, μηδὲ δέξαιντο αὐτῶν τὰ ἱερά." 122. τοιαῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ διεξελθόντος ἐμοῦ, ἐπειδή ποτε ἀπηλλάγην καὶ μετέστην ἐκ τοῦ συνεδρίου, κραυγὴ πολλὴ καὶ θόρυβος ἦν τῶν Ἀμφικτυόνων, καὶ ὁ λόγος ἦν οὐκέτι περὶ τῶν ἀσπίδων, ἃς ἡμεῖς ἀνέθεμεν, ἀλλ᾽ ἤδη περὶ τῆς τῶν Ἀμφισσέων τιμωρίας. ἤδη δὲ πόῤῥω τῆς ἡμέρας οὔσης, προσελθὼν ὁ κῆρυξ ἀνεῖπε, Δελφῶν ὅσοι ἐπὶ διετὲς ἡβῶσι, καὶ δούλους καὶ ἐλευθέρους, ἥκειν ἅμα τῇ ἡμέρᾳ ἔχοντας ἄμας καὶ δικέλλας πρὸς τὸ θυτεῖον ἐκεῖ καλούμενον· καὶ πάλιν ὁ αὐτὸς κῆρυξ ἀνηγόρευε τοὺς ἱερομνήμονας καὶ πυλαγόρους ἥκειν εἰς τὸν αὐτὸν τόπον βοηθήσοντας τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ· "ἥτις δ᾽ ἂν μὴ παρῇ πόλις, εἴρξεται τοῦ ἱεροῦ, καὶ ἐναγὴς ἔσται καὶ τῇ ἀρᾷ ἔνοχος." 123. τῇ δὲ

*δι᾽ αἰνιγμάτων*] Tres codices *δι᾽ αἰνιγμῶν*: nec negari potest genitivum hunc *δι᾽ αἰνιγμῶν* apud optimos scriptores inveniri, quanquam singularis *αἰνιγμός* aut alius inde derivatus casus apud antiquiores non legatur. *Aristoph.* Ran. 61. *ὅμως γε μέντοι σοι δι᾽ αἰνιγμῶν ἐρῶ*: ubi *Berglerus* complura utriusque genitivi formæ exempla habet.

122. *ἄμας*] Spiritum lenem huic vocabulo dedi pro aspero. Sic scribunt Grammaticorum optimi, et quæ cognata esse possunt, per spiritum lenem scribuntur.

122. *τοιαῦτα—διεξελθόντος ἐμοῦ*] Reiske conjecit *ταῦτα*, quo non opus. Solent enim Græci oratione alicujus relata et absoluta transitum facere vel ita: *τοσαῦτα εἰπών*, ut *Thuc.* II. 72, vel *τοιαῦτα εἰπών*, ut ibid. 74. Nec vero vel numeri vel qualitatis notio premenda; sed idem fere est quod *ταῦτα*: quanquam hoc loco significare possit *tam gravia.*

*μετέστην ἐκ τοῦ συνεδρίου*] Videtur moris fuisse, ut qui fecerat ipse rogationem discederet, ut liberum esset reliquorum consilium.

*πόῤῥω τῆς ἡμέρας οὔσης*] *Πόῤῥω* quum de tempore dicitur, indicat majorem vel maximam ejus temporis, quod nominatur, partem effluxisse. *Πόῤῥω τῆς ἡμέρας οὔσης* est *quum vespera fieret*. *Plato* Apol. *ὁρᾶτε γὰρ εἰς τὴν ἡλικίαν, ὡς πόῤῥω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς.*

*ὅσοι ἐπὶ διετὲς ἡβῶσι*] Harpocration recte refutat Didymum, qui affirmabat locutionem Æschinis significare: *ἐὰν ἑκκαίδεκα ἐτῶν γένωνται*; ipse autem vere monet *ἐφήβους* dici apud Athenienses eos, qui annum octavum et decimum attigerint, *καὶ μένειν ἐν τοῖς ἐφήβοις δύο ἔτη*. Ὁ *ἐπὶ διετὲς ἡβῶν* est *viginti annos natus.* Apparet id etiam ex *Demosthenis* Κατὰ Στεφ. ψευδομαρτυρ. p. 1135. coll. *Sluiteri* Lectt. Andocidd. p. 86. ss.

*θυτεῖον*] Vocabulum derivatur a *θύω* et significat locum, ubi fiunt sacra, *templum.* Non opinor de *πόλει τῆς Αἰτωλίας* sermonem esse posse, quam Harpocration s. v. *Θύστιον* ab Atticis scriptam se invenisse *Θύτειον* testatur.

*ἥτις δ᾽ ἂν μὴ παρῇ πόλις*] *Cujus civitatis Amphictyoniæ Pylagoræ et Hieromnemones non adsint.* Hoc videtur quasi *προβούλευμα* fuisse senatus, cujus sanctio a singulis civitatibus petenda erat.

*εἴρξεται τοῦ ἱεροῦ*] Fortis mutatio orationis obliquæ in rectam, quum in hoc

ὑστεραίᾳ ἥκομεν ἕωθεν εἰς τὸν προειρημένον τόπον, καὶ κατέβημεν εἰς τὸ Κιῤῥαῖον πεδίον, καὶ τὸν λιμένα κατασκάψαντες καὶ τὰς οἰκίας ἐμπρήσαντες ἀνεχωροῦμεν. ταῦτα δὲ ἡμῶν πραττόντων, οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς, ἑξήκοντα στάδια ἄποθεν οἰκοῦντες Δελφῶν, ἧκον ἐφ' ἡμᾶς μεθ' ὅπλων πανδημεί· καὶ εἰ μὴ δρόμῳ μόλις ἐξεφύγομεν εἰς Δελφούς, ἐκινδυνεύσαμεν ἂν ἀπολέσθαι. 124. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ Κόττυφος, ὁ τὰς γνώμας ἐπιψηφίζων, ἐκκλησίαν ἐποίει τῶν Ἀμφικτυόνων· ἐκκλησίαν γὰρ ὀνομάζουσιν, ὅταν τις μὴ μόνον τοὺς πυλαγόρους καὶ τοὺς ἱερομνήμονας συγκαλέσῃ, ἀλλὰ καὶ τοὺς συνθύοντας καὶ χρωμένους τῷ θεῷ. ἐνταῦθ' ἤδη πολλαὶ μὲν τῶν Ἀμφισσέων ἐγίγνοντο κατηγορίαι, πολὺς δ' ἔπαινος ἦν κατὰ τῆς ἡμετέρας πόλεως· τέλος δὲ παντὸς τοῦ λόγου ψηφίζονται ἥκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης πυλαίας ἐν ῥητῷ χρόνῳ εἰς Πύλας, ἔχοντας δόγμα. καθ' ὅ τι δίκας δώσουσιν οἱ Ἀμφισσεῖς ὑπὲρ ὧν εἰς τὸν θεὸν καὶ τὴν γῆν τὴν ἱερὰν καὶ τοὺς Ἀμφικτύονας ἐξήμαρτον. ὅτι δὲ ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ψήφισμα.

## ΨΗΦΙΣΜΑ.

125. Τοῦ δόγματος οὖν τούτου ἀποδοθέντος ὑφ' ἡμῶν

123. πανδημεί] Inter πανδημεί et πανδημί fluctuant plerisque locis MSS. Vide ad *Poll.* VI. 162. Caussam disceptat *Lobeck.* ad Phryn. p. 515. Hic quattuor codices habent πανδημί.

124. δίκας δώσουσιν] Bekkerus ex tribus codicibus ejusdem familiæ dedit δίκην δώσουσιν. Quum ego monuissem in hac phrasi me hyperbolicum pluralem nusquam animadvertisse, me in viam reduxit Casparus noster Orellius, de discrimine admonens inter δίκην διδόναι, *pœnas dare* (*To put oneself under the laws of justice*), et δίκας διδόναι, *judicibus rem disceptandam ac dijudicandam permittere*, ut apud *Thucyd.* I. 28. οἱ Κερκυραῖοι δίκας ἤθελον δοῦναι ἐν Πελοποννήσῳ παρὰ πόλεσιν, αἷς ἂν ἀμφότεροι ξυμβῶσι, ubi Scholiastes ἐπιτρέψαι δικαστηρίῳ καὶ κριθῆναι ἐβούλοντο. Legitur item in fœdere, ut nostro loco, apud *Thucyd.* V. 79. ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις δίκας διδόντας κατὰ τὰ πάτρια.

membro maximum insit, quod terreat, momentum. [Nota futurum med. significatione passiva usurpatum, quod multis exemplis comprobavimus in Gr. Gr. § 114. Not. 1. V. C. F. R.]

124. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ] *Phrynich.* p. 464. τῇ ἐπιούσῃ ἐρεῖς, μὴ προστιθεὶς ἡμέραν· τῆς δὲ ἐπιούσης ἡμέρας: quod præceptum præceps esse satis docuit Lobeckius.

ἐκκλησίαν] Sacrificia quovis Amphictyonum conventu acta fuisse et multi ceterum loci testantur et antiqui mores, si testimonia deficerent, per se id redderent probabile. Eos, qui sacrificiis aderant permulti homines, quasi civitatum Amphictyonicarum nomine ad deliberandum invitatos fuisse, fidem facile inveniet. Rem satis exposuit *Fr. Guil. Tittmann.* in libello: *über den Bund der Amphiktyonen.* Cap. IV. et V.

125. ὑφ' ἡμῶν] Intelligit eos, qui nomine Amphictyonum consilio adfuerant. Hinc MS. Stephani ex glossa πυλαγορῶν.

τῇ βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ τῷ δήμῳ, καὶ τὰς πράξεις ἡμῶν ἀποδεξαμένου τοῦ δήμου, καὶ τῆς πόλεως πάσης προαιρουμένης εὐσεβεῖν, καὶ Δημοσθένους ὑπὲρ τοῦ μεσεγγυήματος τοῦ ἐξ Ἀμφίσσης ἀντιλέγοντος, καὶ ἐμοῦ φανερῶς ἐναντίον ὑμῶν ἐξελέγχοντος, ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν πόλιν ἄνθρωπος οὐκ ἠδύνατο σφῆλαι, εἰσελθὼν εἰς τὸ βουλευτήριον καὶ μεταστησάμενος τοὺς ἰδιώτας ἐκφέρεται προβούλευμα εἰς τὴν ἐκκλησίαν, προσλαβὼν τὴν τοῦ γράψαντος ἀπειρίαν· 126. τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ ἐκκλησίᾳ διεπράξατο ἐπιψηφισθῆναι καὶ γενέσθαι δήμου ψήφισμα, ἤδη ἐπαναστάσης τῆς ἐκκλησίας, ἀπεληλυθότος ἐμοῦ, οὐ γὰρ ἄν ποτε ἐπέτρεψα, καὶ τῶν πολλῶν διαφειμένων· οὗ τὸ κεφάλαιόν ἐστι "τὸν δὲ ἱερομνήμονα" φησὶ "τῶν Ἀθηναίων καὶ τοὺς πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας πορεύεσθαι εἰς Πύλας καὶ εἰς Δελφοὺς ἐν τοῖς τεταγμένοις χρόνοις ὑπὸ τῶν προγόνων," εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς· κωλύει γὰρ εἰς τὸν σύλλογον τὸν ἐν Πύλαις ἀπαντᾶν, ὃς ἐξ ἀνάγκης πρὸ τοῦ καθήκοντος ἔμελλε χρόνου γίγνεσθαι. 127. καὶ πάλιν ἐν

125. ἄνθρωπος] Marklandus conjicit ὁ ἄνθρωπος, et hodieque sunt viri, qui in hujusmodi nexu ubique saltem scribant ἅνθρωπος. Quum Marklandus in nostro scriptore sæpissime articulum addendum conjiceret, aliquando *Reiskius:* "Dedecet, exclamat, in his minutiis labi. Quoties hoc ingerit Marklandus, ignorans Atticos ad vocabula ἄνθρωπος, ἀνήρ et alia quædam talia solere articulum omittere, quem eorum morem debebat eum auctorum Atticorum usus docere; poterat certe." Quæ quanquam subtilius disceptari possunt, re tamen sunt vera et lætor viros doctos tandem redire ab argutiis, quæ adolescentulos decent. Cf. *Buttmanni ausführl. griech. Grammatik* T. I. p. 120. Not.

126. ἐπαναστάσης τῆς ἐκκλησίας] *Wunderlich.* ex MSS. Mori ἐπ' ἀναστάσει τῆς ἐκκλησίας, quocum faciunt tres Bekkeri codices ejusdem familiæ. Sed ἀνάστασις de dimissione concionis non inveni, nec ἐπανίσταται de concione videtur rejiciendum, quanquam ἀνίστασθαι plerumque ponatur. Cf. *Pollux* III. 91. Neque asyndeton me offendit, quum in appositione vis primaria insit.

διαφειμένων] Recte sic Bekkerus ex optimis MSS. jam in Halensi editione dederat pro vulgato δὲ ἀφειμένων.

τῇ βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ τῷ δήμῳ] Taylor ἐν τῇ ἐκκλησίᾳ ex margine irrepsisse opinatur, ut scilicet oppositiones accurate sibi respondeant. Nos jam sæpius annotavimus antiquos in oppositionibus non diligentissimos esse solere; et in simili caussa majorem etiam abundantiam habuimus supra § 34. ἐν τῷ δήμῳ ἐν Πυκνὶ τῇ ἐκκλησίᾳ.

126. τῶν πολλῶν διαφειμένων] Callide verbo studet decipere. Fit etiam hodie sæpe in concionibus, ut sub concionis finem, ejus præsertim, quæ diu duraverit, homines tædeat moræ, singulique dilabantur. Tum festinatur et itur in suffragia super re parum cognita, et multi nesciunt, de qua re et in quam partem suffragia tulerint. Sic in ea concione, de qua loquitur Æschines. Surgebant homines, Æschines jam reliquerat forum, item multi ante et post eum. Nondum autem concio dimissa erat, sed plurimi sua sponte discesserant; qui autem remanserant, quanquam numero inferiores, tamen concionem agebant ejusque habebant auctoritatem.

τῷ αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ πικρότερον σύγγραμμα γράφει, "τὸν ἱερομνήμονα" φησὶ "τῶν Ἀθηναίων καὶ τοὺς πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας μὴ μετέχειν τοῖς ἐκεῖσε συλλεγομένοις μήτε λόγων, μήτε ἔργων, μήτε δογμάτων, μήτε πράξεως μηδεμιᾶς." τὸ δὲ μὴ μετέχειν τί ἐστι; πότερα τἀληθὲς εἴπω, ἢ τὸ ἥδιστον ἀκοῦσαι; τἀληθὲς ἐρῶ· τὸ γὰρ ἀεὶ πρὸς ἡδονὴν λεγόμενον οὑτωσὶ τὴν πόλιν διατέθεικεν. οὐκ ἐᾷ μεμνῆσθαι τῶν ὅρκων, οὓς ἡμῶν οἱ πρόγονοι ὤμοσαν, οὐδὲ τῆς ἀρᾶς, οὐδὲ τῆς τοῦ θεοῦ μαντείας.

128. Ἡμεῖς μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, κατεμείναμεν διὰ τοῦτο τὸ ψήφισμα, οἱ δ' ἄλλοι Ἀμφικτύονες συνελέγησαν εἰς Πύλας πλὴν μιᾶς πόλεως, ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα εἴποιμι, μήθ' αἱ συμφοραὶ παραπλήσιοι γένοιντο αὐτῆς μηδενὶ τῶν Ἑλλήνων. καὶ συνελθόντες ἐψηφίσαντο ἐπιστρατεύειν ἐπὶ τοὺς Ἀμφισσέας, καὶ στρατηγὸν εἵλοντο Κόττυφον τὸν Φαρσάλιον, τὸν τότε τὰς γνώμας ἐπιψηφίζοντα, οὐκ ἐπιδημοῦντος ἐν Μακεδονίᾳ Φιλίππου, ἀλλ' οὐδ' ἐν τῇ Ἑλλάδι

*τοὺς ἀεὶ πυλαγοροῦντας*] Hoc habent codices omnes Bekkeri, præter tres pro vulgato *εἰσαεί*: quod quanquam sit rarum, satis se tuetur auctoritate *Sophocl.* Aj. 342. Sed hic plurimis et optimis codicibus obsequendum erat. Ceterum hoc *ἀεί* significat *ἑκάστοτε*, ut sæpe; neque vero ex hoc loco concludi potest munus *πυλαγόρων* per omne vitæ tempus datum fuisse, quod de *ἱερομνήμονος* munere testatur *Scholiastes* Aristoph. Nubb. 620. Sensus enim nostri loci est: qui singulis Amphictyonum conventibus Pylagorarum munere fungantur.

127. *τοῖς ἐκεῖσε συλλεγομένοις*] Ἐκεῖσε habent quattuor Bekkeri codices ejusdem quidem familiæ pro vulgato *ἐκεῖ*. Græci sæpe præpositionibus vel adverbiis motum in locum significantibus utuntur, ubi recentiores linguæ præpositionem vel adverbium quietem indicans ponunt. Antiqui autem duas notiones conjungunt; in præpositione inest significatio motus, in verbo significatio quietis. § 128. *συνελέγησαν εἰς Πύλας*. Sic etiam *καθίζεσθαι εἰς τόπον*: de quo accurate exposuit *Buttmannus* in Ind. orationis Mid. s. v. Adde *Jacobs* ad Achill. Tat. Animadvv. p. 843. [*Hermann.* ad Soph. Ajac. v. 80. p. 19.]

*μήτε λόγων*] Sic Helmst. et tres Bekkeri codices pro vulgato *μὴ λόγων*. Simplex negatio additur verbo *μὴ μετέχειν*, ut appareat enuntiationem esse negativam; singulæ disjunctivæ singulis substantivis, quæ pendent ex verbo.

127. *οὑτωσί*] Hoc vocabulum sæpe ex contextu definiri, imprimis in malam partem, monuimus ad Lysiam acc. Alc. § 2. Hic significat *οὕτω κακῶς*.

128. *πλὴν μιᾶς πόλεως*] Thebas intelligit, quæ, archonte Evæneto, Ol. CXI. 2. ab Alexandro, Macedonum rege, eversæ sunt.

*οὔτε—μήτε*] Prius *οὔτε* cum optativo et *ἄν* de re, quam se facturum esse negat, *μήτε* cum simplice optativo de re, quam ne fiat optat. Cf. Demosthenica nostra p. 94. s.

*Κόττυφον τὸν Φαρσάλιον*] *Demosthenes* Περὶ Στεφ. p. 279. cum appellat *Κόττυφον τὸν Ἀρκάδα*. Natus ille forsitan erat in Arcadia, postero vero tempore domicilium constituit Pharsali in Thessalia. *Hemsterhusius* autem ad Lucian. Jud. Voc. 8. judicat nomen ipsum *Κόττυφον* eo ducere, ut homo fuerit Arcas: quod in Cyllene, Arcadiæ monte, singulare genus avium, quæ *κόττυφοι* appellabantur, inventum fuerit.

παρόντος, ἀλλ' ἐν Σκύθαις οὕτω μακρὰν ἀπόντος· ὃν αὐτίκα μάλα τολμήσει λέγειν Δημοσθένης ὡς ἐγὼ ἐπὶ τοὺς Ἕλληνας ἐπήγαγον. 129. καὶ παρελθόντες τῇ πρώτῃ στρατείᾳ καὶ μάλα μετρίως ἐχρήσαντο τοῖς Ἀμφισσεῦσιν· ἀντὶ γὰρ τῶν μεγίστων ἀδικημάτων χρήμασιν αὐτοὺς ἐζημίωσαν, καὶ ταῦτ' ἐν ῥητῷ χρόνῳ προεῖπον τῷ θεῷ καταθεῖναι, καὶ τοὺς μὲν ἐναγεῖς καὶ τῶν πεπραγμένων αἰτίους μετεστήσαντο, τοὺς δὲ δι' εὐσέβειαν φυγόντας κατήγαγον. ἐπειδὴ δὲ οὔτε τὰ χρήματα ἐξέτινον τῷ θεῷ, τούς τ' ἐναγεῖς κατήγαγον καὶ τοὺς εὐσεβεῖς κατελθόντας διὰ τῶν Ἀμφικτυόνων ἐξέβαλον, οὕτως ἤδη τὴν δευτέραν ἐπὶ τοὺς Ἀμφισσέας στρατείαν ἐποιήσαντο, πολλῷ χρόνῳ ὕστερον, ἐπανεληλυθότος Φιλίππου ἐκ τῆς ἐπὶ τοὺς Σκύθας στρατείας, τῶν μὲν θεῶν τὴν ἡγεμονίαν τῆς εὐσεβείας ἡμῖν παραδεδωκότων, τῆς δὲ Δημοσθένους δωροδοκίας ἐμποδὼν γεγενημένης.

130. Ἀλλ' οὐ προὔλεγον, οὐ προεσήμαινον ἡμῖν οἱ θεοὶ φυλάξασθαι, μόνον γε οὐκ ἀνθρώπων φωνὰς προηκάμενοι; οὐδεμίαν τοι πώποτε ἔγωγε μᾶλλον πόλιν ἑώρακα ὑπὸ μὲν τῶν θεῶν σωζομένην, ὑπὸ δὲ τῶν ῥητόρων ἐνίων ἀπολλυμένην. οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν σημεῖον φυλάξασθαι, ἡ τῶν μυστῶν τελευτή; οὐ περὶ τούτων Ἀμεινιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι καὶ πέμπειν εἰς Δελφοὺς ἐπερησομένους τὸν θεὸν ὅ τι χρὴ πράττειν, Δημοσθένης δὲ ἀντέλεγε,

130. φωνὰς προηκάμενοι] Sic Bern. et Bekkerus in editione Hal. Vulgo προσκτησάμενοι. Composita ex ἱέναι, præsertim ἀφιέναι, de voce sunt propria. Hoc autem loco προηκάμενοι aptissimum. Quanquam vero aoristus medii rarior sit, offensionem habere non potest. Cf. *Buttmanni Ausführl. Griech. Sprachlehre* T. I. p. 542. Similis locus apud *Demosthenem*, p. 9. ὁ μὲν οὖν παρὼν καιρὸς—μόνον οὐχὶ λέγει φωνὴν ἀφιεὶς, ὅτι cet.

129. καὶ μάλα μετρίως ἐχρήσαντο τοῖς Ἀμφισσεῦσι] *Admodum lenes, mites se præbuerunt erga Amphissenses.*

μετεστήσαντο] Μεταστήσασθαι, oppositum τῷ τὸν φυγόντα κατάγειν, est *in exilium mittere. Demosth.* Κατὰ Ἀριστογείτ. B. p. 802. Ἀριστείδην μὲν γάρ φασιν ὑπὸ τῶν προγόνων μετασταθέντα ἐν Αἰγίνῃ διατρίβειν.

πολλῷ χρόνῳ ὕστερον] Oratio hyperbolica eo oratoris consilio nata, ut ne ipse videretur Philippum in Græciam vocare voluisse. Hinc rem ita exponit, quasi altera in Amphissenses expeditio longo tempore post primam, cui interfuit Æschines, locum habuerit. Sed utraque fere conjuncta censenda, aut una nonnisi, ut patet ex iis, quæ habet *Weiske* de Hyperb. P. III. p. 23.

130. ἡ τῶν μυστῶν τελευτή] Repentina initiatorum mors, quæ, ut fieri solet, iræ divinæ tribuebatur. Scholiastes: λέγει δὲ ἐκεῖνο τὸ τέρας, ὅτι, κατελθόντων τῶν μυστῶν ἐπὶ τὴν θάλατταν ἐπὶ τὸ καθαρθῆναι, ἥρπασεν ἕνα τὸ κῆτος. πληθυντικῶς δὲ εἶπε, δέον ἑνικῶς. οἱ δὲ λέγουσιν, ὅτι δύο ἔφαγεν.

φιλιππίζειν τὴν Πυθίαν φάσκων, ἀπαίδευτος ὢν καὶ ἀπολαύων καὶ ἐμπιπλάμενος τῆς διδομένης ὑφ' ὑμῶν αὐτῷ 'ξουσίας; 131. οὐ τὸ τελευταῖον, ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν, ἐξέπεμψε τοὺς στρατιώτας ἐπὶ τὸν πρόδηλον κίνδυνον; καίτοι γε πρώην ἀπετόλμησε λέγειν, ὅτι παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν ἡμῶν εἰς τὴν χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά. τίνος οὖν εἶ σὺ ζημίας ἄξιος τυχεῖν, ὦ τῆς Ἑλλάδος ἀλιτήριε; εἰ γὰρ ὁ μὲν κρατῶν οὐκ ἦλθεν εἰς τὴν τῶν κρατουμένων χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά, σὺ δ' οὐδὲν προειδὼς τῶν μελλόντων ἔσεσθαι, πρὶν καλλιερῆσαι, τοὺς στρατιώτας ἐξέπεμψας. πότερα στεφανοῦσθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις, ἢ ὑπερωρίσθαι;

132. Τοιγάρτοι τί τῶν ἀνελπίστων καὶ ἀπροσδοκήτων ἐφ'

131. ὑπερωρίσθαι] Sic Bekkeri codices omnes, duobus exceptis, quod multo significantius est, quam quod vulgo legitur ὑπερορίζεσθαι. Præteritum enim significat rem oportuisse jam esse factam. Vid. Demosthenica nostra, p. 68. *Buttmannus* ad Mid. § 29. p. 63.

φιλιππίζειν] Verbum hoc a proprio *viri* nomine ductum rarum est in suo genere, nec simile se legisse præter Κυψελλίζειν in Theogn. v. 890. testatur *Valcken.* Orat. de Philippo p. 255. not.; a *gentibus* enim ducta, qualia dantur multa, ab his esse diversa; sed ad illud efficta dare Macedonum historiam recentiorem: Κασσανδρίζειν, Ἀντιγονίζειν, Σελευκίζειν. Quod autem addit, illud verbum frustra quæsitum esse in orationibus Demosthenis, id non ita intelligi potest, quasi nusquam in Demosthene legatur. Nam Περὶ Στεφ. p. 287. legitur μιᾷ γνώμῃ φιλιππίσαντας. Ὑνδ. Κατὰ Θεοκρ. p. 1334. οἱ μὲν ἐφιλίππιζον, οἱ δὲ ἠττίκιζον.

ἀπολαύων καὶ ἐμπιπλάμενος] Tropus ab *edendo* sumptus. Ἀπολαύειν is dicitur, qui cibo fruitur, tantum quantum decet probum et modestum hominem; ἐμπίπλασθαι est plus quam decet edere. Ἀπαίδευτος h. l. dicitur de impietate in deum ejusque sacerdotem.

131. τὸ τελευταῖον] Significat infelicem pugnam ad Chæroneam, quæ, ut Justini verbis utar IX. 3, universæ Græciæ et gloriam dominationis et vetustissimam libertatem finivit. Ea accidit Archonte Chæronda Ol. CX. 3.

ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν] Ἀκαλλιέρητον ἱερόν est, quod Latini dicunt, *sacrum non litatum*, diis ingratum. Idem est ἱερὸν ἄθυτον; ᾱ privativum enim hic habet significationem τοῦ οὐκ. Cf. *Hemsterhus.* ad Aristoph. Plut. v. 968. Schol. Synonyma autem sunt juncta ad augendam notionem.

παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν εἰς τὴν χώραν] Nempe post pugnam Chæronensem Athenienses timebant, ne Athenas invaderet et deleret Philippus. Quod quum non fieret, Æschines Demostheni haud dubie contra veritatem objicit, hunc hoc non Philippi moderationi, sed sacrificiis non litatis tribuisse. De Philippi victoris moderatione bene disputavit *A. G. Becker* in libro: Demosthenes *als Staatsmann und Redner.* Vol. I. p. 99.

τῆς Ἑλλάδος ἀλιτήριε] Ἀλιτηρίους dicebant grandi aliquo scelere impiatos et ideo ira divina exagitatos huc illuc vagantes.—Si qui in deos et religionum cærimonias commiserant, dicebantur θεῶν ἀλιτήριοι, et nomina eorum pilis inscribebantur, ut undique arcerentur neque alios præsentia sua contaminarent. Τῆς πόλεως ἀλιτήριοι sunt nefarii in civitatem, quorum quum esset saluti civitatis consulere, perniciem ei parant. Apud *Dinarch.* Κατὰ Δημοσθ. p. 55. R. legitur τὸν τῆς Ἑλλάδος ὄλεθρον, ubi nunc ex codd. dedit Bekkerus ἀλιτήριον.

132. ἐφ' ἡμῶν] *Nostra ætate.* Ἐπί cum genitivo interdum temporis est.

ἡμῶν οὐ γέγονεν; οὐ γὰρ βίον γε ἡμεῖς ἀνθρώπινον βεβιώκαμεν, ἀλλ' εἰς παραδοξολογίαν τοῖς ἐσομένοις μεθ' ἡμᾶς ἔφυμεν. οὐχ ὁ μὲν τῶν Περσῶν βασιλεύς, ὁ τὸν Ἄθω διορύξας, ὁ τὸν Ἑλλήσποντον ζεύξας, ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν, ὁ τολμῶν ἐν ταῖς ἐπιστολαῖς γράφειν, ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ' ἡλίου ἀνιόντος μέχρι δυομένου, νῦν οὐ περὶ τοῦ κύριος ἑτέρων εἶναι διαγωνίζεται, ἀλλ' ἤδη περὶ τῆς τοῦ σώματος σωτηρίας; καὶ τοὺς αὐτοὺς ὁρῶμεν τῆς τε δόξης ταύτης καὶ τῆς ἐπὶ τὸν Πέρσην ἡγεμονίας ἠξιωμένους, οἳ καὶ τὸ ἐν Δελφοῖς ἱερὸν ἠλευθέρωσαν;
133. Θῆβαι δέ, Θῆβαι, πόλις ἀστυγείτων, μεθ' ἡμέραν μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, εἰ καὶ δικαίως,

132. τὸν Ἄθω] Bekkerus dedit Ἄθων ex uno codice. Sed apud Atticos scriptores ubique inveni optimos codices Ἄθω præferentes. Apud Herodotum variant. Cf. *Wasse* ad Thucyd. V. 3.

133. Θῆβαι δέ, Θῆβαι] Secundum Θῆβαι addidit Reiskius ex Mor., quocum faciunt novem Bekkeri codices, et auctoritatem hæc lectio accipit ex *Demetrio* Περὶ Ἑρμηνείας § 267. Schneid., ubi legitur in exemplum ἀναδιπλώσεως: Θῆβαι δέ, Θῆβαι, πόλις ἀστυγείτων, ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται. Διλογηθὲν γὰρ τὸ ὄνομα δεινότητα ποιεῖ. *Agatharchides* de rubro mari p. 20 ed. Huds. pro ἀνήρπασται habet ἠφάνισται, quod in suo MS. invenisse videtur. Sed per ἀνήρπασται celeritas excidii fortius exprimitur. Quæ sub Dinarchi nomine fertur oratio Κατὰ Δημοσθ. p. 17. itidem Thebarum urbem respiciens: πόλις ἀστυγειτόνων καὶ συμμάχων ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται. ἀροῦται καὶ σπείρεται τὸ Θηβαίων ἄστυ, τῶν κοινωνησάντων ἡμῖν τοῦ πρὸς Φίλιππον πολέμου: ubi notanda variatio a nostro loco per genitivum ἀστυγειτόνων, qui legitur etiam hic in tribus codicibus. Sed quum nomen urbis ipsum præcedat, adjectivum ἀστυγείτων melius additur substantivo πόλις, quam genitivus incolarum. Atque in Dinarchi loco 1. § 24. Bekkerus scripsit ex suis libris πόλις ἀστυγείτων καὶ σύμμαχος κ. τ. λ.—Ceterum neminem, opinor, hodie offendet βουλευσάμενοι — κτησάμενοι, quanquam cetera sequantur constructionem substantivi πόλις: quæ constructio frequens imprimis apud historicos.

βίον—ἀνθρώπινον] Vitam, qualis solet esse hominum, erroribus scilicet et inde natis incommodis obnoxiam, sed talem, quæ stupore et furore sibi contraxit calamitatem. Hinc εἰς παραδοξολογίαν — ἔφυμεν: quæ egimus et passi sumus, incredibilia, monstrosa, portentosa posteris videbuntur.

ὁ τὸν Ἄθω διορύξας] Copias et potentiam Xerxis Græciam invadentis Græcos ὑπερβολικῶς expressisse nemo mirabitur. Humanum enim est in suis sibi rebus placere. Verum etiam historiæ scriptores narrant per copias Xerxis fossam esse ductam per montem Atho, quæ duas caperet triremes; atque qui nuperrimis temporibus locupletes testes iter conscripsere per Græciam, etiamnum fossæ vestigia exstare testantur, ut Choiseul-Gouffier Voyage pittoresque de la Grèce, T. II. P. I. p. 145. sqq.

ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν] Phrasis Herodotea, qua quis absolutum obsequium flagitat, ut alter durissimis se conditionibus subjiciat.

περὶ τῆς τοῦ σώματος σωτηρίας] Verum est ad sententiam satis futurum fuisse περὶ τοῦ σώματος, ut scribendum arbitrabatur Taylor; sed facile observabit attentus lector in utroque juncto majorem inesse vim. Non celandum tamen in margine Venetæ et Aldinæ Victorium adscripsisse εὐτυχίας idque pro σωτηρίας offerre tres Bekkeri codices, ut olim etiam grammaticos locum tentasse et notionem εὐτυχίας addendam censuisse videas.

*περὶ τῶν ὅλων οὐκ ὀρθῶς βουλευσάμενοι, ἀλλὰ τήν γε θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως, ἀλλὰ δαιμονίως κτησάμενοι. Λακεδαιμόνιοι δ' οἱ ταλαίπωροι, προσαψάμενοι μόνον τούτων τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν, οἱ τῶν Ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγεμόνες εἶναι, νῦν ὁμηρεύσοντες καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι, μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι, τοῦτο πεισόμενοι καὶ αὐτοὶ καὶ ἡ πατρίς, ὅ τι ἂν ἐκείνῳ δόξῃ, καὶ ἐν τῇ τοῦ κρατοῦντος καὶ προηδικημένου μετριότητι κριθησόμενοι.* 134. *ἡ δ' ἡμετέρα πόλις, ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο πρότερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι, κατὰ πόλεις ἕκαστοι παρ' ἡμῶν τὴν σωτηρίαν εὑρησόμενοι, νῦν οὐκέτι περὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται, ἀλλ' ἤδη περὶ τοῦ τῆς πατρίδος ἐδάφους. καὶ ταῦθ' ἡμῖν συμβέβηκεν ἐξ ὅτου Δημοσθένης πρὸς τὴν πολιτείαν προσελήλυθεν. εὖ γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς ἀποφαίνεται. λέγει γάρ που, παιδεύων τὰ πλήθη καὶ συμβουλεύων ταῖς*

133. *περὶ τῶν ὅλων οὐκ ὀρθῶς βουλευσάμενοι*] Τὰ ὅλα Græcis sæpe sunt res summæ, gravissimæ, quæ spectant reipublicæ salutem et felicitatem. Sententia nostri loci est: *quanquam parum Græciæ saluti consulerent.* Βουλεύεσθαι absolute *consilia capere*, ut interdum Latini dicunt *consulere.* Post Leuctricam pugnam nimium sibi arrogarunt Thebani.

*τήν γε θεοβλάβειαν*] Θεοβλάβεια h. l. tropicum explicatur per proprium vocabulum *ἀφροσύνη*: *summam* enim indicat *dementiam.* *Θεοὶ βλάπτειν φρένας ἀνθρώπων* dicuntur, quum mentes hominum occæcant, quo minus recta et salubria perspiciant et in agendo sequantur, immo qui, quum suis se commodis prospicere opinentur, ipsi in perniciem se præcipitent. Sententia est: *non humana stultitia laborasse Thebanos, sed divinitus vecordiam iis inflictam fuisse.*

*προσαψάμενοι* cet.] Quum Lacedæmoniis ab Amphictyonum senatu ob occupatam Cadmeam multa quingentorum, deinde, quod pecuniam non numeraverant, mille talentorum imposita esset, ob debitorum magnitudinem Phocensium partes sequebantur.

*ὁμηρεύσοντες*] *Harpocration*: *ὅμηροί εἰσιν οἱ ἐπὶ συμβάσει διδόμενοι.* Quod Valesius putat, *ὅμηρον obsidis* significatione sub Alexandrina demum tempora usurpari cœptum esse, virum doctissimum memoria in hac re fefellit. Nam *ὁμήρους δοῦναι* legitur jam apud *Thucydidem* I. 56, ubi Scholiastes *ὁμήρους* exponit *τοὺς ἕνεκα εἰρήνης διδομένους εἰς ἐνέχυρα. καὶ ὁμήρους δοῦναι, ἵνα, ἐὰν ἀποστῶσιν, εὐάλωτοι γένωνται.* Et sæpius apud eundem legitur, ut etiam apud Xenophontem aliosque.—Lacedæmonii autem, Alexandro absente in Asia, idoneum belli reparandi tempus se nactos arbitrati, Græcos ad ineundam pro libertate concordiam exhortantur. Peloponnesiorum plurimi in hanc militiam nomina profitentur. Antipater autem, præfectus Alexandri, cum universis copiis, quas secum habebat, in Peloponnesum movet, et commisso acri prœlio, Lacedæmonii tandem cedere coguntur. Accidit hoc Ol. CXII. 2.

134. *παιδεύων τὰ πλήθη*] Rarus est pluralis *τὰ πλήθη* de *populis*, de *democratiis.* Oppositionem facit cum plurali *τύραννοι* apud *Demosth.* Philipp. II. p. 71. *μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους.* Ad analogiam *τῶν δήμων*, qui sæpe ponuntur pro *ταῖς πόλεσι δημοκρατουμέναις* (conf. *F. A. Wolf.* ad Lept. p. 232.) dictum est.

πόλεσι τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προςδέχεσθαι. λέξω δὲ κἀγὼ τὰ ἔπη· 135. διὰ τοῦτο γὰρ οἶμαι ἡμᾶς παῖδας ὄντας τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν' ἄνδρες ὄντες αὐταῖς χρώμεθα.

Πολλάκι δὴ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μητιάαται.
τοῖσιν δ' οὐρανόθεν μέγα πῆμα δῶκε Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν, ἀποφθινύθουσι δὲ λαοί·
ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅ γε τεῖχος,
ἢ νῆας ἐνὶ πόντῳ τίννυται εὐρύοπα Ζεύς.

136. ἐὰν δέ, περιελόντες τοῦ ποιητοῦ τὸ μέτρον, τὰς γνώμας ἐξετάζητε, οἶμαι ὑμῖν δόξειν οὐ ποιήματα Ἡσιόδου εἶναι, ἀλλὰ χρησμὸν εἰς τὴν Δημοσθένους πολιτείαν· καὶ γὰρ ναυτικὴ καὶ πεζὴ στρατιὰ καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρπασμέναι ἐκ τῆς τούτου πολιτείας.

137. Ἀλλ', οἶμαι, οὔτε Φρυνώνδας, οὔτε Εὐρύβατος, οὔτ'

135. Πολλάκι δὴ] In Hesiodi editionibus, cujus ex Ἔργ. καὶ Ἡμ. v. 245. ss. hi versus desumti sunt, legitur πολλάκι καί, quæ lectio apud Æschinem ex uno tantum Bekkeri codice laudatur. Vulgares Æschinis editiones habent πολλάκι δέ, quod est in uno codice. Pro μέγα πῆμα δῶκε Κρονίων in Hesiodo et vulgaribus Æschinis editionibus est μέγ' ἐπήγαγε πῆμα Κρονίων, quod est in uno nonnisi Bekkeri codicum. Fortasse Æschinea lectio, quæ olim etiam Hesiodea erat, mutata est a grammatico, qui vitium censebat esse in versu, quum πῆμα spondei vicem habeat. Certe tres codices, ut aliquo modo huic vitio medeantur, scripserunt πῆμα ἔδωκε. Sed quum in eo loco insignem cæsuram longioremque pausam versus recipiat, in thesi spondaica quarti pedis heroici versus syllabam interdum esse ancipitem monuit *Hermann.* Ell. metr. p. 40. s. Post v. 4. inseruntur in Hesiodi editionibus hi duo versus:

οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἶκοι,
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου. ἄλλοτε δ' αὖτε

qui sunt etiam in uno Æschinis codice.—v. 5. ἢ ὅ γε τεῖχος. Articulus subjecti postremo loco additus et librarios et viros quosdam doctos offendit. Sed cum vi illum a poetis sic additum esse satis docuit Robortellus ad Hesiodum.—v. 6. sic legitur in Hesiodo: ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίννυται αὐτῶν. Hunc versum secundum codices facillime sic restitui posse judicat Rauchensteinius noster:

ἢ νέας ἐν πόντῳ ἀποτίνυται εὐρύοπα Ζεύς.

Saltem in Æschine, inquit, Κρονίδης interpolatum esse nemo negabit, qui codicum inspexerit lectiones; in Hesiodi autem ea recensione, qua nos utimur, Κρονίδης verum est. Victorius margini Venet. adscripsit

ἢ νῆας ἐνὶ πόντῳ τίννυται εὐρύοπα Ζεύς.

135. ἀπηύρα] De hoc vocabulo accurate egit *Buttmannus* Lexilog. Vol. I. 75. sqq. De ἀτάσθαλα vide *Heyne* Obsvv. ad Il. IV. 409.

137. οὔτε Φρυνώνδας, οὔτε Εὐρύβατος] Phrynondas ἦν κακοήθης καὶ πανοῦργος, μισθοῦ τινας μηχανὰς πραγμάτων ἐπὶ κακοῖς ῥᾳδίως συντιθείς. ἐκ τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦσι. Hæc *Suid.* s. v. *Harpocrat.* s. v. Εὐρυβάτην. Ἔφορος ἐν τῇ ὀγδόῃ Εὐρυβάτην φησὶν Ἐφέσιον λαβόντα χρήματα παρὰ Κροίσου, ὥςτε στρατείαν (l. στρατιὰν) συναπαγαγεῖν εἰς τὸν πόλεμον τὸν πρὸς τοὺς

ἄλλος οὐδεὶς πώποτε τῶν πάλαι πονηρῶν τοιοῦτος μάγος καὶ γόης ἐγένετο, ὅς, ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες καὶ ἄνθρωποι, ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ, τολμᾷ λέγειν βλέπων εἰς τὰ πρόσωπα τὰ ὑμέτερα, ὡς ἄρα Θηβαῖοι τὴν συμμαχίαν ὑμῖν ἐποιήσαντο οὐ διὰ τὸν καιρόν, οὐ διὰ τὸν φόβον τὸν περιστάντα αὐτούς, οὐ διὰ τὴν ὑμετέραν δόξαν, ἀλλὰ διὰ τὰς Δημοσθένους δημηγορίας. 138. καίτοι πολλὰς μὲν τούτου πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ μάλιστα οἰκείως ἐκείνοις διακείμενοι, πρῶτος μὲν Θρασύβουλος ὁ Κολλυτεύς, ἀνὴρ ἐν Θήβαις πιστευθεὶς ὡς οὐδεὶς ἕτερος, πάλιν Θράσων ὁ Ἐρχιεύς, πρόξενος ὢν Θηβαίοις, Λεωδάμας ὁ Ἀχαρνεύς, οὐχ ἧττον Δημοσθένους λέγειν δυνάμενος, ἀλλ' ἔμοιγε καὶ ἡδίων, 139. Ἀρχέδημος ὁ Πήληξ, καὶ δυνατὸς εἰπεῖν καὶ

§ 137. *οὐ διὰ τὴν ὑμετέραν δόξαν*] Sic duo Bekkeri codices pro vulgato *οὐδὲ διὰ* cet. Asyndeto oratio fit fortior, quam si omne asyndeton tollas, in antecedente membro cum Marklando scribens *οὐδὲ διὰ τὸν φόβον*.

138. *Θρασύβουλος*] Vulgo huic vocabulo præponuntur *οὗτος στρατηγός*. Omittunt quattuor boni codices additamentum librarii parum eruditi. Item in fine § post *ἡδίων . . . ῥήτωρ καὶ οὗτος* omissum auctoritate quattuor codicum, item § 139. *δημαγωγός* ante *Ἀριστοφῶν* et *ῥήτωρ* ante *Πύρρανδρος* octo codicum auctoritate.

*Πέρσας, εἶτα προδότην γενόμενον ἐγχειρίσαι τὰ δοθέντα χρήματα τῷ Κύρῳ· καὶ ἐντεῦθεν τοὺς πονηροὺς (προδότας) Εὐρυβάτας καλεῖσθαι.*

*μάγος καὶ γόης*] *Μάγος* proprie honoris nomen, sacerdotum nempe, sapientium et philosophorum in oriente, qui litterarum divinarum et humanarum studio, astrologiæ et artis medicæ, se dabant; tropice quum sacerdotum et vatum genus hominum credulitate abuti soleret, *μάγους ἐκάλουν τοὺς ψευδεῖς φαντασίας περιτιθέντας*. *Scholiastes* ad Soph. Œd. T. 395. Vocabulum *γόης* *Phrynich.* Bekkeri Anecdd. p. 31. *Ἀττικώτερον* appellat *τοῦ μάγος*. Inter *μαγείαν* et *γοητείαν* hoc discrimen statuerunt nonnulli glossographorum: *Μαγεία μὲν οὖν*, inquiunt, *ἐστὶν ἐπίκλησις δαιμόνων ἀγαθοποιῶν δῆθεν πρὸς ἀγαθοῦ τινος σύστασιν, γοητεία δὲ ἐπὶ τοῦ ἀνάγειν νεκροὺς δι' ἐπικλήσεως.* Hæc tradit *Suidas* s. v. *γοητεία*.

*ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες καὶ ἄνθρωποι, ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ*] Coacervatio invocatorum animum indicat commotum et est votum, ut, quicquid possit et valeat, ad rem sit attentum. Cf. *Heindorf* ad Platonis Prot. § 5. Cf. § 260.

138. *Θρασύβουλος ὁ Κολλυτεύς*] Hic (*Κόλλυτος δῆμός ἐστι τῆς Αἰγηΐδος φυλῆς*) probe distinguendus a Thrasybulo *Στειριεῖ*, celebri illo Atheniensium libertatis restauratore, quanquam etiam *ὁ Κολλυτεὺς* teste *Demosth.* *Κατὰ Τιμοκρ.* p. 742. *τῶν ἐκ Πειραιῶς καὶ ἀπὸ Φυλῆς ἦν.* Ejus ut *ναυάρχου* fit mentio apud *Xenoph.* Hellen. V. 1, 26.

*ὁ Ἐρχιεύς*] *Ἐρχεία δῆμός ἐστι τῆς Αἰγηΐδος, ὡς Διόδωρος.* Aliis scribitur *Ἐρχία*. Hinc formatur *δημότης Ἐρχιεύς*. *Θράσωνος τοῦ Ἐρχιέως* tanquam hominis industrii earum partium, ut Cadmea a Lacedæmoniis occupata Thebanis restitueretur, mentio fit in *Dinarchi* orat. *Κατὰ Δημοσθένους* p. 30. R.

*Λεωδάμας ὁ Ἀχαρνεύς*] *Ἄχαρνα* vel *Ἄχαρναι δῆμος τῆς Οἰνηΐδος φυλῆς*, aberat Athenis LX. circiter stadiis, hedera ibi inventa clara. Traducebatur hic populus, ut carbonibus victum quærens. Leodamas Acharnensis, Isocratis discipulus, quantum eloquentia excelluerit, patet ex hoc Æschinis loco, tum ex Demosthenis Lept. p. 551. Ex hoc loco cum novimus legationem ad Thebanos obiisse, quibuscum ipsi aliquam necessitudinem intercessisse oportet.

139. *ὁ Πήληξ*] *Δῆμός ἐστι τῆς Λεοντίδος φυλῆς, ὥς φησι Διόδωρος ὁ περιηγητής.*

πολλὰ κεκινδυνευκὼς ἐν τῇ πολιτείᾳ διὰ Θηβαίους, Ἀριστοφῶν ὁ Ἀζηνιεύς, πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείνας αἰτίαν, Πύῤῥανδρος ὁ Ἀναφλύστιος, ὃς ἔτι καὶ νῦν ζῇ. ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἐδυνήθη προτρέψασθαι εἰς τὴν ὑμετέραν φιλίαν. τὸ δ' αἴτιον οἶδα μέν, λέγειν δ' οὐδὲν δέομαι διὰ τὰς ἀτυχίας αὐτῶν. 140. ἀλλ', οἶμαι, ἐπειδὴ Φίλιππος αὐτῶν ἀφελόμενος Νίκαιαν Θετταλοῖς παρέδωκε, καὶ τὸν πόλεμον, ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς τῶν Βοιωτῶν, τοῦτον πάλιν τὸν αὐτὸν πόλεμον ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ' αὐτὰς τὰς Θήβας, καὶ τὸ τελευταῖον Ἐλάτειαν καταλαβὼν ἐχαράκωσε, καὶ φρουρὰν εἰσήγαγεν, ἐνταῦθ' ἤδη, ἐπεὶ τὸ δεινὸν αὐτῶν ἥπτετο, μετεπέμψαντο Ἀθηναίους, καὶ ὑμεῖς ἐξήλθετε καὶ εἰσῄειτε εἰς τὰς Θήβας, ἐν τοῖς ὅπλοις διεσκευασμένοι, καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς, πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην. 141. ὁ δ' εἰσάγων ἦν ὑμᾶς εἰς τὰς Θήβας καιρὸς καὶ φόβος καὶ χρεία συμμαχίας, ἀλλ' οὐ Δημοσθένης· ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία τὰ πάντων μέγιστα Δημοσθένης εἰς ὑμᾶς

139. Πύῤῥανδρος ὁ Ἀναφλύστιος] Sic habent octo Bekkeri codices pro vulgato Πύρανδρος. Etiam Κατὰ Τιμ. § 84. p. 66. meæ ed. mentio fit Πυῤῥάνδρου, qui num idem sit, qui hic Ἀναφλύστιος a demo Ἀνάφλυστος τῆς Ἱπποθοωντίδος φυλῆς vocatur, nescio. In scribendo autem vocabulo plurimis optimisque codicibus obtemperavi, quanquam Bekkerus vulgatam retinuit.

140. καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς] Sic quattuor Bekkeri codices ejusdem familiæ pro vulgato καὶ οἱ ἱππεῖς καὶ οἱ πεζοί. Supra § 88. οἱ στρατιῶται οἱ ὑμέτεροι, πεζοὶ καὶ ἱππεῖς. Plerumque solent apud Athenienses οἱ πεζοὶ præcedere ἱππέας: quanquam interdum etiam altera collocatio ab omnibus libris firmatur.

Ἀριστοφῶν ὁ Ἀζηνιεύς] *Stephanus* Byz. Ἀζηνιά ὡς Πλωθιά Λουσιά· δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς· ὁ δημότης Ἀζηνιεύς. Tres Aristophontes accurate distinxit *Ruhnk.* historia Crit. Orat. Græc. p. XLV. s.

140. Νίκαιαν] Nomen est plurium locorum. Secundum memorat Stephanus s. v. πόλιν τῶν Ἐπικνημιδίων Λοκρῶν. *Strabo* L. IX. 4. p. 522. Tzsch. eam in vicinitate Thermopylarum collocat. Hanc urbem in bello Phocensi Thessalis a Phocensibus ereptam Philippus illis restituit, ut eos sibi devinciret. Cf. *Demosth.* Philipp. II. p. 71.

Ἐλάτειαν] Hæc maxima urbs Phocidis appellatur. Sita est in valle satis ampla et fructuosa fluminis Cephissi a sinistra parte, modico clivo. De re confer *Diodor. Sic.* XVI. 84.

ἐχαράκωσε] Ab ὁ χάραξ. Vid. *Lobeck* ad Phrynich. p. 61. s. Χαρακοῦν est *munimentis circumdare.*

διεσκευασμένοι] Verbum proprium de iis, qui ad prœlium instructi et parati sunt.

141. τρία τὰ πάντων μέγιστα] I. Συμμαχία in Thebanorum commodum instituta. II. Per tempus συμμαχίας imminuta majestas populi Atheniensis et Thebanorum potentia aucta. III. Impedimenta, quo minus Thebani cum Philippo pacem facerent, objecta.—Primum momentum in duas partes discernitur: a) Demosthenes persuasit populo, ne ullas poneret conditiones, sub quibus συμμαχία institueretur; satis habere, si ea fieret. b) Duas belli sumtuum partes Atheniensibus imposuit, quorum minus erat periculum, et unam Thebanis, qui

*ἐξημάρτηκε, πρῶτον μὲν ὅτι Φιλίππου, τῷ μὲν ὀνόματι πολεμοῦντος ὑμῖν, τῷ δ' ἔργῳ πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε, καὶ τί δεῖ τὰ πλείω λέγειν; ταῦτα μὲν τὰ τηλικαῦτα τὸ μέγεθος ἀπεκρύψατο, προσποιησάμενος δὲ μέλλειν τὴν συμμαχίαν γενήσεσθαι οὐ διὰ τοὺς καιρούς, ἀλλὰ διὰ τὰς αὐτοῦ πρεσβείας, 142. πρῶτον μὲν συνέπεισε τὸν δῆμον μηκέτι βουλεύεσθαι, ἐπὶ τίσι δεῖ ποιήσασθαι τὴν συμμαχίαν, ἀλλ' ἀγαπᾶν μόνον, εἰ γίγνεται· τοῦτο δὲ προλαβὼν, ἔκδοτον μὲν τὴν Βοιωτίαν ἅπασαν ἐποίησε Θηβαίοις, γράψας ἐν τῷ ψηφίσματι, ἐάν τις ἀφιστῆται πόλις ἀπὸ Θηβαίων, βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις, τοῖς ὀνόμασι κλέπτων καὶ μεταφέρων τὰ πράγματα, ὥσπερ εἴωθεν, ὡς τοὺς Βοιωτούς, ἔργῳ κακῶς πάσχοντας, τὴν τῶν ὀνομάτων σύνθεσιν τῶν Δημοσθένους ἀγαπήσοντας, ἀλλ' οὐ μᾶλλον ἐφ' οἷς κακῶς πεπόνθεσαν ἀγανακτήσοντας· 143. δεύτερον δὲ τῶν εἰς τὸν πόλεμον ἀναλωμάτων τὰ μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν ἀπωτέρω οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις, δωροδοκῶν ἐφ' ἑκάστοις τούτων, καὶ τὴν ἡγεμονίαν τὴν μὲν κατὰ θάλατταν ἐποίησε κοινήν, τὸ δ' ἀνάλωμα ἴδιον ὑμέτερον, τὴν δὲ κατὰ γῆν, εἰ μὴ δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θηβαίοις, ὥστε παρὰ τὸν γενόμενον*

in summo periculo versabantur; imperium maritimum utrisque fecit commune, Athenienses autem stipendia ferre oportebat, terrestre fraude Thebanis dedit. Primum momentum inducitur per *πρῶτον μέν* et in hoc *πρώτῳ* duæ hæ partes per *πρῶτον μέν ... δεύτερον δέ*: quod non oportebat offendere viros doctos. Sic enim sæpe optimi scriptores. Vide quæ dixi ad Cicer. de fin. I. 6.

*ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε*] Intelligit eam rationem, qua Philippus post pugnam Chæronensem utrosque, tum Thebanos, tum Athenienses, tractaverit, mitis in hos, severus in illos.

142. *βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις*] Æschines inique traducit argutiam Demosthenicam. Demosthenes ipso verborum dilectu cives suos docere volebat non jam id agi, ut cum Thebanorum civitate in se spectata, parte tantum modo Bœotiæ, inimica olim Atheniensibus, fœdus inirent eique opem ferrent, sed ut societatem cum ea jungerent, quatenus ea esset totius regionis caput, summamque rem apud fœderatos Bœotorum populos legitime administraret. Ejusmodi autem fœdus ut cum tota Bœotia Thebanorum potentatui (Cicero de Rep. II. 8) subjecta ea tempestate fieret, non solum civilis prudentia suadebat, sed si ita verbis concipiebatur, speciosius etiam erat ad plebis Atheniensis veterem simultatem mitigandam, longeque minorem ipsi oratori invidiam faciebat, quam si incaute Thebanos solos in populiscito nominasset.

*ὡς—ἀγαπήσοντας*] Frequens est apud Græcos, ut conjunctioni *ὡς* accusativus participii jungatur tanquam casus absolutus, ita ut in conjunctione insit notio verbi transitivi pro contextu varia, quamvis similis, *νομίζων, εἰδώς* cet. Cf. *Matth.* Gr. Gr. § 568. 3. *Rost.* § 131, 4.

143. *ἴδιον ὑμέτερον*] Non raro possessivum pro genitivo pronominis personalis adjectivo *ἴδιον* addi patet ex iis, quæ habet *Lobeck* ad Phryn. p. 441.

πόλεμον μὴ κύριον γενέσθαι Στρατοκλέα, τὸν ἡμέτερον στρατηγόν, βουλεύσασθαι περὶ τῆς τῶν στρατιωτῶν σωτηρίας. 144. καὶ ταῦτ' οὐκ ἐγὼ μὲν κατηγορῶ, ἕτεροι δὲ παραλείπουσιν, ἀλλὰ κἀγὼ λέγω, καὶ πάντες ἐπιτιμῶσι, καὶ ὑμεῖς σύνιστε καὶ οὐκ ὀργίζεσθε. ἐκεῖνο γὰρ πεπόνθατε πρὸς Δημοσθένην· συνείθισθε ἤδη τἀδικήματα αὐτοῦ ἀκούειν, ὥστε οὐ θαυμάζετε. δεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀγανακτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν.

145. Δεύτερον δὲ καὶ πολὺ τούτου μεῖζον ἀδίκημα ἠδίκησεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως καὶ τὴν δημοκρατίαν ἄρδην ἔλαθεν ὑφελόμενος καὶ μετήνεγκεν εἰς Θήβας εἰς τὴν Καδμείαν, τὴν κοινωνίαν τῶν πράξεων τοῖς Βοιωτάρχαις συνθέμενος· καὶ τηλικαύτην αὐτὸς αὑτῷ δυναστείαν κατεσκεύασεν, ὥστ' ἤδη παριὼν ἐπὶ τὸ βῆμα πρεσβεύσειν μὲν ἔφη, ὅποι ἂν αὐτῷ δοκῇ, κἂν μὴ ὑμεῖς ἐκπέμπητε, 146. εἰ δέ τις αὐτῷ τῶν στρατηγῶν ἀντείποι, καταδουλούμενος τοὺς ἄρχοντας καὶ συνεθίζων μηδὲν αὐτῷ ἀντιλέγειν, διαδικασίαν ἔφη γράψειν τῷ βήματι πρὸς τὸ στρατηγεῖον· πλείω γὰρ ὑμᾶς

*Στρατοκλέα, τὸν ἡμέτερον στρατηγόν*] Stratoclem novimus oratorem protervæ linguæ, qui, ut ex Dinarchi oratione *Κατὰ Δημοσθ.* apparet, Demosthenem ob pecuniam ab Harpalo acceptam publice accusavit. De eo accurate egit *Ruhnk.* ad Rutilium Lupum p. 32 ss. Imperatores in pugna Chæronensi memorat *Diodor. Sic.* XVI. 85. Charetem et Lysiclem. *Chares* videtur is fuisse, qui summæ rei præerat. *Polyænus* Strategem. IV. 2, 8. Charetem et Proxenum nominat. Stratoclis tamen meminit idem IV. 22. ita ut haud improbabile sit protervam ejus linguam hoc effudisse: *'Αθηναίων Στρατοκλῆς ἐκβοήσας· οὐ χρὴ ἀποστῆναι προσκειμένους, ἕως ἂν τοὺς πολεμίους κατακλείσωμεν ἐς Μακεδονίαν, οὐκ ἀνῆκε διώκων.*

145. *τοῖς* Βοιωτάρχαις] Non sunt *οἱ προεστῶτες τῶν Θηβῶν*, quos intelligendos videntur nonnulli opinati esse ex *Polluce* I. 128. *Τῶν Θηβαίων ἴδιον οἱ* Βοιωτάρχαι. Accuratius, opinor, Thucydidis *Scholiastes* II. 2. *οἱ τῶν* Βοιωτῶν *ἄρχοντες.* In numero etiam veteres dissentiunt, qui pro temporum diversitate diversus erat. Scholiastes numerum habet l. l. *ἕνδεκα*, ex ipso, ni fallor, Thucydide haustum IV. 91. *τῶν ἄλλων* Βοιωταρχῶν, *οἵ εἰσιν ἕνδεκα.* Verum recte affirmat autem *O. Müller* *Geschichten Hellenischer Stämme und Städte* T. I. p. 404. numerum *ἕνδεκα* nonnisi *τοὺς ἄλλους Βοιωτάρχας* comprehendere, excepto eo, qui post nominatim affertur Pagondas Thebanus, ita ut plenus Bœotarcharum numerus fuerit duodecim. Sed ita non præsens *εἰσίν* posuisset Thucydides. Numerus duodenarius facilius ex *Liv.* XLII. 43. sumi posset. Vere de Bœotarchis meo judicio judicavit *Fr. Kortüm zur Geschichte Hellenischer Staatsverfassungen*, p. 87.—Demostheni autem nequaquam crimini vertendum est, quod per *συμμαχίαν* senatum Bœotorum rerum deliberandarum participem esse voluerit. Et hæc ipsa erat Demosthenis mens, quam Æschines hyperbolice calumniatur.

146. *διαδικασίαν*] *Bekkeri* Anecdd. p. 236. *Διαδικασία: οὐχ ἁπλῶς πᾶσα δίκη διαδικασία καλεῖται, ἀλλ' ἐν αἷς περί τινος ἀμφισβήτησίς ἐστιν, ὅτῳ προσήκει μᾶλλον.* *A suit about priority of claim*; vid *Heffter die Athenäische Gerichtsverfassung.* p. 272. *Der Attische Process*, p. 367. ss. *Platner der Process, zweites Buch. dritter Abschnitt.* T. II. p. 17. ss. Ceterum sententiam, quæ hic Demostheni tribuitur, versu expressit Cicero ex libris de consulatu suo, quem servavit de Off. I. 22. 27.

*Cedant arma togæ, concedat laurea lin-*

ἀγαθὰ ὑφ' ἑαυτοῦ ἔφη ἀπὸ τοῦ βήματος πεπονθέναι ἢ ὑπὸ τῶν στρατηγῶν ἐκ τοῦ στρατηγείου. μισθοφορῶν δ' ἐν τῷ ξενικῷ κεναῖς χώραις, καὶ τὰ στρατιωτικὰ χρήματα κλέπτων, καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι, πολλὰ διαμαρτυρομένου καὶ σχετλιάζοντος ἐν ταῖς ἐκκλησίαις ἐμοῦ, προσέμιξε φέρων ἀναρπασθέντων τῶν ξένων τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει. 147. τί γὰρ ἂν οἴεσθε Φίλιππον ἐν τοῖς τότε καιροῖς εὔξασθαι; οὐ χωρὶς μὲν πρὸς τὴν πολιτικὴν δύναμιν, χωρὶς δ' ἐν Ἀμφίσσῃ πρὸς τοὺς ξένους διαγωνίσασθαι, ἀθύμους δὲ τοὺς Ἕλληνας λαβεῖν, τηλικαύτης πληγῆς προγεγενημένης; καὶ τηλικούτων κακῶν αἴτιος γεγενημένος Δημοσθένης οὐκ ἀγαπᾷ, εἰ μὴ δίκην δέδωκεν, ἀλλ' εἰ μὴ καὶ χρυσῷ στεφάνῳ στεφανωθήσεται, ἀγανακτεῖ· οὐδ' ἱκανόν ἐστιν αὐτῷ ἐναντίον ὑμῶν κηρύττεσθαι, ἀλλ' εἰ μὴ τῶν Ἑλλήνων ἐναντίον ἀναῤῥηθήσεται, τοῦτ' ἤδη ἀγανακτεῖ. οὕτως, ὡς ἔοικε, πονηρὰ φύσις, μεγάλης ἐξουσίας ἐπιλαβομένη, δημοσίας ἀπεργάζεται συμφοράς.

148. Τρίτον δὲ καὶ τῶν προειρημένων μέγιστόν ἐστιν ὃ μέλλω λέγειν. Φιλίππου γὰρ οὐ καταφρονοῦντος τῶν Ἑλλήνων, οὐδ' ἀγνοοῦντος, οὐ γὰρ ἦν ἀσύνετος, ὅτι περὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέρας σμικρῷ μέρει διαγωνιεῖται, καὶ διὰ ταῦτα βουλομένου ποιήσασθαι τὴν εἰρήνην, καὶ πρεσβείας ἀποστέλλειν μέλλοντος, καὶ τῶν ἀρχόντων τῶν ἐν Θήβαις φοβουμένων τὸν ἐπιόντα κίνδυνον εἰκότως· οὐ γὰρ ῥήτωρ ἀστράτευτος καὶ λιπὼν τὴν τάξιν αὐτοὺς ἐνουθέτησεν, ἀλλ' ὁ Φωκικὸς πόλεμος δεκαετὴς

147. *προγεγενημένης*] Sic Bern. Helmst. et quattuor Bekkeri codices pro vulgato *γεγενημένης*. Librarios composita in simplicia mutare solitos esse jam sæpe cognovimus. Non sine vi autem præpositionem addidit, ut ratio rerum consecutionis eo apertior sit.

148. *καὶ λιπὼν τὴν τάξιν*] Fluctuant libri inter singularem *τὴν τάξιν* et pluralem *τὰς τάξεις*, qui foret pluralis hyperbolicus: cui infensos fuisse librarios jam sæpius cognovimus. Cf. supra § 109. Hic pluralem habet optimus Helmst. et Bekkeri quattuor, ejusdem quidem familiæ, qui forsitan præferendus.

**κεναῖς χώραις**] Stipendia scilicet accipiebant militum nomine, qui non militabant, more avarorum ducum, qui plures milites sub imperio suo stipendia facere simulant, quam faciunt.

**πολλὰ διαμαρτυρομένου καὶ σχετλιάζοντος—ἐμοῦ**] **Διαμαρτύρεσθαι** est Latinorum *contestari*, *obtestari*, *deos hominesque testes vocare*. Σχετλιάζειν est *clamare aliquid* σχέτλιον *esse*, *improbum et iniquum*, *intolerabile*. *Aristoph.* Plut. 477. jungit *σχετλιάζειν καὶ βοᾶν*. Hinc *σχετλιασμός* est *conquestio*, oratio, qua conquerimur et commoti sumus ex injuria vel adversa fortuna.

*ἀναρπασθέντων τῶν ξένων*] Hyperbolice de clade, quam passi sunt milites conducticii. Similem sententiæ formam in seqq. vide apud *Demosth.* Περὶ τῶν ἐν Χεῤῥονήσ. p. 94. ult.

148. *ὁ Φωκικὸς πόλεμος δεκαετὴς*] *Ammonius*, p. 136. s. Τρίετες βαρυτόνως καὶ

γεγονὼς ἀείμνηστον παιδείαν αὐτοὺς ἐπαίδευσε, 149. τούτων δὲ ἐχόντων οὕτως αἰσθόμενος Δημοσθένης, καὶ τοὺς Βοιωτάρχας ὑποπτεύσας μέλλειν εἰρήνην ἰδίᾳ ποιεῖσθαι, χρυσίον ἄνευ αὐτοῦ παρὰ Φιλίππου λαβόντας, ἀβίωτον ἡγησάμενος εἶναι, εἴ τινος ἀπολειφθήσεται δωροδοκίας, ἀναπηδήσας ἐν τῇ ἐκκλησίᾳ, οὐδενὸς ἀνθρώπων λέγοντος οὔθ' ὡς δεῖ ποιεῖσθαι πρὸς Φίλιππον εἰρήνην, οὔθ' ὡς οὐ δεῖ, ἀλλ' ὡς ᾤετο, τοῦτο κήρυγμά τι τοῖς Βοιωτάρχαις προκηρύττων, ἀναφέρειν ἑαυτῷ τὰ μέρη τῶν λημμάτων, διώμνυτο τὴν Ἀθηνᾶν, ἥν, ὡς ἔοικε, Φειδίας ἐνεργολαβεῖν εἰργάσατο καὶ ἐνεπιορκεῖν Δημοσθένει, 150. ἦ μήν, εἴ τις ἐρεῖ, ὡς χρὴ πρὸς Φίλιππον εἰρήνην ποιήσασθαι, ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν, ἀπομιμούμενος τὴν Κλεοφῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου, ὡς λέγεται, τὴν πόλιν ἀπώλεσεν. ὡς δ' οὐ προσεῖχον αὐτῷ οἱ ἄρχοντες οἱ ἐν ταῖς Θήβαις, ἀλλὰ καὶ τοὺς στρατιώτας τοὺς ὑμετέρους πάλιν ἀνέστρεψαν ἐξεληλυθότας, ἵνα βουλεύσησθε περὶ τῆς εἰρήνης, ἐνταῦθ' ἤδη παντάπασιν ἔκφρων ἐγένετο, 151. καὶ παρελθὼν ἐπὶ τὸ βῆμα προδότας τῶν Ἑλλήνων τοὺς Βοιωτάρχας ἀπεκάλεσε, καὶ γράψειν ἔφη ψήφισμα ὁ τοῖς πολεμίοις οὐδέποτ'

*τριετὲς ὀξυτόνως διαφέρει, φησὶ* Πτολεμαῖος ὁ Ἀσκαλωνίτης. *ἐὰν μὲν γὰρ βαρυτονήσωμεν, ἔσται ἐπὶ χρόνου .... ἐὰν ὀξυτονήσωμεν, ἔσται ἐπὶ ἡλικίας.* Si MSS. consideremus, scriptores hoc discrimen non agnoscunt. *Car. Göttling* in libro: *Die Lehre vom Accent der Griechischen Sprache* p. 88. statuit adjectiva ex *ἔτος* composita esse oxytona, contra si neutra adverbialiter usurpentur, esse barytona. —Belli autem Phocensis anni apud varios scriptores variant, dum a variis terminis progrediuntur. Conf. *Weiske* de Hyperbole P. III. p. 19.

149. *τοῦτο κήρυγμά τι*] *Τοῦτο* est accusativus objecti, *κήρυγμά τι* accusativus prædicati. *Κήρυγμα* est mandatum vel a senatu datum, vel a populo jussum, quod voce præconis promulgabatur. Hinc tropice significat jussum, cui tanquam a summo magistratu mandato sit obtemperandum: *hoc quasi publica auctoritate sancitum.*

150. *τὴν* Κλεοφῶντος *πολιτείαν*] *Scholiastes* ad Aristoph. Ran. v. 1580. *ὡς* Ἀριστοτέλης *φησὶ μετὰ τὴν ἐν* Ἀργινούσαις *ναυμαχίαν, Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι, ἐφ' οἷς ἔχουσιν ἑκάτεροι, καὶ εἰρήνην ἄγειν, ἐπὶ τοῦ* Καλλίου (qui Archon Ol. XCIII. 3.) Κλεοφῶν *ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν, ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι.* Οὗτος *δὲ ὁ* Κλεοφῶν *ὡς ξένος κωμῳδεῖται καὶ βάρβαρος.* Turbulentus erat demagogus et similis Hyperbolo et Cleoni, quibuscum sæpe jungitur. De eo Cf. *Ruhnkenii* Historia Critica Oratorum Græcorum, p. XCIV. ss.

151. *ὁ τοῖς πολεμίοις οὐδέποτ' ἀντιβλέψας*] Hæc locutio summum timoris gradum indicat: quam etiam Latini receperunt. Quæ de hac formula colligi possunt, collegit et illustravit *Bentleius* ad Horat. Od. I. 3, 18. Contra *βλέπειν εἰς τινος πρόσωπον* formula est *impudentiam* notans §152. *ἐπιχειρήσειν ἐθελήσεις— βλέπων εἰς τὰ τούτων πρόσωπα, λέγειν.* Adde *Demosthenem* Περὶ Στεφ. p. 320. Ceterum *ἀντιβλέπειν* cum accusativo constructum memorat *Pricianus* L. XVIII. § 190. p. 494. Krehl. Citat nempe hunc locum ita: *ὁ μηδέποτε τοὺς πολεμίους ἀν-*

*ἀντιβλέψας πέμπειν ὑμᾶς πρέσβεις εἰς Θήβας αἰτήσοντας Θηβαίους δίοδον ἐπὶ Φίλιππον. ὑπεραισχυνθέντες δὲ οἱ ἐν Θήβαις ἄρχοντες, μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι προδόται τῶν Ἑλλήνων, ἀπὸ μὲν τῆς εἰρήνης ἀπετράποντο, ἐπὶ δὲ τὴν παράταξιν ὥρμησαν.*

152. *Ἔνθα δὴ καὶ τῶν ἀνδρῶν τῶν ἀγαθῶν ἄξιόν ἐστιν ἐπιμνησθῆναι, οὓς οὗτος, ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν, ἐκπέμψας ἐπὶ τὸν πρόδηλον κίνδυνον ἐτόλμησε, τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν ἀναβὰς ἐπὶ τὸν τάφον τὸν τῶν τελευτησάντων, ἐγκωμιάζειν τὴν ἐκείνων ἀρετήν. ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα πάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε, ἐπιχειρήσειν ἐθελήσεις αὐτίκα μάλα, βλέπων εἰς τὰ τούτων πρόσωπα, λέγειν, ὡς δεῖ σε ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦσθαι; ἐὰν δ' οὗτος λέγῃ, ὑμεῖς ὑπομενεῖτε, καὶ συναποθανεῖται τοῖς τελευτήσασιν, ὡς ἔοικε, καὶ ἡ ὑμετέρα μνήμη;* 153. *γένεσθε δή μοι μικρὸν χρόνον τὴν διάνοιαν μὴ ἐν τῷ δικαστηρίῳ, ἀλλ' ἐν τῷ θεάτρῳ, καὶ νομίσαθ' ὁρᾶν προϊόντα τὸν κήρυκα καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάῤῥησιν μέλλουσαν γίγνεσθαι, καὶ λογίσασθε, πότερ' οἴεσθε τοὺς οἰκείους τῶν τελευτησάντων πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς*

153. *γένεσθε δή μοι—τὴν διάνοιαν*] Bern. *τῇ διανοίᾳ*, ex quo hanc lectionem ut optimam recepit Wunderlich; et is quidem casus in similibus locutionibus Æschini est usitatissimus. § 157. *ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὴν συμφοράν.* § 186. *προέλθετε οὖν τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν ποικίλην.* Quum tamen accusativus ab reliquis omnibus libris confirmetur, isque ex legibus grammaticis locum habere possit, Κατὰ Τιμ. § 129. p. 192. meæ ed. *ἐπειδὰν δὲ . . . . τὰς ψυχὰς ἐφ' ἑτέρων γένησθε*, eum retinuimus.

*τιβλέψας.* Sed videtur locum ex memoria laudasse, quum in nullo, qui exstant, codicum neque accusativi appareat vestigium. Et *ἀντιβλέπειν* quidem apud Atticos vel cum dativo, vel cum præpositionibus *εἰς* et *πρός* c. acc. construitur. Recentiores habent etiam accusativum sine præpositione. De legatione et successu Demosthenis cf. *Plutarch.* in Vita Demosth. p. 854. c. 18.

152. *τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν ἀναβὰς ἐπὶ τὸν τάφον τὸν τῶν τελευτησάντων*] Hæc verba conjungenda sunt. *Δραπέτης*, quod plerumque substantive ponitur, hoc loco adjective positum est. Nam, ut vere monet *Brunckius* ad Soph. Œd. T. v. 81. substantivi pro adjectivo positi exempla passim obvia, nec apud poetas solum, sed etiam apud prosæ scriptores. De re cf. *Plutarch.* Vita Demosthen. p. 855. c. 21.

*ἐπιχειρήσειν ἐθελήσεις*] Ex *Thoma M.* p. 159—168. videtur patere, Grammaticos nonnullos antiquos statuisse non jungi posse verba, quæ voluntatem significent, cum futuro infinitivi, eosque nostro loco sequitur Marklandus, qui conjicit *ἐπιχειρῆσαι* vel *ἐπιχειρεῖν*. Sed optimorum scriptorum usum hoc non omnino rejecisse satis docuit *Lobeck* Parerga post Phryn. p. 747. s. In Bern. glossa est *τολμήσεις*. Interdum, ut hic, indicatur quod proxime instat: *Audebis statim aggredi*, quod nullo unquam tempore audendum sit.

τραγῳδίαις καὶ τοῖς ἡρωϊκοῖς πάθεσι τοῖς μετὰ ταῦτ' ἐπεισιοῦσιν, ἢ ἐπὶ τῇ τῆς πόλεως ἀγνωμοσύνῃ. 154. τίς γὰρ οὐκ ἂν ἀλγήσειεν ἄνθρωπος Ἕλλην καὶ παιδευθεὶς ἐλευθέρως, ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ ἡμέρᾳ μελλόντων, ὥσπερ νυνὶ, τῶν τραγῳδῶν γίγνεσθαι, ὅτ' εὐνομεῖτο μᾶλλον ἡ πόλις καὶ βελτίοσι προστάταις ἐχρῆτο, προελθὼν ὁ κῆρυξ καὶ παραστησάμενος τοὺς ὀρφανούς, ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανοπλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετήν, ὅτι τούσδε τοὺς νεανίσκους, ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔτρεφε, νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν, καὶ καλεῖ εἰς προεδρίαν. 155. τότε μὲν ταῦτ' ἐκήρυττεν, ἀλλ' οὐ νῦν· ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον τί ποτ' ἀνερεῖ, ἢ τί φθέγξεται; καὶ γὰρ ἐὰν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα, ἀλλ' οὐ τό γ' ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται, ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγγεσθαι, ὅτι τόνδε τὸν ἄνδρα, εἰ δὴ καὶ οὗτος ἀνήρ, στεφανοῖ ὁ δῆμος ὁ Ἀθηναίων ἀρετῆς ἕνεκα τὸν κάκιστον, ἀνδραγαθίας ἕνεκα τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν. 156. μὴ πρὸς τοῦ Διὸς καὶ τῶν

154. *ἄνθρωπος Ἕλλην καὶ παιδευθεὶς*] Sic sex Bekkeri codices pro vulgato *ἢ καί*. Nempe *καί* est explicativum, ut sæpe apud Latinos *et*. Possis etiam reddere *et omnino*, ut amplificetur *Ἕλληνος* notio: *non Græcus solum, sed si forte inter ceteros homo sit liberaliter educatus.* Vide *Hermannum* ad Vigerum p. 838.

154. *μελλόντων—τῶν τραγῳδῶν γίγνεσθαι*] Cf. supra § 41.

*τοὺς ὀρφανοὺς*] Laudat *Diogenes Laert.* Vita Solon. L. I. § 55. legem, quæ jubet *τῶν ἐν πολέμοις τελευτησάντων τοὺς υἱοὺς τρέφεσθαι καὶ παιδεύεσθαι.* Commentarii vicem præstat *Plato* Menex. p. 248. c. Nostro autem loco hoc ipsum Æschines Demostheni crimini vertit, quod non suppetias tulerit legi præstantissimæ, sed orborum salutem suæ ambitioni posthabuerit. Tantum abest, ut concludi possit eorum, qui in pugna *Chæronensi* ceciderint, liberos Athenienses publicis impensis educandos curasse.

*ἀγαθῇ τύχῃ*] Est formula bene ominantis et precantis, ut aliquid bene cedat: *quod felix faustumque sit, quod bene vertat.* *Xenophon* Cyrop. IV. 5, 51. s. *τούτους λαβὼν ποίει, ὅπως ἄριστόν σοι δοκεῖ εἶναι. δέχομαί τε, ἔφη, καὶ ἀγαθῇ τύχῃ ἡμεῖς τε ἱππεῖς γενοίμεθα, καὶ ὑμεῖς διέλοιτε τὰ κοινά.*

*καὶ καλεῖ εἰς προεδρίαν*] Populum iis locum principem in theatro assignare ad spectandos ludos promulgat. Hæc *προεδρία* inter præmia et honores erat, quæ civibus et peregrinis bene de civitate meritis a populo dabantur. Cf. *Schømann* de Comit. p. 335. s.

155. *ἀλλ' οὐ τό γ' ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται*] Hæc est apodosis, et *ἀλλά* vim habet affirmativam: in quo hæsitare non oportebat Wolfium. Est enim frequens jam inde ab Homero. In primis hoc fit, quum protasis incipiat ab *ἐπειδή*, ut paullo post.

*ἄλλων θεῶν, ἱκετεύω ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τρόπαιον ἵστατε ἀφ' ὑμῶν αὐτῶν ἐν τῇ τοῦ Διονύσου ὀρχήστρᾳ, μηδ' αἱρεῖτε παρανοίας ἐναντίον τῶν Ἑλλήνων τὸν δῆμον τῶν Ἀθηναίων, μηδ' ὑπομιμνήσκετε τῶν ἀνιάτων καὶ ἀνηκέστων κακῶν τοὺς ταλαιπώρους Θηβαίους, οὓς φυγόντας διὰ τοῦτον ὑποδέδεχθε. τῇ πόλει, ὧν ἱερὰ καὶ τέκνα καὶ τάφους ἀπώλεσεν ἡ Δημοσθένους δωροδοκία καὶ τὸ βασιλικὸν χρυσίον· 157. ἀλλ' ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, ἀλλὰ ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὰς συμφοράς, καὶ νομίσαθ' ὁρᾶν ἁλισκομένην τὴν πόλιν, τειχῶν κατασκαφάς, ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖκας ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν, κλαίοντας, ἱκετεύοντας ὑμᾶς, ὀργιζομένους οὐ τοῖς τιμωρουμένοις, ἀλλὰ τοῖς τούτων αἰτίοις, ἐπισκήπτοντας μηδενὶ τρόπῳ τὸν τῆς Ἑλλάδος ἀλιτήριον στεφανοῦν, ἀλλὰ καὶ τὸν δαίμονα καὶ τὴν τύχην τὴν συμπαρακολουθοῦσαν τῷ ἀνθρώπῳ φυλάξασθαι. 158. οὔτε γὰρ πόλις οὔτ' ἀνὴρ ἰδιώτης οὐδεὶς πώποτε καλῶς ἀπήλλαξε Δημοσθένει συμβούλῳ χρησάμενος. ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ αἰσχύνεσθε, εἰ ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας νόμον ἔθεσθε, ἐάν τις αὐτῶν ἄκων*

156. *μὴ τρόπαιον ἵστατε ἀφ' ὑμῶν αὐτῶν*] Negationem omittunt quattuor codices, cui repetitæ sæpe infensi erant librarii. Pro ἀφ' tres codices supra scriptum habent *καθ'*. Vere *F. A. Wolfius* ad Leptin. p. 296. "Frequentissimus est, inquit, usus particulæ ἀπό, ubi tropæi *de* populo positi mentio fit, fortasse inde, quod armis tropæa ornari solebant, victo hosti *de*tractis. Verum simpliciter quoque dicitur *τρόπαιον στῆσαί τινος* vel *κατά τινος*." Hoc autem loco ἀπό significat caussam rei ordiendæ; nempe tropæi caussa ducitur ab degenerato Atheniensium ingenio.

156. *μηδ' αἱρεῖτε παρανοίας — τὸν δῆμον*] Αἱρεῖν cum accusativo personæ et genitivo rei est *convincere aliquem vitii, criminis*. Cf. *Astium* ad Plat. de Legg. VI. 9. *Xenophon*. Memor. I. 2, 49. *φάσκων κατὰ νόμον ἐξεῖναι παρανοίας ἑλόντι καὶ τὸν πατέρα δῆσαι*. *Plato* de Legg. XI. 3. p. 928. c. *πατέρας ὑπὸ νόσων ἢ γήρως διατιθεμένους αἰσχρῶς ἐξεῖναι παρανοίας γράφεσθαι*.

157. *ταῖς γε διανοίαις* cet.] Hanc descriptionem et antiquos technicos laudasse et Romanos oratores imitatos esse non mirum. Per partes enim ita persequitur Thebanorum calamitates et miserias, ut etiam rudis animus commoveri et misericordia perfundi debeat. Cf. *Muretum* Varr. Lectt. VIII. 10. qui Ciceronem sæpius hunc locum imitatum esse ostendit. Homericæ imagines complures videntur Æschinis animo obversatæ esse.

158. *καλῶς ἀπήλλαξε*] Ἀπαλλάττειν cum adverbio de exitu dicitur, quæ ad finem fuerit sors. Καλῶς ἀπαλλάττειν *prospera fortuna discedere*, Αἰσχρῶς ἀπαλλάττειν *turpem exitum habere*.

*πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας*] Legem cognoscimus ex hoc nostro loco, quæ facile fidem meretur, quoniam nautas Athenis Salamina vehentes cuncta, quæ cursum in tam propinquum locum periculosum facere poterant, cognoscere et facile evitare oportebat, quum distantia locorum nonnisi διστάδιος esset.

ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ, τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι, ἵνα μηδεὶς αὐτοσχεδιάζῃ εἰς τὰ τῶν Ἑλλήνων σώματα, τὸν δὲ τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἄρδην ἀνατετραφότα τοῦτον ἐάσετε πάλιν ἀπευθύνειν τὰ κοινά;

159. Ἵνα δ' εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ καὶ τῶν νυνὶ καθεστηκότων πραγμάτων, ἐκεῖνο ὑμᾶς ὑπομνῆσαι βούλομαι, ὅτι Δημοσθένης οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως, τριήρη προσλαβὼν ὑμῶν καὶ τοὺς Ἕλληνας ἠργυρολόγησε. καταγαγούσης δ' αὐτὸν εἰς τὴν πόλιν τῆς ἀπροσδοκήτου σωτηρίας, τοὺς μὲν πρώτους χρόνους ὑπότρομος ἦν ἄνθρωπος, καὶ παριὼν ἡμιθνὴς ἐπὶ τὸ βῆμα εἰρηνοφύλακα ὑμᾶς αὐτὸν ἐκέλευε χειροτονεῖν· ὑμεῖς δὲ κατὰ μὲν τοὺς πρώτους χρόνους οὐδ' ἐπὶ τὰ ψηφίσματα εἰᾶτε τὸ Δημοσθένους ἐπιγράφειν ὄνομα, ἀλλὰ Ναυσικλεῖ τοῦτο προσετάττετε· νυνὶ δ' ἤδη καὶ στεφανοῦσθαι ἀξιοῖ. 160. ἐπειδὴ δ' ἐτελεύτησε μὲν Φίλιππος, Ἀλέξανδρος δ' εἰς τὴν ἀρχὴν κατέστη, πάλιν αὖ τερατευόμενος ἱερὰ μὲν ἱδρύ-

158. ἀνατετραφότα] Pares fere libri hanc formam præbent et ἀνατετροφότα. Hinc retinui eam, quam Bekkerus dedit, lectionem. At singulorum scriptorum usum in hoc quoque maxime attendendum esse opinor. Æschines vero ejusque ætas formam τέτροφα videtur prætulisse. De *o* in perfecto activi vide *Buttman ausführl. Griech. Sprachlehre.* T. I. § 97. Anm. 2. p. 423.

ἵνα μηδεὶς αὐτοσχεδιάζῃ] Radix est σχεδία, i. e. ναῦς ἀκατασκεύαστος, ἀπὸ ξύλων μόνον ἀπερίττως συντεθειμένη. *Schol.* ad Eur. Hec. 113. Hinc σχεδιάζειν tropice tum de verbis dicitur, quæ temere effunduntur, tum de factis, quæ negligenter et inconsulto conficiuntur. Compositum αὐτοσχεδιάζειν eandem significationem habet. Accurate de verbi significationibus exposuit *Piersonus* ad Mœrin p. 46. s.

159. ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως] Quatenus post cladem Chæronensem, pericula sibi imminentia reformidans, populiscito perlato, quo pecuniæ a stipendiariis cogendæ munus sibi demandaretur, (id quod opinor, inest in verbis τριήρη προσλαβὼν ὑμῶν) hanc per caussam Athenis excesserat, itaque stationem domi sibi, ut ceteris civibus, a republica commissam non magis tuitus erat, quam militarem apud Chæroneam. Mox autem, quum propter insperatam urbis salutem ipsi quoque nihil jam esset timendum, propere redire cunctatus non erat. Ἀργυρολογεῖν est verbum proprium de iis, qui a sociis, vel, ut vera dicamus, tributariis, præsertim insulis, pecunias publico nomine colligerent.

εἰρηνοφύλακα] Hoc in invidiam nomen adhibuisse videtur Æschines. Quum scilicet post pugnam Chæronensem amentes quidam et temerarii instarent non cedendum esse Philippo; Demosthenes, calamitatem patriæ perspiciens, earum videtur partium fuisse, ut lenitati Philippi obtemperaretur et pax, civitati tam necessaria, pie servaretur.

ἐπιγράφειν] Narrat *Plutarchus* in Vita Dem. p. 855. c. 21. τοῖς ψηφίσμασιν οὐχ ἑαυτόν, ἀλλ' ἐν μέρει τῶν φίλων ἕκαστον ἐπέγραφεν, ἐξοιωνιζόμενος τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην, ἕως αὖθις ἀνεθάρρησε, Φιλίππου τελευτήσαντος. *Nausicles* erat æqualis et familiaris Demostheni, populo gratus, sæpius coronatus ob liberalitatem, qua erga patriam usus erat.

160. πάλιν αὖ τερατευόμενος] Τερατευόμενος, quod glossographi explicant μηδὲν ἀληθὲς μηδ' ὑγιὲς λέγων, δολιούμενος, ψευδόμενος, hic de habitu externo, de vultu et gestu dicitur ejus, qui superbe, quæ dicunt et agunt alii, despica-

*σατο Παυσανίου, εἰς αἰτίαν δὲ εὐαγγελίων θυσίας τὴν βουλὴν κατέστησεν, ἐπωνυμίαν δ' Ἀλεξάνδρῳ Μαργίτην ἐπίθετο. ἀπετόλμα δὲ λέγειν, ὡς οὐ κινηθήσεται ἐκ Μακεδονίας· ἀγαπᾶν γὰρ αὐτὸν ἔφη ἐν Πέλλῃ περιπατοῦντα καὶ τὰ σπλάγχνα φυλάττοντα. καὶ ταῦτα λέγειν ἔφη οὐκ εἰκάζων, ἀλλ' ἀκριβῶς εἰδώς, ὅτι αἵματός ἐστιν ἡ ἀρετὴ ὠνία, αὐτὸς οὐκ ἔχων αἷμα καὶ θεωρῶν τὸν Ἀλέξανδρον οὐκ ἐκ τῆς Ἀλεξάνδρου φύσεως, ἀλλ' ἐκ τῆς ἑαυτοῦ ἀνανδρίας.* 161. *ἤδη δ' ἐψηφισμένων Θετταλῶν ἐπιστρατεύειν ἐπὶ τὴν ὑμετέραν πόλιν, καὶ τοῦ νεανίσκου τὸ πρῶτον παροξυνθέντος εἰκότως, ἐπειδὴ περὶ Θήβας ἦν τὸ στρατόπεδον, πρεσβευτὴς ὑφ' ὑμῶν χειροτονηθείς, ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος*

tur et deridet. Πάλιν αὖ est familiaris Atticis parallelismus. Componunt adeo triplex *αὖθις αὖ πάλιν*, ut *Sophocl.* Philoct. 252. ubi vide *Brunckium.* Morem hunc nemo copiosius illustravit *H. Stephano* de dialecto Attica p. 69—74.

*ἱερὰ μὲν ἱδρύσατο Παυσανίου*] Statuam coronatam cum ara fortasse poni jussit tyrannicidæ, ut tanquam alter Harmodius et Aristogiton sancte coleretur. Nempe ut *τρόπαια στῆσαί τινος* (Cf. § 156), sic *εἰκόνα στῆσαι, ἵδρυσθαί τινος* et similia, pro *τινί*.

*εἰς αἰτίαν δὲ εὐαγγελίων θυσίας τὴν βουλὴν κατέστησεν*] *Culpam senatui contraxit, cum hilaria celebrasse. Lætus nuntius* (*εὐαγγέλια* plerumque numero plurali) celebrabatur sacrificiis, quum præsertim res nuntiata gravioris erat momenti. *Xenophon* Hellen. I. 6, 38. IV. 3, 14. In hac re non segnis videtur fuisse Demosthenes; populus tamen ipse hoc modo suam lætitiam expressit, ut refert *Plutarch.* p. 855. c. 22. *εὐθυς οὖν ἔθυον τὰ εὐαγγέλια καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν.*

Μαργίτην] *Harpocration: ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην, ὅπερ ποίημα Καλλίμαχος θαυμάζειν ἔοικεν.* Erat poema satyricum in stultum, inscriptum *Μαργίτης, ὃς πολλὰ μὲν ἠπίστατο ἔργα, κακῶς δ' ἠπίστατο πάντα.* Ceterum ne inconditus sit jocus, probe tenendum, Alexandrum a Demosthene ita appellatum fuisse, quod cum Achillis admiratione (*Cicero* pro Archia X. 24.) quodammodo insanire audiverat. Imbibisse autem animo videtur hujus herois imitationem jam a prima pueritia. *Plutarchus* Alex. p. 667. B. c. 5. extr. *Λυσίμαχος ὁ τὸ σχῆμα τοῦ παιδαγωγοῦ καὶ τὴν προσηγορίαν ὑποποιούμενος ἑαυτὸν μὲν ὠνόμαζε Φοίνικα, τὸν δ' Ἀλέξανδρον Ἀχιλλέα, Πηλέα δὲ τὸν Φίλιππον.* Quod quum novissime Demosthenes audivisset, Alexandrum acerbissime risit, quippe hunc fere in modum Achilli comparandum, quemadmodum stolidissimus heros Margites, qui item Pseudo-Homerum nactus est rerum suarum præconem.

*καὶ τὰ σπλάγχνα φυλάττοντα*] Hoc esse potest proverbium, simile populari Italorum *salvar la pancia pei fichi*, et plebeio nostro *zu seinen Kutteln Sorge tragen.* Sed præstare videtur interpretatio plerorumque interpretum, *cum exta victimarum inspicere*, ut divinare possit, num audendum sit: quod erat timidi et nimium superstitiosi; neque obstat *τοῦ αἵματος* in seqq. mentio; nam qui exta curiosius contulit, vel hoc ipso satis testatur, quantum sibi caveat, ne in acie sanguinem effundat. Videtur autem vocabulum *αἷμα* bis in seqq. positum duplici significatione usurpasse. Priore loco hoc vult: "qui veram fortitudinem sectetur, huic non esse vulnera reformidanda, nec mortem ipsam." Altero autem *αὐτὸς οὐκ ἔχων αἷμα* significat *robur.* A copia enim et sinceritate sanguinis pendere robur arbitrabantur veteres. Exposuit hoc *Victorius* Varr. Lectt. XXV. 21. Eadem significatio etiam in priore membro locum habere possit; sed præfero alteram.

161. *τοῦ νεανίσκου*] Erat quidem Alexander eo tempore, quo hoc accidebat, Ol. CXI. 2. annos natus duo et viginti.

*ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος*] Commentum hoc est quod narrat *Plutarchus* in Vita Dem. p. 856. c. 23.

ἧκεν ὑποστρέψας, οὔτ' ἐν εἰρήνῃ οὔτ' ἐν πολέμῳ χρήσιμον ἑαυτὸν παρέχων. καὶ τὸ [illegible]ίντων δεινότατον, ὑμεῖς μὲν τοῦτον οὐ προὔδοτε, οὐδ' εἰάσατε κριθῆναι ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ, οὗτος δ' ὑμᾶς νῦν προδέδωκεν, εἴπερ ἀληθῆ ἐστιν ἃ λέγεται. 162. ὡς γάρ φασιν οἱ πάραλοι καὶ οἱ πρεσβεύσαντες πρὸς Ἀλέξανδρον, καὶ τὸ πρᾶγμα εἰκότως πιστεύεται, ἔστι τις Ἀριστίων Πλαταϊκός, ὁ τοῦ Ἀριστοβούλου τοῦ φαρμακοπώλου υἱός, εἴ τις ἄρα καὶ ὑμῶν γιγνώσκει. οὗτός ποτε ὁ νεανίσκος ἑτέρων τὴν ὄψιν διαφέρων γενόμενος ᾤκησε πολὺν χρόνον ἐν τῇ Δημοσθένους οἰκίᾳ· ὅ τι δὲ πράττων ἢ πάσχων, ἀμφίβολος ἡ αἰτία καὶ τὸ πρᾶγμα οὐδαμῶς εὔσχημον ἐμοὶ λέγειν. οὗτος, ὡς ἐγὼ ἀκούω, ἠγνοημένος ὅστις ποτ' ἐστὶ καὶ πῶς βεβιωκώς, τὸν Ἀλέξανδρον ὑποτρέχει καὶ πλησιάζει ἐκείνῳ. διὰ τούτου γράμματα πέμψας ὡς Ἀλέξανδρον ἄδειάν τινα εὕρηται καὶ διαλλαγὰς καὶ πολλὴν κολακείαν πεποίηται. 163. ἐκεῖθεν δὲ θεωρήσατε, ὡς ὅμοιόν ἐστι τὸ πρᾶγμα τῇ αἰτίᾳ. εἰ γάρ τι τούτων ἐφρόνει Δημοσθένης καὶ

162. *οἱ πάραλοι*] Sic quattuor Bekkeri codices et Victorius margini ed. Venetæ adscripsit pro vulgato *παράλιοι*. *Harpocration*: Πάραλος *μία τῶν παρ' Ἀθηναίων πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριηρῶν ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα* Παράλου· *οἱ δὲ ἐπιβεβηκότες αὐτῆς ἐκαλοῦντο πάραλοι, οἳ διὰ ταύτην τὴν ὑπηρεσίαν τέτταράς τε ὀβολοὺς ἐλάμβανον, καὶ τὸ πλεῖστον μέρος ἐνιαυτοῦ οἴκοι ἔμενον· ἄλλα τέ τινα ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως*. Quod *H. Valesius* in Harpocratione restituendum censet *παράλιοι*, eo non opus. Non enim solum antiqui Grammatici hoc nomen ita scribunt (*Pollux* VIII. 116. *οὐ μόνον πάραλοι, ἀλλὰ καὶ παραλῖται*), sed etiam apud optimos scriptores hanc formam codd. tenent constanter, ut apud *Thucyd.* VIII. 73 et 74.

*καὶ πολλὴν κολακείαν πεποίηται*] Quattuor Bekkeri ejusdem familiæ codices habent *καὶ πολλὴν τὴν κολακείαν πεπ.* quæ lectio haud displicet Casparo Orellio nostro.

*ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ*] Videtur hic *senatus Amphictyonum* intelligendus. Certe ex *Demosthenis* oratione Περὶ Στεφ. p. 331. apparet adversarios ipsi *ἀμφικτυονικὰς δίκας* intendisse, et hoc ipsum nomen *τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον* sibi in dogmate tribuit hoc consilium. Atque etiam Alexander, quum tradi sibi postularet demagogos, id videtur voluisse, ut caussam apud Amphictyonas dicerent. Cf. etiam *Tittmann. über den Bund der Amphiktyonen* p. 62. et p. 128 s.

162. *οἱ πάραλοι*] Quod Reiskius opinatur, hic *πάραλοι* non locum habere, sed scribendum esse *Φαρσάλιοι*, in eo nimirum fallitur. Nam legati in ea, quæ *πάραλος* nominabatur, navi vehebantur et vectores appellabantur *πάραλοι*. Ceterum Græcum est idioma *ὥς φασιν .... ἔστι* cet. Nos quidem diceremus *φασὶν εἶναι* cet.

*Ἀριστίων*] *Harpocration* s. v. *οὗτος Σάμιος μέν ἐστιν ἢ Πλαταιεύς, ὥς Δίυλλός φησιν, ἐκ μειρακυλλίου ἑταῖρος Δημοσθένους. ἐπέμφθη δὲ ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν, ὥς φησι Μαρσύας ἐν πέμπτῳ τῶν περὶ Ἀλέξανδρον.*

*διαφέρων γενόμενος*] Marklandus pro *γενόμενος* conjicit *πενόμενος*. In uno codice vocabulum prorsus deest. Constructionem ego vindicavi ad § 10.

*τὸν Ἀλέξανδρον ὑποτρέχει*] Ὑποτρέχειν *τινά* tropice dicitur (*To creep into favour with any one*). *Plato* de Legg. XI. 6. p. 923. b. *ἐάν τις ὑμᾶς θωπείαις ὑποδραμὼν ... πείθῃ*, ubi vide *Astium*.

πολεμικῶς εἶχεν, ὥσπερ καί φησι, πρὸς Ἀλέξανδρον, τρεῖς αὐτῷ καιροὶ κάλλιστοι παραγεγόνασιν, ὧν οὐδενὶ φαίνεται κεχρημένος. εἷς μὲν ὁ πρῶτος, ὅτ' εἰς τὴν ἀρχὴν οὐ πάλαι καθεστηκὼς Ἀλέξανδρος ἀκατασκεύων αὐτῷ τῶν ἰδίων ὄντων εἰς τὴν Ἀσίαν διέβη, ἤκμαζε δ' ὁ τῶν Περσῶν βασιλεὺς καὶ ναυσὶ καὶ χρήμασι καὶ πεζῇ στρατιᾷ, ἄσμενος δ' ἂν ἡμᾶς εἰς τὴν συμμαχίαν προσεδέξατο διὰ τοὺς ἐπιφερομένους ἑαυτῷ κινδύνους. εἶπάς τινα ἐνταῦθα λόγον, Δημόσθενες, ἢ ἔγραψάς τι ψήφισμα; βούλει σε θῶ φοβηθῆναι καὶ χρήσασθαι τῷ αὑτοῦ τρόπῳ; καίτοι ῥητορικὴν δειλίαν δημόσιος καιρὸς οὐκ ἀναμένει. 164. ἀλλ' ἐπειδὴ πάσῃ τῇ δυνάμει Δαρεῖος καταβεβήκει, ὁ δ' Ἀλέξανδρος ἦν ἀπειλημμένος ἐν Κιλικίᾳ πάντων ἐνδεής, ὡς ἔφησθα σύ, αὐτίκα δὲ μάλα ἤμελλεν, ὡς ἦν ὁ παρὰ σοῦ λόγος, συμπατηθήσεσθαι ὑπὸ τῆς Περσικῆς ἵππου, τὴν δὲ σὴν ἀηδίαν ἡ πόλις οὐκ ἐχώρει καὶ τὰς ἐπιστολὰς, ἃς ἐξηρτημένος ἐκ τῶν δακτύλων περιῄεις, ἐπιδεικνύων τισὶ τὸ ἐμὸν πρόσωπον ὡς ἐκπεπληγμένου καὶ ἀθυμοῦντος,

163. ἀκατασκεύων αὐτῷ τῶν ἰδίων ὄντων] Sic tres Bekkeri codices pro vulgato ἀπαρασκεύων. Atque ἀκατασκεύων multo aptius videtur de turbato ordine rerum *domesticarum*, quum contra ἀπαρασκεύων defectum significet copiarum, quas paratas esse oportet contra conatus externorum. Idem est, quod Alexander ipse apud *Lucianum* Dialogg. Mortt. XII. sic exprimit: τεταραγμένην ἀρχὴν κατέσχον. De re Cf. *Diodor. Sic.* XVII. 2. unde apparebit hunc καιρὸν non tam opportunum fuisse, quam fingit Æschines.

τῷ αὑτοῦ τρόπῳ] Unus Bekkeri codex et duo ex correctione habent τῷ σαυτοῦ τρόπῳ. Ego retinui ceterorum codicum lectionem. Assentior enim *Hermanno* ad Soph. Trach. 451. qui monet αὑτοῦ initio poetarum et in his tragicorum licentia de prima secundaque persona dictum esse, inde paullatim in communem usum venisse, ac primo in plurali, ne opus esset ἡμῶν αὐτῶν, ὑμῶν αὐτῶν dicere. Nos ex Demosthene satis multa attulimus in Demosth. p. 71.

163. καιροὶ κάλλιστοι] Infensum scilicet regi animum non factis probandi, sed verbis.

εἰς τὴν Ἀσίαν διέβη] Primum non Alexander ipse trajecit, sed Attalum et Parmenionem misit. Quæ vero quis per alios fieri jubebat, ea non solum poetæ, sed etiam oratores tribuunt jubenti.

ῥητορικὴν δειλίαν—οὐκ ἀναμένει] Non exspectat, dum oratoris ignavia in animositatem ascenderit.

164. ἀπειλημμένος ἐν Κιλικίᾳ] Videtur intelligere pugnam ad Issum, Ciliciæ urbem. Ibi ingentem Darius exercitum et acerrimum equitatum congregaverat, et anceps aliquamdiu erat prœlium. Magna utrarumque partium strages facta erat; ipse etiam Alexander, cum suis Darium ipsum ejusque satellites petens, in femine sauciabatur. Tandem Persæ, quum regem ipsum trepidantem viderent, fugam capessunt. Sed quum fuga per angustias locorum fieret, mutuo semet ipsi concursu proculcant et interficiunt. Pugnam describit *Diodorus Siculus* XVII. 33 s. Vide Alexandrum personatum de hac pugna loquentem apud *Lucian.* Dialogg. Mortt. XII. 5.

ἐξηρτημένος ἐκ τῶν δακτύλων] In ἐξηρτημένος cogita de vinculis, quibus Græci colligare solebant epistolas (*Corn. Nep.* Paus. c. 4.) Hæc igitur digitis circumvoluta Demosthenes cum gravitate ostentabat quasi a locupletibus testibus, rerum conditionis optime gnaris et certum eventum indicantibus profecta.

καὶ χρυσόκερων ἀποκαλῶν καὶ κατεστέφθαι φάσκων, εἴ τι πταῖσμα συμβήσεται Ἀλεξάνδρῳ, οὐδ᾽ ἐνταῦθα ἔπραξας οὐδέν, ἀλλ᾽ εἴς τινα καιρὸν ἀνεβάλλου καλλίω. 165. ὑπερβὰς τοίνυν ἅπαντα ταῦτα ὑπὲρ τῶν νυνὶ καθεστηκότων λέξω. Λακεδαιμόνιοι μὲν καὶ τὸ ξενικὸν ἐπέτυχον μάχῃ καὶ διέφθειραν τοὺς περὶ Κόῤῥαγον στρατιώτας, Ἠλεῖοι δ᾽ αὐτοῖς συμμετεβάλοντο καὶ Ἀχαιοὶ πάντες πλὴν Πελληναίων καὶ Ἀρκαδία πᾶσα πλὴν Μεγάλης πόλεως, αὕτη δὲ ἐπολιορκεῖτο καὶ καθ᾽ ἑκάστην ἡμέραν ἐπίδοξος ἦν ἁλῶναι, ὁ δ᾽ Ἀλέξανδρος ἔξω τῆς ἄρκτου καὶ τῆς οἰκουμένης, ὀλίγου δεῖν, πάσης μεθειστήκει, ὁ δὲ Ἀντίπατρος πολὺν χρόνον συνῆγε στρατόπεδον, τὸ δ᾽ ἐσόμενον ἄδηλον ἦν. ἐνταῦθ᾽ ἡμῖν ἀπόδειξιν ποίησαι, ὦ Δημόσθενες, τί ποτ᾽ ἦν ἃ ἔπραξας καὶ τί ποτ᾽ ἦν ἃ ἔλεγες·

*περιῄεις*] *Lobeck.* ad Phryn. p. 237. hanc formam dubiam esse existimat. Sed quum eam MSS. omnes teneant, quumque eadem pluribus locis ab omnibus codd. firmetur, cum Bekkero eam retinui, quum præsertim similes formæ, in quibus Atticos *θα* apposuisse affirmant Grammatici, apud oratores inveniantur sine lectionis varietate, ut *ᾔδεις* *Isæus* p. 42. *εἰ ᾔδεις ἐξ αὐτῆς.* ib. *ἢ οὐκ ᾔδεις ἐν τῇ ἐπιδικασίᾳ.* *Antiphon.* p. 712. *εὖ γὰρ ᾔδεις.*

*χρυσόκερων—καὶ κατεστέφθαι*] Per hæc vocabula significatur victima immolationi consecrata, quippe cujus cornibus aurum inducebatur et capiti corona imponebatur. Vide interpretes, imprimis Grotium, ad Acta Apost. XIV. 13. Huc pertinet oraculum, quod Pythia dedit consulenti de expeditione in regem Persarum Philippo, servatum a Diodoro Sic. XVI. 91. et Pausania VIII. 7, 4.

*ἔστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔστιν ὁ θύσων.*

*τοῦτο μὲν δὴ οὐ μετὰ πολὺ ἐδήλωσεν οὐκ ἐς τὸν Μῆδον, ἀλλὰ ἐς αὐτὸν ἔχον Φίλιππον.*

*εἴς τινα καιρὸν ἀνεβάλλου καλλίω*] Oratores Attici medium *ἀναβάλλεσθαι* usurpant ad indicandam cunctationem ac procrastinationem rerum eam, quæ fit ex desidia et languore, activum autem *ἀναβάλλειν* ratione hominum, quos de industria retinemus, aut vero malitiose retardamus, dein etiam ratione rerum, quarum eventum consilio malo reprimimus. Nostro loco autem est *ex ignavia rem rejicere.*

165. *Λακεδαιμόνιοι μὲν καὶ τὸ ξενικὸν ἐπέτυχον μάχῃ*] Per *τὸ ξενικόν* h. l. forsitan intelliguntur copiæ, quæ post pugnam ad Issum amissam ex Persarum exercitu, ipso instigante Dario, in Peloponnesum trajecerant, seditionem hujus regionis adjuturæ. Primum Lacedæmonii *ἐπέτυχον μάχῃ*, *prospere res iis cessit*, et pessum dederunt milites, quorum dux erat *Κόῤῥαγος.* Dubitant interpretes, utrum *Κόῤῥαγος* sit nomen ducis an castelli, nec antiquitas unum alterumve decernit. Mihi videtur ducis nomen esse, quum addita sit præpositio *περί.* Nam *στρατιῶται περί τινα* sunt copiæ sub alicujus imperio militantes. Corragus autem is fuisse videtur, qui primum Antipatri agmen ducebat.

*Ἠλεῖοι*] populus Peloponnesi parum bellicosus, qui calliditate suam plerumque salutem et utilitatem quærebat.

*Μεγάλης πόλεως*] Post pugnam Leuctricam Epaminondas oppidula Arcadum in unam novam urbem conjunxit, quæ molesta esset Lacedæmoniis, Ol. CII. 2. Exstructio erat perfecta Ol. CIII. 1. Quadraginta *κῶμαι* eo confluxere, teste *Diodoro* XV. 70. *Μεγάλη πόλις* Atticis dicitur; seriori demum tempore *Μεγαλόπολις* nominari cœpit, ut eam appellant Romani.

*ἐπίδοξος ἦν ἁλῶναι*] Miror aoristum post *ἐπίδοξος* neminem tentasse. Eum autem satis munivit *Lobeck.* ad Phrynichum p. 132 s. Cf. Excurs. VIII. ad Lys.

*τί ποτ᾽ ἦν ἃ ἔλεγες*] Marklandus conjecit *ὅ*, quo non opus. Nam post *τί* plerumque ponitur pluralis relativi, quanquam in eo sæpe offenderunt viri docti et librarii, et vel *τίνα* reposuerunt vel *ὅ*. Vide *Heindorf.* ad Plat. Gorg. § 136.

καὶ εἰ βούλει, παραχωρῶ σοι τοῦ βήματος, ἕως ἂν εἴπῃς. 166. ἐπειδὴ δὲ σιγᾷς, ὅτι μὲν ἀπορεῖς, συγγνώμην ἔχω σοι, ἃ δὲ τότ' ἔλεγες, ἐγὼ νυνὶ λέξω. οὐ μέμνησθε αὐτοῦ τὰ μιαρὰ καὶ ἀπίθανα ῥήματα, ἃ πῶς ποθ' ὑμεῖς, ὦ σιδήρεοι, ἐκαρτερεῖτε ἀκροώμενοι; ὅτ' ἔφη παρελθὼν "ἀμπελουργοῦσί τινες τὴν πόλιν, ἀνατετμήκασί τινες τὰ κλήματα τοῦ δήμου, ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμάτων, φορμοῤῥαφούμεθα ἐπὶ τὰ στενά, τινὲς πρῶτον ὥσπερ τὰς βελόνας διείρουσι." 167. ταῦτα δὲ τί ἐστιν, ὦ κίναδος; ῥήματα, ἢ θαύματα; καὶ πάλιν ὅτε κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος ἔλεγες

167. *ὦ κίναδος*] Sic quattuor Bekkeri codd. pro vulgato *ὦ κίναιδος*. Hæc vocabula et genere et significatione sunt diversa. *Κίναιδος, ὁ, ἀρσενικῶς ὁ πόρνος. κίναδος, τὸ, οὐδετέρως θηρίον τι, οὗ τὸ δέρμα εἰς περικεφαλαίας κατασκευὴν ἐπεποίητο. Σικελιῶται δὲ τὸ κίναδος ἀλώπεκα ἐκάλουν.* Unus locus, quo affertur *κίναδος* genere masculino, *Theocrit.* V. 25. *καὶ πῶς, ὦ κίναδ', εὖ τάδε γ' ἔσσεται ἐξ ἴσου ἄμμιν*; videtur corruptus et scribendum uno vocabulo *κιναδεῦ*, tanquam Doricum. Græcis est convicium usitatum.

166. *ὦ σιδήρεοι*] *Phrynich.* p. 207. *χρύσεα, ἀργύρεα, χάλκεα, κυάνεα, ταῦτα Ἰακά. Χρὴ οὖν λέγειν χρυσᾶ, ἀργυρᾶ, χαλκᾶ, κυανᾶ τὸν Ἀττικίζοντα.* Quanquam vero cetera ubique contracta habet Æschines, hoc *σιδήρεοι* tamen, quod apud eum hoc uno loco legitur, et ab omnibus codicibus firmatur, et *Lobeckius* ad Phrynichum et *Bekkerus* in editione recte, opinor, toleravit. Ceterum *σιδήρεος*, ut Latinorum *ferreus*, hominem significat durum, qui nulla re afficitur, callum obduxit.

*ἀμπελουργοῦσι*] Tropus, cujus nullum in Demosthenis scriptis vestigium, a cultura vitium desumptus. Et *ἀμπελουργεῖν* totum quidem vinitoris opus complectitur, cujus tamen præcipua laus versatur in sollertia vitium putandarum, *ἐν τῷ ἀνατέμνειν τὰ κλήματα.* Qui vero inscite opus hoc perficiunt, incrementum impediunt vitium, aut eas prorsus destruunt. Sic tropice hæc verba intelligenda: "Sunt qui barbarorum vinitorum instar civitatem putandam susceperunt, et ut illi bonarum vitium palmites dissecant, sic hi fortes cives et patriæ amantes exterminant et dejiciunt."

*ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμάτων*] *τὰ νεῦρα τῶν πραγμάτων* sunt *χρήματα καὶ σύμμαχοι.* Cf. *Pollux* II. 234. Fortasse nostrum locum respexit *Cicero* de lege agrar. c. Rullum 33, 91. fin. *nervis urbis omnibus exsectis, urbem ipsam solutam et debilem relinquunt.* Cf. interpretes ad Gregor. Cor. p. 53.

*φορμοῤῥαφούμεθα ἐπὶ τὰ στενά, τινὲς πρῶτον ὥσπερ τὰς βελόνας διείρουσι*] Hunc locum desperatissimum esse conclamant viri docti. Difficilem esse ejus interpretationem verum est, nec mirum, quum locutiones hæ tanquam portenta loquendi afferantur. *Φορμοῤῥαφεῖν* est *stoream consuere. To make a wicker-basket.* Quomodo passivum *φορμοῤῥαφεῖσθαι* accipiendum sit, videtur innui addito *ἐπὶ τὰ στενά,—ἐπὶ τὰ στενὰ ἐμπίπτειν ὥσπερ ἂν εἴ τις εἰς φορμὸν ἐγκλείοιτο*: *tantis angustiis premi, ut si quis in stoream fuerit inclusus.* *Πρῶτον*, *prius quam includunt*, *ὥσπερ τὰς βελόνας διείρουσι.* Sensus est: Non solum angustia loci premimur, verum etiam quasi acubus pungimur. *Wunderlich.* ex MSS. vestigiis in mentem venit legendum esse *τινὲς πρωκτὸν τὸν Ἀθηναίων ὥσπερ ταῖς βελόναις διείρουσι.* Non id, inquit, agendum esse censeo, ut *ἀηδία* illa, quam et verba reliqua Demostheni tributa arguunt, et quam supra § 72. acerbe vituperaverat Æschines, conjectando molliatur vel tollatur.

167. *ῥήματα, ἢ θαύματα*] Hunc locum respiciens *Cicero* Or. VIII. 26. *In hoc ipso* (Demosthene), inquit, *diligenter examinante verborum omnium pondera, reprehendit Æschines quædam et exagitat, illudensque dira, odiosa, intolerabilia esse dicit. Quin etiam quærit ab ipso, quum quidem eum belluam appellet, utrum illa verba an portenta sint: ut Æschini ne Demosthenes quidem videatur Attice dicere.*

*κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος*] Non præ gaudio, uti faciunt pueri lætitia subacti, sed ostentationis

ὡς ἀντιπράττων Ἀλεξάνδρῳ "ὁμολογῶ τὰ Λακωνικὰ συστῆσαι, ὁμολογῶ Θετταλοὺς καὶ Περραιβοὺς ἀφιστάναι." σὺ γὰρ ἂν κώμην ἀποστήσαις; σὺ γὰρ ἂν προσέλθοις μὴ ὅτι πρὸς πόλιν, ἀλλὰ πρὸς οἰκίαν, ὅπου κίνδυνος πρόσεστιν; ἀλλ' εἰ μέν που χρήματα ἀναλίσκεται, προσκαθιζήσει, πρᾶξιν δὲ ἀνδρὸς οὐ πράξεις· ἐὰν δ' αὐτόματόν τι συμβῇ, προσποιήσῃ καὶ σαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις· ἂν δ' ἔλθῃ φόβος τις, ἀποδράσῃ· ἐὰν δὲ θαρρήσωμεν, δωρεὰς αἰτήσεις καὶ χρυσοῖς στεφάνοις στεφανοῦσθαι.

168. Ναί, ἀλλὰ δημοτικός ἐστιν. ἐὰν μὲν τοίνυν πρὸς τὴν εὐφημίαν αὐτοῦ τῶν λόγων ἀποβλέπητε, ἐξαπατηθήσεσθε ὥσπερ καὶ πρότερον, ἐὰν δ' εἰς τὴν φύσιν καὶ τὴν ἀλήθειαν, οὐκ ἐξαπατηθήσεσθε. ἐκείνως δὲ ἀπολάβετε παρ' αὐτοῦ τὸν λόγον. ἐγὼ μὲν μεθ' ὑμῶν λογιοῦμαι ἃ δεῖ ὑπάρξαι ἐν τῇ φύσει τῷ δημοτικῷ ἀνδρὶ καὶ σώφρονι, καὶ πάλιν ἀντιθήσω

προσκαθιζήσει] Sic Bekkerus ex Lobeckii conjectura ad Phryn. p. 269. pro vulgato προσκαθεσθήσῃ, de quo Phrynichus l. l. ἐκαθέσθη, καθεσθείς, καθεσθήσομαι καὶ τὰ πληθυντικὰ καθεσθήσονται ἔκφυλα. Λέγε οὖν καθέζομαι, καθεδοῦμαι, καθεδεῖται, καθεδοῦνται, καθεδούμενος. Unus codex habet προσκαθεδίζεις εἰς et tres προσκαθεδίζειν εἰς: qua varietate probabilis fit Lobeckii emendatio.

δωρεὰς αἰτήσεις καὶ χρυσοῖς στεφάνοις στεφανοῦσθαι] Quattuor codices Bekkeri pro στεφανοῦσθαι scribunt ἀξιώσεις στεφανοῦσθαι. Librarii videntur offendisse in constructionis variatione, quum αἰτήσεις primo constructum sit cum accusativo substantivi, dein cum infinitivo verbi. Sed interdum sic antiqui variant. De variatione constructionis vide quæ habet et laudat *Ruhnkenius* ad Rut. Lup. p. 95 sq.

168. ἐὰν—ἀποβλέπητε] Tres Bekkeri codices ἀποβλέψητε: qui aoristus quum cum conjunctione ἐάν similibusque junctus vim habeat futuri exacti, et in apodosi sequatur futurum indicativi, forsitan præferendus est.

gratia, quasi dicat: Ecce *ego*, qui hoc unus perfecerim, ecce iterum.

Περραιβοὺς] *Perrhæbi* regionem tenebant in septentrionali parte Helladis a flumine Peneo; et posteriore tempore Thessalis adjungebantur.

μὴ ὅτι] Μή est ellipticum. Idem est ac si dixisset: μὴ εἴπω ὅτι. Cf. de hac locutione *Bosii* Ell. p. 775. Schæf.

προσκαθιζήσει] Tropus, qui est in καθίζεσθαι, sumtus a palæstra et athletarum certamine, quum duobus certantibus assidebat tertius, ἔφεδρος, qui, certamine duorum finito, cum victore congrediebatur, cujus vires priori certamine erant defatigatæ. Possis igitur vertere *insidiari*.

ἐὰν δ' αὐτόματόν τι συμβῇ] Συμβαίνει vocabulum est medium et nexu aut addita determinatione in bonam vel malam partem definitur. Ἄν τι συμβαίνῃ absolute positum est euphemismus, similis Latino *si quid acciderit*. Hoc loco αὐτόματον indicat id sensu bono accipiendum esse: *si quid casu, forte fortuna obtigerit*.

προσποιήσῃ] Προσποιεῖσθαι est in genere *sibi acquirere, quod non oportet, sibi arrogare*, cum qua sæpe conjuncta est vel *simulandi* vel *mentiendi* significatio.

σαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις] Ἐπιγράφειν ἐπί phrasis est propria eorum, qui honoris caussa nomina inscribunt in donaria; hinc tropica significatio eadem, quam explicuimus ad verbum προσποιεῖσθαι. Possit etiam sumtum esse de nominis inscriptione ejus, qui ψήφισμα tulerit, ut hoc significetur, Demosthenem re aliqua bene gesta ejus eventum secundum sibi tribuere solitum, nomine suo decreto clam inscripto.

ποῖόν τινα εἰκός ἐστιν εἶναι τὸν ὀλιγαρχικὸν ἄνθρωπον καὶ φαῦλον· ὑμεῖς δ' ἀντιθέντες ἑκάτερα τούτων θεωρήσατ' αὐτὸν μὴ ὁποτέρου τοῦ λόγου, ἀλλ' ὁποτέρου τοῦ βίου ἐστίν. 169. οἶμαι τοίνυν ἅπαντας ἂν ὑμᾶς ὁμολογήσειν τάδε δεῖν ὑπάρξαι τῷ δημοτικῷ, πρῶτον μὲν ἐλεύθερον αὐτὸν εἶναι καὶ πρὸς πατρὸς καὶ πρὸς μητρός, ἵνα μὴ διὰ τὴν περὶ τὸ γένος ἀτυχίαν δυσμενὴς ᾖ τοῖς νόμοις, οἳ σώζουσι τὴν δημοκρατίαν, δεύτερον δ' ἀπὸ τῶν προγόνων εὐεργεσίαν τινὰ αὐτῷ πρὸς τὸν δῆμον ὑπάρχειν, ἤ, τό γ' ἀναγκαιότατον, μηδεμίαν ἔχθραν, ἵνα μὴ βοηθῶν τοῖς τῶν προγόνων ἀτυχήμασι κακῶς ἐπιχειρῇ ποιεῖν τὴν πόλιν. 170. τρίτον σώφρονα καὶ μέτριον χρὴ πεφυκέναι αὐτὸν πρὸς τὴν καθ' ἡμέραν δίαιταν, ὅπως μὴ διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης δωροδοκῇ κατὰ τοῦ δήμου, τέταρτον εὐγνώμονα καὶ δυνατὸν εἰπεῖν· καλὸν γὰρ τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα, τὴν δὲ παιδείαν τὴν τοῦ ῥήτορος καὶ τὸν λόγον πείθειν τοὺς ἀκούοντας· εἰ δὲ μή, τήν γ' εὐγνωμοσύνην ἀεὶ προτακτέον τοῦ λόγου. πέμπτον ἀνδρεῖον εἶναι τὴν ψυχήν, ἵνα μὴ παρὰ τὰ δεινὰ καὶ τοὺς κινδύνους ἐγκαταλίπῃ τὸν δῆμον. τὸν δ' ὀλιγαρχικὸν πάντα δεῖ τἀναντία τούτων ἔχειν· τί γὰρ δεῖ πάλιν διεξιέναι; σκέψασθε δὴ τί τούτων ὑπάρχει Δημοσθένει· ὁ δὲ λογισμὸς ἔστω ἐπὶ πᾶσι δικαίοις.

169. ἅπαντας ἂν ὑμᾶς ὁμολογήσειν] Bekkerus ex quattuor codicibus ejusdem familiæ edidit ὁμολογῆσαι. Ἄν cum futuro interdum jungi nondum dubitare possum. Alibi aptior erit de hac re disserendi locus.

168. φαῦλον] Ut δημοτικῷ ἀνδρί explicativum σώφρονι addidit, sic τὸν ὀλιχαργικόν explicat per φαῦλον, qui idem est cum κακῷ, δολίῳ. Ut enim οἱ ὀλιχαργικοὶ ex natura rei proni sunt ad superbiam et importunitatem, sic Atheniensibus, δημοκρατίας, ne dicam ὀχλοκρατίας, studiosissimis, ὀλιχαργικὸς et φαῦλος idem erat.

169. βοηθῶν τοῖς τῶν προγόνων ἀτυχήμασι] Vindicans ea, quæ, ut opinatur, injuste passi sunt majores. De vi τοῦ βοηθεῖν vide supra § 109.

170. διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης] Ἀσέλγεια h. l. improba facta et lasciviam ut caussam profusionis notat, *per profusionem ex lascivia natam, per sumtus libidinosos.*

τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα cet.] Τὴν διάνοιαν est subjectum; τὴν διάνοιαν τοῦ ῥήτορος, *consilium, probitatem oratoris*, ut in altero membro τὴν δὲ παιδείαν τὴν τοῦ ῥήτορος καὶ τὸν λόγον, quæ per ἓν διὰ δυοῖν dicta sunt pro τὸν πεπαιδευμένον λόγον vel τὸν λόγον πεπαιδευμένου ῥήτορος, *a well-formed style, the display of a well-taught speaker.*

παρὰ τὰ δεινὰ καὶ τοὺς κινδύνους] Παρά cum accusativo sæpe temporis notionem habet et singula rerum momenta exprimit vertique potest h. l. *in ipsis periculis*, momento periculi. Subtiliter præpositionem illustravit *Buttmannus* in Ind. Orat. in Mid. s. v.

ἐπὶ πᾶσι δικαίοις] Toupius conjecit δίκαιος, ut adjectivum referatur ad λογισμός, quam conjecturam merito vanam

171. Τούτῳ πατὴρ μὲν ἦν Δημοσθένης ὁ Παιανιεύς, ἀνὴρ ἐλεύθερος· οὐ γὰρ δεῖ ψεύδεσθαι· τὰ δ' ἀπὸ τῆς μητρὸς καὶ τοῦ πάππου τοῦ πρὸς μητρὸς πῶς ἔχει αὐτῷ; ἐγὼ φράσω. Γύλων ἦν ἐκ Κεραμέων. οὗτος προδοὺς τοῖς πολεμίοις Νύμφαιον τὸ ἐν Πόντῳ, τότε τῆς πόλεως ἐχούσης τὸ χωρίον τοῦτο, φυγὰς ἀπ' εἰσαγγελίας ἐκ τῆς πόλεως ἐγένετο, θανάτου καταγνωσθέντος αὐτοῦ, τὴν κρίσιν οὐχ ὑπομείνας, καὶ ἀφικνεῖται εἰς Βόσπορον, κἀκεῖ λαμβάνει δωρεὰν παρὰ τῶν τυράννων τοὺς ὠνομασμένους Κήπους, 172. καὶ γαμεῖ γυναῖκα πλουσίαν μέν, νὴ Δία, καὶ χρυσίον ἐπιφερομένην πολύ, Σκύθιν δὲ τὸ γένος, ἐξ ἧς γίγνονται αὐτῷ θυγατέρες δύο, ἃς ἐκεῖνος δεῦρο μετὰ πολλῶν χρημάτων ἀποστείλας συνῴκισε τὴν μὲν ἑτέραν ὁτῳδήποτε, ἵνα μὴ πολλοῖς ἀπεχθάνωμαι· τὴν δ'

171. *πῶς ἔχει αὐτῷ; ἐγὼ φράσω*] Interrogandi signum, quod vulgo deest, apposuit Bekkerus. Et gravior quidem est ista separatio enuntiationum. Hoc imprimis faciendum, quum responsio sit *ἐγὼ φράσω, ἐγὼ ἐρῶ, ἐγὼ διδάξω*: quod solet esse hominis gravitatem affectantis, ut monuit *Wyttenbach.* ad Plutarchi Moralia p. 94. Oxon. Infra § 197. *τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι; ἐγὼ λέξω.* § 201. *τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ ἐρῶ.* *Demosth.* Περὶ Στεφ. p. 233. *τί δὲ τοῦτ' ἠδύνατο, ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ διδάξω.*

appellat *F. A. Wolfius* ad Leptin. p. 308. Nam *ἐπί* sæpe *conditionem* notat et *ἐπὶ πᾶσι δικαίοις* est *sub ea conditione, ut veritas plane observetur, convenienter æquitati, veritati. Demosthen.* Leptin. p. 79. Wolf. *ὡς ἀληθῶς ἐπὶ πᾶσι δικαίοις ποιούμεθα τοὺς λόγους.* Κατὰ Στεφ. ψευδομ. B. p. 1134. *ἣν ἂν ἐγγυήσῃ ἐπὶ δικαίοις*, conditione ea, ut fruatur juribus legitimæ uxoris.

171. *ἐκ Κεραμέων*] *Harpocration:* Κεραμεῖς δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος, ὥς φησι Διόδωρος. Φησὶ δὲ Φιλόχορος ἐν τῇ τρίτῃ εἰληφέναι τούτους τοὔνομα ἀπὸ τῆς κεραμεικῆς τέχνης, καὶ τοῦ θύειν Κεράμῳ τινὶ ἥρωϊ. Fortasse duplex erat δῆμος hoc nomine appellatus, ut duo erant Κεραμεικοί, alter intra urbem, alter extra eam, ubi sepeliebantur et celebrabantur ii, qui in bello ceciderant.

*Νύμφαιον τὸ ἐν Πόντῳ*] *Steph. Byz.* s. v. Νύμφαιον, πόλις Ταυρική (urbs Chersonesi Tauricæ) μεταξὺ Παντικαπαίου τῆς μητροπόλεως καὶ Θεοδοσίας, ὥς φησι Στράβων. Locus Strabonis, quem respicit, est L. VII. 4, 4. p. 309. Cas. *Harpocrat.* s. v. addit: Κρατερὸς δὲ ἐν ἐννάτῃ τῶν ψηφισμάτων φησὶν, ὅτι Ἀθηναίοις τὸ Νύμφαιον ἐτέλει τάλαντον.

*φυγὰς—ἐγένετο—τὴν κρίσιν οὐχ ὑπομείνας*] Nempe reorum cuique licebat *ἐν αὐτῇ τῇ δίκῃ* e patria excedere; sin vero accusator persisteret in accusatione et judicium reum condemnaret, *φυγὰς ἐγένετο ὁ τὴν δίκην οὐχ ὑπομείνας*, i. e. nunquam ei redire in patriam licebat.

*εἰς Βόσπορον*] *Βόσπορος* urbs Ponti ad fretum lacus Mæotidis, quod in Pontum Euxinum tendit. Non diversam esse hanc urbem a Panticapæo ostendit F. A. *Wolfius* ad Demosth. Leptin. p. 255.

*παρὰ τῶν τυράννων*] "Omnem horum regulorum seriem nuperrime pertexuit St. Allais, l'Art de vérifier les Dates avant l'ère Chrêtienne. Paris, 1819. T. III. p. 28." *Orellius.*

*τοὺς ὠνομασμένους Κήπους*] *Harpocrat.* Κῆποι (ut recte Valesius scribit pro Κῆπος) πόλις ἐστὶ κατὰ Βόσπορον. *Diodorus Sic.* XX. 24. *φυγὼν εἰς τοὺς καλουμένους Κήπους.* Urbs erat haud exigua, ab hortis amœnis appellata, Milesiorum colonia. *Harduinus* ad Plin. Hist. Nat. VI. 6.

172. *χρυσίον ἐπιφερομένην πολὺ*] Ἐπιφέρεσθαι de uxore dotem ferente habuimus in *Lysiæ* pro bonis Aristophan. § 14. Hinc patet minime opus esse contra libros cum Wolfio scribere *εἰσφερομένην.*

*ὁτῳδήποτε*] Non nemini, cujus nomen non afferam. Ejus tamen nomen cognoscimus ex ipso *Demosth.* Κατὰ Ἀφόβου

ἑτέραν ἔγημε παριδὼν τοὺς τῆς πόλεως νόμους Δημοσθένης ὁ Παιανιεύς, ἐξ ἧς ὑμῖν ὁ περίεργος καὶ συκοφάντης γεγένηται Δημοσθένης. οὐκοῦν ἀπὸ μὲν τοῦ πάππου τοῦ πρὸς μητρὸς πολέμιος ἂν εἴη τῷ δήμῳ, θάνατον γὰρ αὐτοῦ τῶν προγόνων κατέγνωτε, τὰ δ' ἀπὸ τῆς μητρὸς Σκύθης βάρβαρος ἑλληνίζων τῇ φωνῇ· ὅθεν καὶ τὴν πονηρίαν οὐκ ἐπιχώριός ἐστι.+ 173. περὶ δὲ τὴν καθ' ἡμέραν δίαιταν τίς ἐστιν; ἐκ τριηράρχου λογογράφος ἀνεφάνη, τὰ πατρῷα καταγελάστως προέμενος· ἄπιστος δὲ καὶ περὶ ταῦτα δόξας εἶναι καὶ τοὺς λόγους ἐκφέρων τοῖς ἀντιδίκοις ἀνεπήδησεν ἐπὶ τὸ βῆμα· πλεῖστον δ' ἐκ τῆς πολιτείας εἰληφὼς ἀργύριον ἐλάχιστα περιεποιήσατο. νῦν μέντοι τὸ βασιλικὸν χρυσίον ἐπικέκλυκε τὴν δαπάνην αὐτοῦ, ἔσται δ' οὐδὲ τοῦθ' ἱκανόν· οὐδεὶς γὰρ πώποτε πλοῦτος τρόπου πονηροῦ περιεγένετο. καὶ τὸ κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται, ἀλλ' ἐκ τῶν ὑμετέρων κινδύνων. 174. περὶ δ' εὐγνωμοσύνην καὶ λόγου δύναμιν πῶς πέφυκε; δεινῶς λέγειν, κακῶς βιῶναι. οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυτοῦ σώματι καὶ παιδοποιΐᾳ,

A. p. 818. Δημοχάρης δὲ ὁ Λευκονεύς, ὁ τὴν τηθίδα τὴν ἐμὴν ἔχων. p. 836. Δημοχάρης, ἔχων τὴν ἀδελφὴν τῆς ἐμῆς μητρός, θυγατέρα δὲ Γύλωνος. Quæ de eo ex antiquitate narrantur, collegit *Ruhnkenius* ad Rutil. Lupum p. 7. ss. Scripsit orationes aliquot et historiam rerum.

*παριδὼν τοὺς τῆς πόλεως νόμους*] Quæ jubebant *γαμεῖν ἀστήν*; et *ἀστῆς* tantum uxoris liberi erant *γνήσιοι*. Mulieres enim peregrinæ inhonestæ atque meretrices habebantur. Habemus legem severam apud auctorem orationis Demosthenicæ Κατὰ Νεαίρ. p. 1363. } Alia lex, quæ ostendit, qua severitate cuncta ad hoc genus pertinentia Athenienses tractaverint, legitur ibidem p. 1350.

*τῶν προγόνων*] Pluralis positus est ratione sententiæ. Proprie unus respicitur avus Gylon.

173. *λογογράφος — ἀνεπήδησεν ἐπὶ τὸ βῆμα*] *Ammonius*: *Λογογράφος καὶ Λογοποιὸς διαφέρει. Λογογράφος μὲν γάρ ἐστιν ὁ τοὺς δικανικοὺς λόγους γράφων* (sc. *μισθοῦ ἕνεκα*), *Λογοποιὸς δὲ ὁ λόγους τινὰς καὶ μύθους συντιθείς*. Macula hæsit interdum in utroque. Cf. *Valesium* ad Harpocr. p. 304. Hoc loco oppositio est inter *λογογράφον* et *τὸν ἐπὶ τὸ βῆμα ἀναβαίνοντα*, ut hyperbolicum vocabulum *ἀναπηδᾶν* vulgari vocabulo exprimam. *Λογογράφος* igitur etiam hic est caussidicus, qui orationes judiciales vel ipse habet, vel scriptas aliis tradit; *ὁ ἀναβαίνων ἐπὶ τὸ βῆμα*, qui suggestum ascendit tanquam demagogus, orator et consultor in rebus publicis. *Ἐκ τριηράρχου*, quum ex ditissima classe fuisset eorum, quibus ob divitias munus trierarchiæ injunctum erat. Cf. *F. A. Wolfii* Prolegom. in Leptin. p. C. et ss.

*καταγελάστως*] H. l. i. q. *ἀσελγῶς*, *per voluptates libidinosas.*

*ἐπικέκλυκε*] Locum hunc laudat *Diodorus Sic.* XVII. 4. *Ἐπικλύζειν* quidem tropice de pecuniis sæpe dicitur, quæ abunde affluunt, ut patet ex exemplis, quæ attulit Wesselingius l. l. *Suidas* s. v. *ἐπικλύσασα*: *ἐπιδαψιλεύσασα*. *Τὸ βασιλικὸν χρυσίον* est aurum a rege Persarum datum, ut Macedonum consiliis obsisteret.

174. *πῶς πέφυκε; δεινῶς λέγειν, κακῶς βιῶναι*] Brachylogice hoc dictum ita intelligendum: *πῶς πέφυκεν; οὕτως ὥστε δεινῶς λέγειν, οἷος δεινῶς λέγειν.*

*παιδοποιΐᾳ*] Apparet Æschinem ex obliquo Demostheni objicere procreationem liberorum ex *ἑταίραις*.

ὥστ' ἐμὲ μὴ βούλεσθαι λέγειν ἃ τούτῳ πέπρακται· ἤδη γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ τῶν πλησίον αἰσχρὰ λίαν σαφῶς λέγοντας. ἔπειτα τί συμβαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοί, τὰ δ' ἔργα φαῦλα. 175. πρὸς δὲ ἀνδρίαν βραχύς μοι λείπεται λόγος. εἰ μὲν γὰρ ἠρνεῖτο μὴ δειλὸς εἶναι, ἢ ὑμεῖς μὴ συνῄδειτε αὐτῷ, διατριβὴν ὁ λόγος ἄν μοι παρεῖχεν· ἐπειδὴ δὲ καὶ αὐτὸς ὁμολογεῖ ἐν ταῖς ἐκκλησίαις, καὶ ὑμεῖς σύνιστε, λοιπὸν ὑπομνῆσαι τοὺς περὶ τούτων κειμένους νόμους. ὁ γὰρ Σόλων, ὁ παλαιὸς νομοθέτης, ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν ἀστράτευτον καὶ τὸν λελοιπότα τὴν τάξιν καὶ τὸν δειλὸν ὁμοίως· εἰσὶ γὰρ καὶ δειλίας γραφαί. καίτοι θαυμάσειεν ἄν τις ὑμῶν, εἰ εἰσὶ φύσεως γραφαί. εἰσίν. τίνος ἕνεκα; ἵν' ἕκαστος ἡμῶν, τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος μᾶλλον ἢ τοὺς πολεμίους, ἀμείνων ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος ὑπάρχῃ. 176. ὁ μὲν τοίνυν νομοθέτης τὸν ἀστράτευτον καὶ τὸν δειλὸν καὶ τὸν λιπόντα τὴν τάξιν ἔξω τῶν περιῤῥαντηρίων τῆς ἀγορᾶς ἐξείργει, καὶ οὐκ ἐᾷ στεφανοῦσθαι οὐδ' εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ· σὺ δὲ τὸν ἀστεφάνωτον ἐκ τῶν νόμων κελεύεις ἡμᾶς στεφανοῦν, καὶ τῷ σαυτοῦ ψηφίσματι τὸν οὐ προσήκοντα εἰσκαλεῖς τοῖς τραγῳδοῖς εἰς τὴν ὀρχήστραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου τὸν τὰ ἱερὰ διὰ δειλίαν προδεδωκότα.

Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε, ὅταν φῇ δημοτικὸς εἶναι. θεωρεῖτ' αὐτοῦ μὴ τὸν

175. εἰσίν] Sic scripsit Bekkerus nulla notata varietate. Quum id cum suorum codicum auctoritate fecisse existimem, id retinui.

175. τὸν ἀστράτευτον] Cf. supra in Lysiæ oratione Κατὰ Ἀλκιβ. λειποτ. § 7. qui commentarii loco erit. Ceterum ὁμοίως jungendum cum ἐνέχεσθαι.

176. ἔξω τῶν περιῤῥαντηρίων] Sunt cancelli, intra quos nemini ἀτίμῳ intrare licebat. Nomen habebant, quod subsellia, quibus sedebant cives, porcellorum, qui post in mare abjiciebantur, sanguine aspergebantur. Cf. G. Fr. *Schœmann.* de Comit. L. I. c. 8. Quod si quis, unius trium horum criminum convictus, legi non obtemperabat, rapiebatur ab Undecimviris ad Heliastarum tribunal, ut ei pœna aut multa irrogaretur.

τὰ ἱερὰ τὰ δημοτελῆ] *Harpocration:* δημοτελῆ καὶ δημοτικὰ ἱερὰ διέφερον ἀλλήλων. *Bekkeri* Anecdd. p. 240. τὰ μὲν δημοτελῆ θύματα ἡ πόλις δίδωσιν, εἰς δὲ τὰ δημοτικὰ οἱ δημόται, εἰς δὲ τὰ ὀργεωνικὰ οἱ ὀργεῶνες, οἳ ἂν ὦσιν ἑκάστου τοῦ ἱεροῦ, εἰς δὲ τὰ τῶν γενέων τὰ γένη. Cf. *Boeckh.* *Staatsh.* T. I. p. 228.

τοῖς τραγῳδοῖς] "Non erat quod Reiskius ex Helmst. ἐν τοῖς τραγῳδοῖς rescriberet. Constructionem imitantur Latini. *Cicero* Philipp. I. 15, 36. *Quid enim gladiatoribus clamores innumerabilium civium?* ubi vide interpretes." *Wunderlich.* In ipsa Æschinis παρανόμων γραφῇ, quam servavit *Demosth.* Περὶ Στεφ. p. 243, legitur absolute τραγῳδοῖς καινοῖς.

λόγον, ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε μὴ τίς φησιν εἶναι, ἀλλὰ τίς ἔστιν.

177. Ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως ἔτι μέμνημαι, προλέγω ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὴ καταλύσετε τὰς ἀφθόνους ταύτας δωρεὰς καὶ τοὺς εἰκῇ διδομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται, οὔτε τὰ τῆς πόλεως πράγματα ἐπανορθωθήσεται· τοὺς μὲν γὰρ πονηροὺς οὐ μή ποτε βελτίους ποιήσετε, τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε. ὅτι δ' ἀληθῆ λέγω, μεγάλα τούτων οἶμαι σημεῖα δείξειν ὑμῖν· 178. εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε, πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε, ὅτι ἐπὶ τῶν προγόνων. ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν ἢ νυνί; τότε μὲν διαφέροντες, νυνὶ δὲ πολλῷ καταδεέστεροι. δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα καὶ σιτήσεις ἐν πρυτανείῳ πότερον τότε ἦσαν πλείους ἢ νυνί; τότε μὲν ἦν σπάνια τὰ καλὰ παρ' ἡμῖν καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· νῦν δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα, καὶ τὸ στεφανοῦν ἐξ ἔθους, ἀλλ' οὐκ ἐκ προνοίας ποιεῖσθε. 179. οὔκουν ἄτοπον οὑτωσὶ διαλογιζομένοις τὰς μὲν δωρεὰς νῦν πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε μᾶλλον ἢ νῦν ἰσχύειν, καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι, τότε

178. *σιτήσεις*] Male Reiskius ex cod. Helmst. *σιτίσεις* scripsit. Nam si de honore illo civibus præclare de republica meritis publice victum quotidianum præbendi sermo est, non adhibetur *σίτισις*. Verbum enim est *σιτεῖσθαι* et poetarum loci veritatem satis ostendunt. *Aristoph.* Ran. v. 96. *Σίτησιν αὐτὸν ἐν Πρυτανείῳ λαμβάνειν.* Infra § 196. scriptura *σιτήσεις* a nemine tentatur. Qui in perpetuum illo præmio ornati erant, *ἀείσιτοι* dicebantur; alii honoris caussa semel ad cœnam in Prytaneo invitabantur, ut legati post administratam legationem domum reversi.

179. *τότε μᾶλλον ἢ νῦν ἰσχύειν*] Bekkerus cum quattuor codicibus ejusdem familiæ vocabula *ἢ νῦν* omisit. Ego opinor grammaticum offendisse in constructione. Si enim diversorum temporum particulæ sunt in eadem enuntiatione, interque eas particula præsentis temporis, verbum plerumque in tempore præsenti ponitur. *Demosth.* Περὶ Στεφ. p. 236. *ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ πολεμεῖν.*

178. *δωρεαὶ δέ* cet.] Idem deplorat *Cornel. Nepos* Milt. VI. 2. "Ut enim populi nostri honores quondam fuerunt rari et tenues, ob eamque caussam gloriosi, nunc autem effusi et obsoleti, sic olim apud Athenienses fuisse reperimus."

*καταπέπλυται τὸ πρᾶγμα*] *Pollux* VII. 38. *πλύνειν καὶ τὸ λοιδορεῖν καὶ "πλυνόν με ποιεῖς" ἡ κωμῳδία φησὶν ἤγουν ὀνειδίζεις ἢ αἰσχύνεις. καὶ τὸ οὐδενὸς ἄξιόν τι ἀποπεφάνθαι ὁ ῥήτωρ ἔφη Αἰσχίνης.* *Aristoph.* Acharn. 379.

*Διέβαλλε καὶ ψευδῆ κατεγλώττιζέ μου*
*Κἀκυκλοβόρει κἄπλυνεν,*

ubi Scholiastes: *κατέμιξε την κωμῳδιακὴν χάριν καὶ τὰ δικαστικὰ ῥήματα. τὸ μὲν γὰρ διαβάλλειν καὶ πλύνειν εἴποι τις ἂν περὶ τα δικαστήρια ταῦτα λέγειν δεῖν· το δὲ κυκλοβορεῖν καὶ καταγλωττίζειν χαριεντίσματά ἐστι κωμῳδίας.* [Vid. *Porson.* Advers. p. 111. *Meineke* ad Menandr. p. 221.]

δ' ἀμείνους; ἐγὼ δὲ τοῦθ' ὑμᾶς ἐπιχειρήσω διδασκειν. οἴεσθ' ἄν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐθελῆσαί τινα ἐπασκεῖν εἰς τὰ Ὀλύμπια, ἢ εἰς ἄλλον τινὰ τῶν στεφανιτῶν ἀγώνων παγκράτιον, ἢ καὶ ἄλλο τι τῶν βαρυτέρων ἄθλων, εἰ ὁ στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ, ἀλλὰ τῷ διαπραξαμένῳ; οὐδεὶς ἂν ποτ' ἠθέλησεν ἐπασκεῖν. 180. νῦν δ', οἶμαι διὰ τὸ σπάνιον καὶ τὸ περιμάχητον καὶ τὸ καλὸν καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης ἐθέλουσί τινες τὰ σώματα παρακαταθέμενοι καὶ τὰς μεγίστας ταλαιπωρίας ὑπομείναντες διακινδυνεύειν. ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολιτικῆς ἀρετῆς, κἀκεῖνο ἐκλογίσασθε, ὅτι, ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς, ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθερεῖτε. 181. ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σαφέστερον ὑμᾶς βούλομαι διδάξαι. πότερον ὑμῖν ἀμείνων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς, ὁ στρατηγήσας, ὅτ' ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τὸν Πέρσην ἐνικᾶτε, ἢ Δημοσθένης, ὁ τὴν τάξιν λιπών; Μιλτιάδης δέ, ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας, ἢ οὗτος; ἔτι δ' οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες; Ἀριστείδης δ' ὁ δίκαιος ἐπικαλούμενος, ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Δημοσθένει; 182. ἀλλ' ἔγωγε μὰ τοὺς θεοὺς τοὺς Ὀλυμπίους οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον ἡγοῦμαι μεμνῆ-

οἴεσθ' ἄν ποτε—ἐθελῆσαι] Vulgo deest ἄν. Et aoristum quidem sine ἄν positum per se satis vindicavi in Excursu VIII. ad Lysiam. Hic tamen quum quinque Bekkeri codices ἄν addant et agatur de re sumta tantum, quam noveris vere nec evenisse nec esse, additum ἄν retinui.

179. παγκράτιον] *Quintil.* Institt. II. 8, 13. *Si quis exercendi corpora peritus docendum pancratiasten susceperit, non pugno ferire vel calce tantum, aut nexus modo, atque in his certos aliquos docebit, sed omnia, quæ sunt ejus certaminis.* Pugno ferire et calce erat pugilum; nexus luctatorum, συμπλοκαί; utraque pancratiastarum. Verum quum pugiles cæstibus dimicandi jus haberent, pancratiastis nonnisi pugnis non armatis videtur licuisse certare.

180. ἀγωνοθέτας] Ἀγωνοθέται et ἀθλοθέται utrique iidem sunt Atticis scriptoribus, quanquam *Moeris* p. 97. hoc solum Atticorum dicit, illud Ἑλλήνων, et quanquam interpretes nonnulli hos solum γυμνικά, illos τὰ μουσικὰ ἀκροάματα direxisse affirmant. *Pollux* VIII. 94. ἀθλοθέται δέκα μέν εἰσιν, εἷς κατὰ φυλήν. Latini *munerarios* dicunt, quo vocabulo primum Augustum usum esse testatur *Quintilian.* VIII. 3, 34, quum antea *domini ludorum* vel *editores* nominarentur.

181. Ἀριστείδης δ'] H. Wolfius Ἀριστείδης θ'. Perperam. Singula exempla in progressu enumerantur per particulam δέ, nonnunquam cum indignatione. *Demosthenes* Περὶ Παραπρ. p. 398. ἀποδοῦναι δὲ καὶ Κερσοβλέπτῃ τοὺς ὅρκους, μὴ μετέχειν δὲ τῶν ἐν Ἀμφικτύοσι, ἐπανορθώσεσθαι δὲ τὴν εἰρήνην.

σθαι τοῦ θηρίου τούτου κἀκείνων τῶν ἀνδρῶν. ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ αὑτοῦ λόγῳ, εἴ που γέγραπταί τινα τούτων τῶν ἀνδρῶν στεφανῶσαι. ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὔκ, ἀλλὰ μεγαλόφρων, κἀκεῖνοί γε οἱ μὴ τετιμημένοι τῆς πόλεως ἄξιοι· οὐ γὰρ ᾤοντο δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι, ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἣ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθάνατος οὖσα διαμένει. δωρεὰς δὲ τίνας ἐλάμβανον; ὧν ἄξιόν ἐστι μνησθῆναι.

183. Ἦσάν τινες, ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ τοὺς τότε καιρούς, οἳ πολὺν πόνον ὑπομείναντες καὶ μεγάλους κινδύνους ἐπὶ τῷ Στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδους· οὗτοι δεῦρο ἀφικόμενοι τὸν δῆμον ᾔτησαν δωρεάν, καὶ ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους Ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν, ἐφ' ᾧτε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν, ἵνα μὴ τῶν στρατηγῶν, ἀλλὰ τοῦ δήμου δοκῇ εἶναι ἐπίγραμμα. 184. ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων εἴσεσθε. ἐπιγέγραπται γὰρ ἐπὶ μὲν τῷ πρώτῳ τῶν Ἑρμῶν·

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
παισὶν ἐπ' Ἠϊόνι, Στρυμόνος ἀμφὶ ῥοάς,

182. κἀκεῖνοί γε οἱ μὴ τετιμημένοι τῆς πόλεως ἄξιοι] Taylor in Mead. repererat ἀνάξιοι. Hinc interrogative conjecit scribendum: κἀκεῖνοι δὲ—ἀνάξιοι; Quanquam vero etiam tres Bekkeri codices habeant ἀνάξιοι, non tamen videtur a vulgata lectione recedendum. Æschines enim in responsione conjungit et populum et cives de republica bene meritos, adjuncto suo alterutris prædicato. Populus enim erat μεγαλόφρων, qui non parva magnis virtutibus præmia convenire judicabat; et ii ipsi, qui non parvis præmiis honorabantur, digni erant generosa civitate. Particula autem γε huic loco aptissima. Est quod dicitur *even*. Hanc particulæ vim illustravit *Hermannus* ad Vigerum p. 826.

183. ἐπὶ τῷ Στρυμόνι] Intelligitur Cimonis expeditio in Thracia, cujus regionis flumen erat Strymon, quod cum valido exercitu cum trajicere jubebant Athenienses, ut sociis urbibus auxilium ferret et quæ Persarum adhuc præsidiis tenebantur, in libertatem vindicaret. Primum enim Eionem (Ἠϊόνα) Persarum jugo adhuc pressam dolo cepit, et terra marique pari fortuna usus est. Exponit hæc *Diodorus Sic.* XI. 60 seqq. *Plutarchus* Cim. p. 482. c. 7—10. tetigit *Thucyd.* L. I. 98. Contigerunt hæc Ol. LXXVII. 3, 4. Qui labores erant Atheniensibus tolerandi, perspicitur ex *Herod.* VII. 107.

ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν] Porticus quædam in foro, de qua *Harpocrat.* s. v. Ἑρμαῖ, Μενεκλῆς ἢ Καλλίστρατος ἐν τῷ περὶ Ἀθηναίων γράφει ταυτί. Ἀπὸ τῆς ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς (vide intpp. ad Platonis Euthyphr. 1.) εἰσὶν οἱ Ἑρμαῖ καλούμενοι. διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι καὶ ὑπὸ ἰδιωτῶν καὶ ὑπὸ ἀρχόντων, ταύτην εἰληφέναι τὴν προσηγορίαν συμβέβηκεν. Præstantium virorum laudes aliaque epigrammata Hermis inscribi solebant, quorum tria exempla noster laudat § 184 s. eademque habet *Plutarch*, in Cimone l. l. Cf. *Demosthenem* in Leptin. § 93. Wolf.

184. ἦν ἄρα cet.] Tria hæc epigrammata etiam in Anthologia Græca T. IV.

λιμόν τ' αἴθωνα κρατερόν τ' ἐπάγοντες Ἄρηα
πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

ἐπὶ δὲ τῷ δευτέρῳ·

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν
ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.

185. ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῇ·

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
ἡγεῖτο ζάθεον Τρωϊκὸν ἂμ πεδίον,
ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων
κοσμητῆρα μάχης ἔξοχον ἄνδρα μολεῖν.

184. *ἀμφὶ ξυνοῖσι πράγμασι*] In Anthologia legitur *ἀμφὶ περὶ ξύνοῖς*, quod ex Plutarcho primum venit in Brunckii Analecta. Sed quando in Homero *ἀμφὶ περί* legitur, *ἀμφί* adverbialiter positum est. Pleonasmus autem cujuscujus præpositionis nonnisi in certis formulis invenitur, ut monuit *Hermann.* ad Vigerum p. 854. *Ἀμφί* autem interdum, imprimis apud poetas, significat *quod attinet ad, ratione.* Vide *Matthiæ* Gr. Gr. § 583. *Ξυνός* videtur esse alia dialecto idem vocabulum, quod Attica pronuntiabat *κοινός*. *Wunderlich.* autem scripsit *ξυνοῖσιν*, quod hac ætate media syllaba pentametri elegiaci semper producitur, ut docuit in singulari dissertatione *Fr. Traug. Friedemannus.* Hic tamen sequens vocabulum a *πρ* incipiens tolerabilem facit codicum lectionem.

*μόχθον ἔχειν*] Plutarchus habet *δῆριν ἔχειν*. Videtur tamen laboris et molestiæ notio aptior, quam litis et contentionis.

185. *χαλκοχιτώνων*] Plutarchus habet *θωρηκτάων*, quod offert etiam Bern. et habent tres Bekkeri codices supra versum, idque recepit in editione hujus orationis Wunderlich. annotans adverbium *πύκα* unice favere lectioni *θωρηκτάων*, non vero vocabulo *χαλκοχιτώνων* convenire, atque etiam Homerum, qui sæpe *πύκα θωρηκτάων* usurpaverit, nusquam habere *πύκα χαλκοχ.* Quod quanquam concedimus, seriore tamen tempore synonymis idem adverbium addi poterat. Manuscriptos igitur codices secutus sum.

*κοσμητῆρα*] Sic Bekkeri quattuor codices. Idem suprascriptum in tribus. Vulgo legitur *κοσμήτωρα*, quod est in nullo Bekkeri codicum, nisi suprascriptum in uno. Ceteri contra metrum *κοσμήτορα*. Et in casibus obliquis Homerus ubique habet o breve. Forma quidem *κοσμητήρ* nescio an nusquam legatur; sed derivationis regulis non minus convenit quam *κοσμήτωρ*. Eadem forma est in Plutarcho et Anthologia. Versu ultimo habemus formam *κοσμητής*.

p. 148. ed. Jac. laudantur inter *ἐπιγράμματα ἀδέσποτα*. *Ἦν* pro *ἦσαν*. Uberius de hac forma exponit *Chœroboscus* Anecdd. Bekker. p. 1293. Quattuor Bekkeri codices habent glossam *ἦσαν*.

*λιμόν τ' αἴθωνα*] Apud Homerum inter alia *αἴθων* est epitheton leonis, quod alii de fulvo colore, alii de ferocia et violentia interpretantur. Quicquid est, *αἴθω* proprie habet calefaciendi notionem, et inde derivata est notio incendendi, urendi, et similes. Cf. *Ovidii* Metam. VIII. 827. *furit ardor edendi.* Adde 837 sqq. *Ez. Spanhem.* ad Callimachi H. in Cer. v. 67.

*πρῶτοι δυσμενέων*] "Primi omnium viam et rationem invenerunt, qua hostes in consilii inopiam conjicerent." *Jacobs.*

*μισθόν*] *præmium, honorem.*

185. *Μενεσθεύς*] Respicitur ad *Homeri* Il. II. 552, qui sic de Menestheo:

τῷ δ' οὔπω τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνὴρ
κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.

οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
κοσμητὰς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

ἔστι που τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ τοῦ δήμου.

186. Προσέλθετε δὴ τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην· ἁπάντων γὰρ ὑμῖν τῶν καλῶν ἔργων τὰ ὑπομνήματα ἐν τῇ ἀγορᾷ ἀνάκειται. τί οὖν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὃ ἐγὼ λέγω; ἐνταῦθα ἡ ἐν Μαραθῶνι μάχη γέγραπται. τίς οὖν ἦν ὁ στρατηγός; οὑτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες ἀποκρίναισθε ἂν ὅτι Μιλτιάδης, ἐκεῖ δὲ οὐκ ἐπιγέγραπται. πῶς; οὐκ ᾔτησε τὴν δωρεὰν ταύτην; ᾔτησεν, ἀλλ' ὁ δῆμος οὐκ ἔδωκεν, ἀλλ' ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ πρώτῳ γραφῆναι, παρακαλοῦντι τοὺς στρατιώτας. 187. ἐν τοίνυν τῷ Μητρῴῳ παρὰ τὸ βουλευτήριον, ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγοῦσιν, ἔστιν ἰδεῖν. ἦν μὲν γὰρ ὁ τὸ ψήφισμα γράψας καὶ νικήσας Ἀρχῖνος ὁ ἐκ Κοίλης, εἷς τῶν καταγαγόντων τὸν δῆμον, ἔγραψε δὲ πρῶτον μὲν αὐτοῖς εἰς θυσίαν καὶ ἀναθήματα δοῦναι χιλίας δραχμάς, καὶ τοῦτ' ἐστιν ἔλαττον ἢ δέκα δραχμαὶ κατ' ἄνδρα ἕκαστον, ἔπειτα κελεύει στεφανῶσαι θαλλοῦ στεφάνῳ αὐτῶν ἕκαστον,

186. *εἰς τὴν στοὰν τὴν ποικίλην*] *Pausanias* L. I. 15, 1. *ποικίλην ὀνομάζουσιν ἀπὸ τῶν γραφῶν*, ubi picturas, quæ inerant in hac porticu, accurate describit. *Plutarchus* Cim. p. 480. fin. tradit priore tempore eam *Πεισιανάκτειον στοάν* appellatam esse, quocum consentit *Diog. Laertius* L. VII. 5. Ab hac *στοᾷ* nomen habebant Stoici, quoniam in hac porticu Zeno docebat.

187. *ἐν—τῷ Μητρῴῳ*] *Pausanias* L. I. 3, 4. *ᾠκοδόμηται δὲ καὶ μητρὸς Θεῶν ἱερόν, ἣν Φειδίας εἰργάσατο, καὶ πλησίον τῶν πεντακοσίων καλούμενον βουλευτήριον, οἳ βουλεύουσιν ἐνιαυτὸν Ἀθηναίοις.* Ædificandi hujus templi caussa hæc traditur. Metragyrtes quidam quum in Atticam venisset mulieresque Matri deum initiasset, in barathrum eum conjecerunt Athenienses occideruntque. Ea de caussa mox orta peste, oraculum acceperunt expiandos esse interfecti manes. Ita curiam ædificaverunt eo loco, ubi eum occiderant, Matrique deum templum consecrarunt. Hoc autem templo utebantur Athenienses receptaculo tabularum publicarum et legum. Præpositus iis erat scriba publicus, et clavis erat penes epistatam.

*τοῖς ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγοῦσιν*] Notandus usus præpositionis *ἀπό* similiumque apud antiquos. Nostra ratione dicendum esset: *τοῖς ἀπὸ Φυλῆς ὁρμηθεῖσι καὶ καταγαγοῦσιν.* Sed antiqui brachylogiæ studiosi mediam notionem, unde præpositio pendeat, omittant. Vide *Matthiæ* Gr. Gr. § 596. *Rost.* Gr. Gr. § 139. 9. c. et *Haackium* ad Thucyd. II. 80 et 83.

*Ἀρχῖνος ὁ ἐκ Κοίλης*] *Κοίλη* demus Atticus, cujus tribus, ignoratur. Sponius tamen ex marmore refert eum tribus Hippothoontidis fuisse. Erat autem prope urbem, et sepulcrum ibi Thucydidis historici. *Archinum* hunc ita laudat *Demosthenes* Κατὰ Τιμοκρ. p. 741. *Ἀρχίνου τοῦ καταλαβόντος Φυλὴν καὶ μετά γε τοὺς θεοὺς αἰτιωτάτου ὄντος τῆς καθόδου τῷ δήμῳ, καὶ ἄλλα πολλὰ καὶ καλὰ πεπολιτευμένου καὶ ἐστρατηγηκότος πολλάκις.*

*θαλλοῦ στεφάνῳ*] Bekkeri Anecdd. p. 263. *θαλλὸν λέγουσι τὸν στέφανον τὸν*

ἀλλ' οὐ χρυσῷ· τότε μὲν γὰρ ἦν ὁ τοῦ θαλλοῦ στέφανος τίμιος, νυνὶ δὲ καὶ ὁ χρυσοῦς καταπεφρόνηται. καὶ οὐδὲ τοῦτο εἰκῇ πρᾶξαι κελεύει, ἀλλ' ἀκριβῶς τὴν βουλὴν σκεψαμένην ὅσοι αὐτῶν ἐπὶ Φυλῆς ἐπολιορκήθησαν, ὅτε Λακεδαιμόνιοι καὶ οἱ τριάκοντα προσέβαλλον τοῖς καταλαβοῦσι Φυλήν, οὐχ ὅσοι τὴν τάξιν ἔλιπον ἐν Χαιρωνείᾳ τῶν πολεμίων ἐπιόντων. 188. ὅτι δ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὸ ψήφισμα.

## ΨΗΦΙΣΜΑ ΠΕΡΙ ΔΩΡΕΑΣ ΤΟΙΣ ΑΠΟ ΦΥΛΗΣ.

Παρανάγνωθι καὶ ὃ γέγραφε Κτησιφῶν Δημοσθένει τῷ τῶν μεγίστων κακῶν αἰτίῳ.

## ΨΗΦΙΣΜΑ.

Τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται ἡ τῶν καταγαγόντων τὸν δῆμον δωρεά. εἰ τοῦτ' ἔχει καλῶς, ἐκεῖνο αἰσχρῶς· εἰ ἐκεῖνοι κατ' ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται.

189. Καίτοι πυνθάνομαί γ' αὐτὸν μέλλειν λέγειν, ὡς οὐ δίκαια ποιῶ παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα· οὐδὲ γὰρ Φιλάμμωνα φήσει τὸν πύκτην Ὀλυμπίασι στεφανωθῆναι νικήσαντα Γλαῦκον τὸν παλαιὸν ἐκεῖνον πύκτην, ἀλλὰ τοὺς καθ' ἑαυτὸν ἀγωνιστάς, ὥσπερ ὑμᾶς ἀγνοοῦντας, ὅτι τοῖς μὲν πύκταις ἐστὶν ὁ ἀγὼν πρὸς ἀλλήλους, τοῖς δ' ἀξιοῦσι στεφανοῦσθαι πρὸς αὐτὴν τὴν ἀρετήν, ἧς καὶ ἕνεκα στεφανοῦνται. δεῖ γὰρ τὸν κήρυκα ἀψευδεῖν, ὅταν τὴν ἀνάρρησιν ἐν τῷ θεάτρῳ ποιῆται πρὸς τοὺς Ἕλληνας. μὴ οὖν ἡμῖν ὡς Παταικίωνος ἄμεινον πεπολίτευσαι διέξιθι, ἀλλ' ἐφικόμενος τῆς ἀνδραγαθίας οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει.

*ἀπὸ τῆς ἐλαίας.* Antiquis temporibus erant coronæ oleaginæ summo honori. Aureæ erant non tam honorificæ, quam signum divitiarum et luxus.

*οὐχ ὅσοι τὴν τάξιν ἔλιπον ἐν Χαιρωνείᾳ*] Eo acerbior, quo magis inopinata et quo remotior ab re tractata invectio.

189. *Φιλάμμωνα*] *Φιλάμμων* (nam sic scribendum, non *Φιλάμων*) *πύκτης ἦν Ἀθηναῖος, ὃς πάντα τὸν χρόνον ἐνίκα τοὺς ἀντιπάλους.* Glauco quidem Carystio, qui Olympionices incertæ Olympiadis est, junior, sed antiquior Ol. CX. De Glauco vide *Pausaniam* VI. 10.

*Παταικίωνος ἄμεινον*] *Suidas* s. v. Παταικίων. *ἀνὴρ ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος, καὶ προσκρούειν ἐπιτηδεύων τοῖς εὐδοκιμοῦσι τῶν νέων. διεβάλλετο δὲ καὶ ὡς κλέπτης καὶ τοιχωρύχος, ὥστε καὶ κωμῳδεῖσθαι ἐπὶ τούτοις.*

*ἐφικόμενος τῆς ἀνδραγαθίας*] Generalis est enuntiatio: *quando fortia facta perfeceris.* Consulto omittit genitivum *ἐκείνων* aut similem, ne videatur postulare, ut illorum antiquorum fortitudinem æquet, sed eum vult fortitudinis in se spectatæ documenta edere.

190. Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα, ὃ ἐπιγέγραπται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσιν.

## ΕΠΙΓΡΑΜΜΑ.

Τούσδ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
δῆμος Ἀθηναίων, οἵ ποτε τοὺς ἀδίκοις
θεσμοῖς ἄρξαντας πόλιος πρῶτοι καταπαύειν
ἦρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

191. Ὅτι τοὺς παρὰ τοὺς νόμους ἄρξαντας κατέλυσαν, διὰ τοῦτ' αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι. ἔναυλον γὰρ ἦν τότε πᾶσιν, ὅτι τηνικαῦτα ὁ δῆμος κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. καὶ γάρ τοι, ὡς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ἐπυνθανόμην, ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέντε ἐτελεύτησεν, ἁπάντων μετασχὼν τῶν πόνων τῇ πόλει, ὃς πολλάκις πρὸς ἐμὲ διεξῄει ἐπὶ σχολῆς. ἔφη γάρ, ὅτε ἀρτίως κατεληλύθει ὁ δῆμος, εἴ τις εἰσίοι γραφὴν παρανόμων εἰς δικαστήριον, εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον. 192. τί γάρ ἐστιν ἀνοσιώτερον ἀνδρὸς παράνομα λέγοντος καὶ πράττοντος; καὶ τὴν ἀκρόασιν, ὡς ἐκεῖνος ἀπήγγελλεν, οὐ τὸν αὐτὸν τρόπον ἐποιοῦντο, ὥσπερ νῦν γίγνεται, ἀλλ' ἦσαν πολὺ χαλεπώτεροι οἱ δικασταὶ τοῖς παράνομα γράφουσιν αὐτοῦ τοῦ κατηγόρου, καὶ πολλάκις ἀνεπόδιζον τὸν γραμματέα καὶ ἐκέλευον πάλιν ἀναγιγνώσκειν τοὺς νόμους καὶ τὸ ψήφισμα, καὶ ἡλίσκοντο οἱ παράνομα γράφοντες οὐκ εἰ πάντας παραπη-

191. *εἴ τις εἰσίοι γραφὴν*] Sic habent Bekkeri codd. omnes, quibus obsequendum erat. Vulgo edebatur *γραφή*. Verbum *εἰσιέναι*, ut vocabulum forense, dicitur et de caussa, et de reo, et de judicio.

191. *ἔναυλον*] Vocabulum subtiliter adhibetur tum de sermone, quo tanquam tibiæ sono aures personant, tum de re qualibet, cujus adhuc recens est memoria. Accurate exposuit de vocabulo *Ruhnk.* ad Tim. Lex. p. 100.

*πολλάκις—διεξῄει*] *Διεξιέναι*, *oratione persequi*, *enarrare*, solet junctum habere accusativum rei, quæ enarratur. Hinc Marklandus pro *ὅς* conjecit *οὕς*, sc. *πόνους*. Sed animo Æschinis obversabatur sequens enuntiatio *ἔφη γὰρ* cet. tanquam objectum, quasi dictum sit *διεξῄει τόδε*.

*εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον.*] Pari culpa eos habitos fuisse, qui contra leges locuti sint et egerint: veram tenentes sententiam, ex dictis facta nasci, et qui assuescat rebus pravis audiendis, minus eum indignari iis, qui prave agant, et minus etiam ipsum a prave factis abhorrere.

192. *ἀνεπόδιζον τὸν γραμματέα*] *Jubebant scribam repetere.* *Pollux* II. 196. *ἀνεπόδιζον τὸν γραμματέα Αἰσχίνης εἶπεν ὁ ῥήτωρ, ἐπὶ τοῦ πάλιν ἀναγιγνώσκειν ἐποίουν. καὶ ἀναποδιζόμενα δ' Ἀντιφῶν τὰ πάλιν ἐξεταζόμενα.*

δήσαιεν τοὺς νόμους, ἀλλ' εἰ μίαν μόνον συλλαβὴν παραλλάξαιεν. τὸ δὲ νυνὶ γιγνόμενον πρᾶγμα ὑπερκαταγέλαστόν ἐστιν· ὁ μὲν γὰρ γραμματεὺς ἀναγιγνώσκει τὸ παράνομον, οἱ δὲ δικασταί, ὥσπερ ἐπῳδὴν ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώμενοι, πρὸς ἑτέρῳ τινὶ τὴν γνώμην ἔχουσιν. 193. ἤδη δ' ἐκ τῶν τεχνῶν τῶν Δημοσθένους αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρίοις παραδέχεσθε. μετενήνεκται γὰρ ὑμῖν τὰ τῆς πόλεως δίκαια· ὁ μὲν γὰρ κατήγορος ἀπολογεῖται, ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δικασταὶ ἐνίοτε, ὧν μέν εἰσι κριταί, ἐπιλανθάνονται, ὧν δ' οὐκ εἰσὶ δικασταί, περὶ τούτων ἀναγκάζονται τὴν ψῆφον φέρειν. λέγει δὲ ὁ φεύγων, ἐὰν ἄρα ποθ' ἅψηται τοῦ πράγματος, οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ καὶ πρότερον ἕτερος τοιαῦτα γράψας ἀπέφυγεν. 194. ἐφ' ᾧ καὶ νυνὶ μέγα φρονεῖν ἀκούω Κτησιφῶντα, ἐτόλμα δ' ἐν ὑμῖν ποτε σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεύς, λέγων, ὅτι γραφὰς παρανόμων πέφευγεν ἑβδομήκοντα καὶ πέντε. ἀλλ' οὐχὶ ὁ Κέφαλος ὁ παλαιὸς ἐκεῖνος, ὁ δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων, ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα οὐδεμίαν πώποτε γραφὴν πέφευγε παρανόμων, καλῶς, οἶμαι, σεμνυνόμενος. ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι, ἀλλὰ καὶ οἱ φίλοι τοὺς φίλους, εἴ τι ἐξαμάρτοιεν εἰς τὴν πόλιν. 195. ἐκεῖθεν δὲ τοῦτο γνώσεσθε. Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων

ἐπῳδὴν] Tropicum vocabulum explicat proprio ἢ ἀλλότριόν τι πρᾶγμα, ducta metaphora ab epodis in carminibus lyricis, quæ solent esse breviores strophis, tertia pars odes, et plerumque stropharum additamenta continent, non res novas.

193. ἤδη δ' — παραδέχεσθε] Ἤδη h. l. est augentis in oratione pregrediente, *quin etiam, atque etiam*: ne Reiskium sequaris, vel aoristum παρεδέξασθε vel perfectum παραδέδεχθε substituendum censentem.

194. Κέφαλος ὁ παλαιὸς ἐκεῖνος] Videtur is esse, de quo *Suidas* s. v. Κέφαλος Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός, ὃς πρῶτος προοίμιον καὶ ἐπιλόγους συντέθεικε. γέγονε δὲ ἐπὶ τῆς ἀναρχίας. Cephalum, ut virum probum, patriæ amantem et auctoritate, quam bonis artibus peperisset, pollentem laudat *Demosthenes* Περὶ Στεφ. p. 310. s. *Dinarch.* Κατὰ Δημ. p. 31. Tres erant oratores Cephalorum nomine, quos distinguit *Taylor* in Vita Lysiæ p. 103. n. 5. Reisk.

οἱ διαπολιτευόμενοι] *Ammonius* de vocc. diff. Διαπολιτεύεσθαι καὶ Ἀντιπολιτεύεσθαι διαφέρει. Διαπολιτεύεσθαι μὲν γὰρ λέγουσι τοὺς ἐκ τῆς αὐτῆς πόλεως. Ἀντιπολιτεύεσθαι δὲ τοὺς ἐξ ἑτέρας δι' ἑτέρας ἀντιδιαστατοῦντας ἀλλήλοις: unde patet minime opus esse Wolfii conjectura ἀντιπολιτευόμενοι. Accurate de hac verbi significatione exposuit *Casaub.* ad Polyæn. Strateg. I. 21, 3. et recte ad nostrum locum animadvertit Reiskius διά in compositione sæpe nisum in diversa significare. Respondet Latinorum *dis*, quod est *in diversas partes*.

Θρασύβουλον τὸν Στειριέα, γράψαντά τι παρὰ τοὺς νόμους [στεφανοῦν] ἕνα τῶν συγκατελθόντων αὐτῷ ἀπὸ Φυλῆς, καὶ εἷλε νεωστὶ γεγενημένων αὐτῷ τῶν εὐεργεσιῶν, ἃς οὐχ ὑπελογίσαντο οἱ δικασταί· ἡγοῦντο γάρ, ὥσπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς Θρασύβουλος κατήγαγεν, οὕτω νῦν μένοντας ἐξελαύνειν γράφοντά τι παρὰ τοὺς νόμους. 196. ἀλλ' οὐ νῦν, ἀλλὰ πᾶν τοὐναντίον γίγνεται· οἱ γὰρ ἀγαθοὶ στρατηγοὶ ὑμῖν καὶ τῶν τὰς σιτήσεις τινὲς εὑρημένων ἐν τῷ πρυτανείῳ ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς ἀχαρίστους εἶναι δικαίως ἂν ὑπολαμβάνοιτε· εἰ γάρ τις ἐν δημοκρατίᾳ τετιμημένος, ἐν τοιαύτῃ πολιτείᾳ, ἣν οἱ θεοὶ καὶ οἱ νόμοι σώζουσι, τολμᾷ βοηθεῖν τοῖς παράνομα γράφουσι, καταλύει τὴν πολιτείαν, ὑφ' ἧς τετίμηται. 197. τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι; ἐγὼ λέξω. εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσίῃ γραφὴ παρανόμων εἰς τὸ δικαστήριον. ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ καὶ τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, τὸ δὲ δεύτερον ὕδωρ τῷ τὴν γραφὴν φεύγοντι καὶ τοῖς εἰς

195. *γράψαντά τι παρὰ τοὺς νόμους [στεφανοῦν] ἕνα* cet.] Στεφανοῦν deest in duobus codicibus, idque ut suppositum recte, opinor, uncis inclusit Bekkerus. Nec enim, si Thrasybulus decretum tulisset, ut unus eorum, qui ex Phyle redierant, coronaretur, id in se legibus contrarium fuisset; hoc contrarium fuisset, si v. c. tulisset, ut unus χρυσῷ στεφάνῳ coronaretur: quod si fecisset, diserte hic erat exprimendum. Opinor respici ad historiam, quam narrat Pseudo-Plutarchus in Vita Lysiæ T. II. p. 835. fin. ἐφ' οἷς γράψαντος αὐτῷ (Lysiæ, qui bene meritus erat de iis, qui δῆμον κατήγαγον) πολιτείαν Θρασυβούλου μετὰ τὴν κάθοδον ἐπὶ ἀναρχίας τῆς πρὸ Εὐκλείδου, ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεάν, ἐπενεγκαμένου δὲ τοῦ Ἀρχίνου γραφὴν παρανόμων, διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι, ἑάλω τὸ ψήφισμα. Pro accusativo autem ἕνα Casp. noster Orellius legendum censet ἑνί, ut item dativus est in Pseudo-Plutarcho. Vix enim ipsi toleranda videtur constructio verbi γράφειν cum duplice accusativo, ut λέγειν τινά τι, *ferre aliquid de aliquo*.

196. *ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων*] Ἐξαιτεῖσθαι varias habet *deposcendi* significationes. Hic est *veniam rogare, enixe petere, ut ignoscatur, ut pœna remittatur*. Construitur cum accusativo vel hominis, qui peccavit et pro quo venia petitur; vel criminis. *Demosthen.* in Mid. p. 426. § 27. παιδία παραστήσεται καὶ κλαιήσει, καὶ τούτοις αὐτὸν ἐξαιτήσεται; ubi hunc reorum morem illustrat Buttmannus. *Eurip.* Androm. 53 ss.

ἤτησε Φοῖβον πατρὸς οὗ τίνειν δίκην,
εἴ πως τὰ πρόσθεν σφάλματ' ἐξαιτούμενος
θεὸν παράσχοιτ' ἐς τὸ λοιπὸν εὐμενῆ.

197. *ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι*] Ἀνδρὶ δικαίῳ καὶ σώφρονι est dativus objecti, συνηγόρῳ dativus appositionis. "Quænam oratio convenit homini justo et sobrio, qui patroni partes suscipit?"—Victorius margini ed. Ven. ad ἀποδέδεικται adscripsit "Puto ἀπολέλειπται."

*εἰς τρία μέρη*] *Harpocration* s. v. διαμεμετρημένη ἡμέρα. Διενέμετο εἰς τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι (accusatori), τὸ δὲ τῷ φεύγοντι (reo), τὸ τρίτον τοῖς δικάζουσι. Ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

αὐτὸ τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ ἐγχεῖται τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας. 198. ὅστις μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ, τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖται· ὅστις δ' ἐν τῷ πρώτῳ λόγῳ τὴν ψῆφον αἰτεῖ, ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατίαν αἰτεῖ, ὧν οὔτε αἰτῆσαι οὐδὲν ὅσιον οὐδενὶ οὔτ' αἰτηθέντα ἑτέρῳ δοῦναι. κελεύσατε οὖν αὐτούς, ἐάσαντας ὑμᾶς τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν, ἀπαντᾶν εἰς τὴν τίμησιν. 199. ὅλως δ' ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, ὀλίγου δέω εἰπεῖν, ὡς καὶ νόμον δεῖ τεθῆναι ἐπὶ ταῖς γραφαῖς μόνον ταῖς παρανόμων, μὴ ἐξεῖναι μήτε τῷ κατηγόρῳ συνηγόρους παρασχέσθαι, μήτε τῷ τὴν γραφὴν τῶν παρανόμων φεύγοντι. οὐ γὰρ ἀόριστόν ἐστι τὸ δίκαιον, ἀλλ' ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις. 200. ὥσπερ γὰρ ἐν τῇ τεκτονικῇ, οταν εἰδέναι βουλώμεθα τὸ ὀρθὸν καὶ τὸ μή, τὸν κανόνα προσφέρομεν, ᾧ διαγιγνώσκεται, οὕτω καὶ ἐν ταῖς γραφαῖς ταῖς τῶν παρανόμων παράκειται κανὼν τοῦ δικαίου τουτὶ τὸ σανίδιον καὶ τὸ ψήφισμα καὶ οἱ παραγεγραμμένοι νόμοι. ταῦτα συμφωνοῦντα ἀλλήλοις ἐπιδείξας κατάβαινε· καὶ τί δεῖ σε Δημοσθένην παρακαλεῖν; ὅταν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇς κακοῦργον ἄνθρωπον καὶ τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν.

*ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον*] Nempe absoluta accusatione et defensione primum judices in suffragia ibant, num reus crimine teneretur nec ne. Si reum innocentem esse plura suffragia testarentur, ab omni pœna liber erat. Sin noxius declarabatur, tum demum pœnæ fiebat æstimatio.

198. *τὴν ψῆφον αἰτεῖ*] Dicitur de eo, qui flagitat, ut in suum favorem suffragium feratur. *Τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖται* est quod Latine dicitur *clementiam vestram implorat.*

*ὅρκον αἰτεῖ*] Flagitat, ut sua caussa perjurium admittatis; *νόμον αἰτεῖ*, flagitat, ut negligatis legem; *δημοκρατίαν αἰτεῖ*, flagitat, ut a rationibus democratiæ deficiatis. Hic locus exemplum est *ἐπιμονῆς*, quam figuram technici explicant, *ὅταν τις πλείω ῥήματα ὀρθὰ ἀλλήλοις ἐπιβάλλῃ.* Amat hanc figuram rhetoricam Æschines. § 200. *κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν.* § 202. *ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς.*

*τὴν—ψῆφον—διενεγκεῖν*] *Διαφέρειν ψῆφον* dicitur de pluribus, qui viritim suffragia de eadem re ferunt. *Isocrat.* Περὶ Ἀντιδ. p. 9. fin. Orell. *λέγειν ἅπερ ἐγὼ νῦν περὶ τοὺς μέλλοντας περὶ ἐμαυτοῦ τὴν ψῆφον διοίσειν.*

200. *ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν*] *Ὑπερπηδᾶν* levi pede aliquid præterire et migrare quasi rem parvi momenti.

*κακοῦργον ἄνθρωπον*] "Hæc verba arguunt Demosthenem maleficiorum et injuriarum in rempublicam; suo itaque loco sunt posita. Agitur enim de legum *περὶ τῶν παρανόμων* vi infringenda, et detrimento inde in reipublicæ formam redundante.—Non igitur vereor, ne quis alteram lectionem *πανοῦργον* hoc loco præferendam ducat." *Wunderlich.*

*κλέπτεις τὴν ἀκρόασιν*] Quomodo intelligendum sit, apparet ex § 99. ubi

201. Τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ ἐρῶ. ἐπειδὰν προσελθὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο δὴ τὸ συντεταγμένον αὐτῷ προοίμιον, ἔπειτ' ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπομνήσατ' αὐτὸν ἄνευ θορύβου τὸ σανίδιον λαβεῖν καὶ τοὺς νόμους τῷ ψηφίσματι παραναγνῶναι. ἐὰν δὲ μὴ προσποιῆται ὑμῶν ἀκούειν, μηδὲ ὑμεῖς ἐκείνου ἐθέλετε ἀκούειν· οὐ γὰρ τῶν φευγόντων τὰς οὐ δικαίας ἀπολογίας εἰσεληλύθατε ἀκροασόμενοι, ἀλλὰ τῶν ἐθελόντων δικαίως ἀπολογεῖσθαι. 202. ἐὰν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν Δημοσθένην παρακαλῇ, μάλιστα μὲν μὴ προσδέχεσθε κακοῦργον ἄνθρωπον, οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, μηδ' ἐν ἀρετῇ τοῦθ' ὑμῶν μηδεὶς καταλογιζέσθω, ὃς ἄν, ἐπανερομένου Κτησιφῶντος, εἰ καλέσει Δημοσθένην, πρῶτος ἀναβοήσῃ "κάλει, κάλει." ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. ἂν δ' ἄρα ὑμῖν δόξῃ ἀκούειν, ἀξιώσατε τὸν Δημοσθένην τὸν αὐτὸν τρόπον ἀπολογεῖσθαι, ὅνπερ κἀγὼ κατηγόρηκα. 203. ἐγὼ δὲ πῶς κατηγόρηκα; ἵνα καὶ ὑπομνήσω ὑμᾶς. οὔτε τὸν ἴδιον βίον τὸν Δημοσθένους πρότερον διεξῆλθον, οὔτε τῶν δημοσίων ἀδικημάτων οὐδενὸς πρότερον ἐμνήσθην, ἄφθονα δήπου καὶ πολλὰ ἔχων λέγειν, ἢ πάντων γ' ἂν εἴην ἀπορώτατος· ἀλλὰ πρῶτον μὲν τοὺς νόμους ἐπέδειξα ἀπαγορεύοντας μὴ στεφανοῦν τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορα

202. εἰ καλέσει] Sic dedi ex tribus codicibus, quo ducunt etiam quattuor, qui habent καλέσειε. Quattuor habent εἰ καλέσω. Bekkerus dedit εἰ καλέσῃ, provocans ad locum Περὶ Παραπρ. § 64. p. 171. ubi legitur εἰ δῷ: ego vero ex optimo Helmst. scripsi εἰ δώσει. Quod ad constructionem attinet, ratione *Atticorum prosæ scriptorum*, nondum deserere possum, quæ *Hermann.* docet ad Vigerum p. 831. [Cf. gr. Gr. nostram. § 121. not. 11. V. C. F. R.]

κατηγόρηκα. ἐγὼ δὲ πῶς κατηγόρηκα;] Sic plurimi Bekkeri codices pro vulgato ὧδέ πως κατηγόρηκα. Consulto hoc aliquanto gravius exprimit Æschines, quum attentionem in suam accusandi rationem movere velit, oppositione ejus rationis, quam in caussa dicenda sequitur Demosthenes. Hic locus videtur, ut alii, demum post habitam Demosthenis Περὶ Στεφάνου orationem sic elaboratus esse. Nam tangit ea momenta, in quibus Demosthenis defensio revera parum satisfacit.

junguntur κλέπτων τὴν ἀκρόασιν καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας: quod Latini dicunt *decipere aures*.

202. μάλιστα μὲν μὴ προσδέχεσθε] Optimum fuerit, si additum ad suggestum ei non concedatis.

κάλει, κάλει] Perspicitur hinc, quantum fuerit populi Atheniensis studium Demosthenis audiendi, quum, simulac quis ejus mentionem fecerat, solerent alta voce clamare, ut vocetur et progrediatur orator. Repetitio vocabuli hoc idem studium exprimit, et perperam alterum omittitur in nonnullis codicibus.

203. ἀπορώτατος] *Inertissimus, stolidissimus.* Ἄπορος interdum is dicitur, qui propter ingenii tarditatem nil expedire queat.

ἐξήλεγξα γράψαντα Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν, οὐδὲν προβαλόμενον, οὐδὲ προσεγγράψαντα "ἐπειδὰν δῷ τὰς εὐθύνας," ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ τῶν νόμων καταπεφρονηκότα· καὶ τὰς ἐσομένας πρὸς ταῦτα προφάσεις εἶπον, ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν. 204. δεύτερον δ' ὑμῖν διεξῆλθον τοὺς περὶ τῶν κηρυγμάτων νόμους, ἐν οἷς διαῤῥήδην ἀπείρηται τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας· ὁ δὲ ῥήτωρ ὁ φεύγων τὴν γραφὴν οὐ τοὺς νόμους μόνον παραβέβηκεν, ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναῤῥήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ἐν τῷ θεάτρῳ τὴν ἀνάῤῥησιν γίγνεσθαι, οὐδ' ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ μελλόντων τραγῳδῶν εἰσιέναι. ταῦτα δ' εἰπὼν μικρὰ μὲν περὶ τῶν ἰδίων εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων λέγω. 205. οὕτω δὴ καὶ τὸν Δημοσθένην ἀξιώσατε ἀπολογεῖσθαι πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶτον καὶ τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δέ, τὸ μέγιστον λέγω, ὡς οὐδὲ ἄξιός ἐστι τῆς δωρεᾶς. ἐὰν δ' ὑμῶν δέηται συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς ἀπολογίας λύσει τὸ παράνομον, μὴ συγχωρεῖτε, μηδ' ἀγνοεῖθ' ὅτι πάλαισμα τοῦτ' ἐστι δικαστηρίου· οὐ γὰρ εἰσαῦθίς ποτε βούλεται πρὸς τὸ παράνομον ἀπολογεῖσθαι, ἀλλ', οὐδὲν ἔχων δίκαιον εἰπεῖν, ἑτέρων παρεμβολῇ πραγμάτων εἰς λήθην ὑμᾶς βούλεται τῆς κατηγορίας ἐμβαλεῖν. 206. ὥσπερ οὖν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὁρᾶτε τοὺς πύκτας περὶ τῆς στάσεως ἀλλήλοις διαγω-

παντελῶς] *Absolute, sine ulla restrictione.*

204. τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων λέγω] Λέγω Marklandus delendum censet et deest in quinque codicibus. Miram rationem iniit Reiske, distinguens τὰ δὲ περὶ τῶν δημοσίων, ἀδικημάτων λέγω, interpretans *de publicis, injuriis inquam.* Simplicissimum fuerit interpretari: de publicis potissimum injuriis verba facio (in hac ipsa oratione).

205. τρίτον δέ, τὸ μέγιστον λέγω] Λέγω cum nomine sæpissime ponitur, ubi nos ex nostra ratione nonnisi nomen ponimus. Cf. *Valckenaer* ad Phœn. v. 994. In Græco sermone tamen nomen, cui additur, ut grave notatur, reddique potest λέγω *et quidem*, ut h. l.

ὅτι πάλαισμα τοῦτ' ἐστι δικαστηρίου] Πάλαισμα significat astutam rationem vincendi adversarium, quali utebantur pugiles in certaminibus. Translatum ad alias res significat callidum quodvis consilium et vafrum. Scholiastæ explicant παλαίσματα τὰ ἀγωνίσματα, οἷς βούλεταί τις καταπαλαῖσαι τὸν ἀντίδικον. *A wrestler's skilful throw.* Exponit hæc *Victor.* Varr. Lectt. II. 10.

ἑτέρων παρεμβολῇ πραγμάτων] Technici per παρεμβολὴν intelligunt insertam aliquam sententiam, quæ per se consistit, ut, si eam tollas, cetera salva maneant. Æschines per παρεμβάλλειν et derivata ea intelligit, quæ injiciuntur, ut auditores et judices a re primaria abducantur, et res aliena eorum attentionem abripiat.

νιζομένους, οὕτω καὶ ὑμεῖς ὅλην τὴν ἡμέραν ὑπὲρ τῆς πόλεως περὶ τῆς τάξεως αὐτῷ τοῦ λόγου μάχεσθε, καὶ μὴ ἐᾶτε αὐτὸν εἰς τοὺς ἔξω τοῦ παρανόμου λόγους περιΐστασθαι, ἀλλ' ἐγκαθήμενοι καὶ ἐνεδρεύοντες ἐν τῇ ἀκροάσει εἰσελαύνετε αὐτὸν εἰς τοὺς τοῦ πράγματος λόγους, καὶ τὰς ἐκτροπὰς αὐτοῦ τῶν λόγων ἐπιτηρεῖτε. 207. ἀλλ' ἃ δὴ συμβήσεται ὑμῖν, ἐὰν τοῦτον τὸν τρόπον τὴν ἀκρόασιν ποιῆσθε, ταῦθ' ὑμῖν ἤδη δίκαιός εἰμι προειπεῖν. ἐπεισάξει γὰρ τὸν γόητα καὶ βαλαντιοτόμον καὶ διατετμηκότα τὴν πολιτείαν. οὗτος κλάει μὲν ῥᾷον ἢ ἄλλοι γελῶσιν, ἐπιορκεῖ δὲ πάντων προχειρότατα· οὐκ ἂν θαυμάσαιμι δέ, εἰ μεταβαλλόμενος τοῖς ἔξω περιεστηκόσι λοιδορήσεται, φάσκων τοὺς μὲν ὀλιγαρχικοὺς ὑπ' αὐτῆς τῆς ἀληθείας διηριθμημένους ἥκειν πρὸς τὸ τοῦ κατηγόρου βῆμα, τοὺς δὲ δημοτικοὺς πρὸς τὸ τοῦ φεύγοντος. 208. ὅταν δὴ τὰ τοιαῦτα λέγῃ, πρὸς μὲν τοὺς στασιαστικοὺς λόγους ἐκεῖνο αὐτῷ ὑποβάλλετε ὅτι, "ὦ Δημόσθενες, εἰ σοὶ ἦσαν ὅμοιοι οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες, οὐκ ἄν ποθ' ἡ δημοκρατία κατέστη. νῦν δὲ ἐκεῖνοι μέν, μεγάλων κακῶν συμβάντων, ἔσωσαν τὴν πόλιν, τὸ κάλλιστον ἐκ παιδείας ῥῆμα φθεγξάμενοι, 'μὴ μνησικακεῖν·' σὺ δὲ ἑλκοποιεῖς, καὶ μᾶλλόν σοι μέλει τῶν αὐθημερὸν λόγων ἢ

206. *περιΐστασθαι*] Περί præsertim in compositione cum verbis motum indicantibus duplicem habet significationem, bonam et malam. Περιϊστάναι significat tum *in melius*, tum *in pejus mutare*, tum emendare, tum corrumpere. Hic habet significationem malam.

*ἐγκαθήμενοι καὶ ἐνεδρεύοντες*] His verbis indicatur diligentissime ipsis a dolis et callidis fallaciis hominis fraudulenti cavendum esse.

*ἐκτροπὰς*] Æschines tropice adhibuit de degressione loquentis, tanquam feræ, quæ in saltu aliquo a venatoribus inclusa retibusque undique cincta conetur aliqua via occulta erumpere. Exposuit de vocabulo *Victorius* Varr. Lectt. XIV. 5.

207. *ἐπεισάξει*] Tropus ab eo sumptus, qui personam in scenam inducit. *Βαλαντιοτόμος* tropice denotat eum, qui callide commoda aliorum vel summo scelere arripere conatur. *Διατετμηκὼς τὴν πολιτείαν* is est, qui partes in civitate excitat, et, dum hæ se laniant invicem, ipse earum opibus inhiat.

*μεταβαλλόμενος*] i. q. *μεταβάλλων τὸν τρόπον*, *sonum mutans, alia oratione loquens*. Ex lacrimis et ejulatu transit in probra et maledicta. Ineptam glossam habent tres codices *ἔξω τῆς πόλεως*. Est *ἔξω τοῦ δικαστηρίου*.

*διηριθμημένους*] *Διαριθμεῖσθαι* proprie est *dinumerari*; hinc *discerni, separari*.

208. *τὸ κάλλιστον ἐκ παιδείας ῥῆμα*] Pulcherrimam vocem ex liberalitate et salutari sapientia profectam, quæ maximum est documentum eos non solum liberaliter educatos fuisse, sed liberalitatem etiam vita et moribus expressisse.

*μὴ μνησικακεῖν*] Hoc erat proprium hujus rei nomen. Vocabulum *ἀμνηστία* serioris demum temporis est. *Muretus* Varr. Lectt. II. 15. De re confer *Fr. A. Wolf.* ad Leptin. p. 227 s.

*ἑλκοποιεῖς*] Tropus subtilis, in omnibus fere linguis usitatus, *[illegible] refricare*, *to tear open a wound*, de eo, qui, quum convenerit inter quosdam præteritarum rerum nullam amplius mentionem facere vel quæstionem instituere, eas tamen

τῆς σωτηρίας τῆς πόλεως." ὅταν δ' ἐπίορκος ὢν εἰς τὴν διὰ τῶν ὅρκων πίστιν καταφυγγάνῃ, ἐκεῖνο ἀπομνημονεύσατε αὐτῷ, ὅτι τῷ πολλάκις μὲν ἐπιορκοῦντι, ἀεὶ δὲ πρὸς τοὺς αὐτοὺς μεθ' ὅρκων ἀξιοῦντι πιστεύεσθαι, δυοῖν θάτερον ὑπάρξαι δεῖ, ὧν οὐδέτερόν ἐστι Δημοσθένει ὑπάρχον, ἢ τοὺς θεοὺς καινούς, ἢ τοὺς ἀκροατὰς μὴ τοὺς αὐτούς. 209. περὶ δὲ τῶν δακρύων καὶ τοῦ τόνου τῆς φωνῆς, ὅταν ὑμᾶς ἐπερωτᾷ "ποῖ καταφύγω, ὦ ἄνδρες Ἀθηναῖοι; περιγράψατέ με ἐκ τῆς πολιτείας· οὐκ ἔστιν ὅποι ἀναπτήσομαι," ἀνθυποβάλλετε αὐτῷ, "ὁ δὲ δῆμος ὁ Ἀθηναίων ποῖ καταφύγῃ, Δημόσθενες; πρὸς ποίαν συμμάχων παρασκευήν; πρὸς ποῖα χρήματα; τί προβαλλόμενος ὑπὲρ τοῦ δήμου πεπολίτευσαι; ἃ μὲν γὰρ ὑπὲρ σεαυτοῦ βεβούλευσαι, ἅπαντες ὁρῶμεν. ἐκλιπὼν μὲν τὸ ἄστυ οὐκ οἰκεῖς, ὡς δοκεῖς, ἐν Πειραιεῖ, ἀλλ' ἐξορμεῖς ἐκ τῆς πόλεως, ἐφόδια δὲ πεπόρισαι τῇ σαυτοῦ ἀνανδρίᾳ

209. περιγράψατέ με] Reiskius dedit ex Bern. εἰ περιγράψετέ με. Æschines affectare videtur orationem flebilis hominis et timidi, qui ipse perspicit civibus non solum jus esse, sed officium eum puniendi, sed ita eos flagitat hoc jure uti, ut deminuto honore ipse tamen salvus evadat. Casparus tamen Orellius noster opinatur scribi posse futuro tempore περιγράψετε et interrogationis signum in fine addendum: περιγράψετέ με ἐκ τῆς πολιτείας; "Num vultis me exterminare ex republica?" Potest tamen ea constructio esse, qua imperativus non imperet, sed ponat aliquid fieri. Tum addit quod eventurum sit ipsi; quæ interpretatio optima videtur.

nunquam non in memoriam revocat, quin etiam auget et invidiose calumniatur. Hic est *discordias disseminare et alere, exacerbare.*

τῶν αὐθημερὸν λόγων] Orationes, quæ quum habentur, plausum ferunt, qui tamen cito perit, quum perspicitur, si eas in agendo sequamur, nil nasci nisi infortunium. Adverbium in hac similibusque locutionibus videtur usitatius, quam adjectivum αὐθημέρων, quod est in quattuor codicibus quodque etiam apud *Plinium* legitur Epp. IX. 26, qui locum laudat in exemplum audaciæ loquendi.

209. περιγράψατέ με] Περιγράφειν est minuere alicujus auctoritatem, impedire, ne quis sua auctoritate possit abuti, sive id fiat removendo a republica, sive minis, sive alia ratione. Cf. *Grævium* ad Ciceron. Epp. ad Att. VII. 9. Respicit ad significationem verbi περιγράφειν, qua idem fere est ac *circumcidere*. Ut enim avis, cui alæ circumcisæ sunt, in sublimia surgere non valet, sic se ait, si sua auctoritas sit circumscripta, non in sublimem honoris gradum ascensurum nec in superbiam et importunitatem prolapsurum.

τί προβαλλόμενος ὑπὲρ τοῦ δήμου πεπολίτευσαι;] Προβάλλεσθαι est verbum proprium de eo, qui aliquid prætendit, objicit, ut se suosque tueatur; estque vocabulum, quod adhibere vel etiam sibi tribuere amat Demosthenes. Hinc Æschines per irrisum: Quod tandem munimentum præclara tua rerum civilium administratio civitati paravit?

ἃ μὲν γὰρ ὑπὲρ σεαυτοῦ βεβούλευσαι, ἅπαντες ὁρῶμεν] Sensus est: Quodnam consilium in tuam utilitatem ceperis, nos omnes videmus. In βουλεύεσθαι notio inest calliditatis et doli: ne opineris προβέβλησαι cum Marklando scribendum esse.

ἐξορμεῖς ἐκ τῆς πόλεως] *Pollux* L. I. 122. προεκπλεῦσαί ποι, ἐξορμεῖν καὶ παρορμεῖν. Ἐξορμεῖν navis dicitur, quæ ex statione in altum provehitur aut provecta est. Eadem significatione apud *Lycurg.* contra Leocr. p. 148. R. legitur ἐξορμᾶν: καὶ νεὼς ἤδη περὶ τὴν ἀκτὴν ἐξορμώσης, ubi Taylor legi vult ἐξορμούσης. Sed vulgatam, codd. omnium auctoritate firmatam, defenderunt Schulzius et Alb. Gerh. Bekkerus. Sensus est: Urbe

τὸ βασιλικὸν χρυσίον καὶ τὰ δημόσια δωροδοκήματα." 210. ὅλως δὲ τί τὰ δάκρυα; τίς ἡ κραυγή; τίς ὁ τόνος τῆς φωνῆς; οὐχ ὁ μὲν τὴν γραφὴν φεύγων ἐστὶ Κτησιφῶν, ὁ δ' ἀγὼν οὐκ ἀτίμητος, σὺ δ' οὔτε περὶ τῆς οὐσίας, οὔτε περὶ τοῦ σώματος, οὔτε περὶ τῆς ἐπιτιμίας ἀγωνίζῃ; ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ ἡ σπουδή; περὶ χρυσῶν στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ τοὺς νόμους· 211. ὃν ἐχρῆν, εἰ καὶ μανεὶς ὁ δῆμος, ἢ τῶν καθεστηκότων ἐπιλελησμένος ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν αὐτόν, παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν· "ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, τὸν δὲ καιρὸν ἀποδοκιμάζω, ἐν ᾧ τὸ κήρυγμα γίγνεται· οὐ γὰρ δεῖ ἐφ' οἷς ἡ πόλις ἐπένθησε καὶ ἐκείρατο, ἐπὶ τούτοις ἐμὲ στεφανοῦσθαι." ἀλλ', οἶμαι, ταῦτα μὲν ἂν εἴποι ἀνὴρ ὄντως βεβιωκὼς μετ' ἀρετῆς· ἃ δὲ σὺ λέξεις, εἴποι ἂν κάθαρμα ζηλοτυποῦν ἀρετήν. 212. οὐ γὰρ δὴ μὰ τὸν Ἡρα-

211. ἐφ' οἷς ἡ πόλις ἐπένθησε καὶ ἐκείρατο] Quattuor Bekkeri codices ejusdem familiæ habent ἐκείρατο καὶ ἐπένθησε: qui quidem ordo et vocabulorum notioni (plerumque enim solet partes notio præcedere, generis sequi) et scriptorum usui convenientior est, Grammaticis tamen, qui vulgarem collocationem minus solitæ anteferrent, deberi videtur. In nostro autem ordine longe argutius exsistit contrapositum inter ἐκείρατο et στεφανοῦσθαι, quod utrumque ad caput refertur, illud ejus deformitatem, hoc ornatum denotans. Similiter mox post acerbam Demosthenis cum Ajace comparationem ludit in illis κεφαλὴν—στεφανῶσαι—κατατέτμηκε.

relicta non in Piræo domicilium, ut videtur, constituisti, sed opportunum locum elegisti, unde, quando tibi placet, peregre abeas.

τὸ βασιλικὸν χρυσίον καὶ τὰ δημόσια δωροδοκήματα] A singulari progreditur ad generale, quod fit per simplicem copulam, quæ significat *et omnino*.

210. ὅλως δὲ τί τὰ δάκρυα;] Ὅλως est Latinorum *denique*. Denique cur opus est lacrimis? Quid est, quod lacrimas excitet?

ὁ δ' ἀγὼν οὐκ ἀτίμητος;] Tria membra in unam interrogationem inclusa sunt et ad singula membra οὐχ ab initio enuntiationis pertinet; οὐκ ἀτίμητος autem in nostro membro idem est, quod τιμητός. Accuratum vero examen inter ἀγῶνα τιμητὸν et ἀτίμητον instituit *A. Matthiæ* in Dissertt. de judiciis Atheniensium Miscell. Philoll. T. I. p. 275 ss. ubi nostri loci sententiam recte sic constituit: *Quid te attinet lamentari et vociferari? Nonne Ctesiphon est, in quem hæc actio est intentata, et ea quidem non talis, in qua multa ab actore constituta necessario pendenda sit, sed quæ certationem multæ accipiat, judicumque misericordiæ locum relinquat, tu vero nec de fortuna, nec de capite, nec de salute periclitaris?* Τιμητὸν autem fuisse τὸν ἀγῶνα τῆς γραφῆς τῶν παρανόμων patet ex multis exemplis de varia hujus litis æstimatione, quæ recenset *Boeckh* Staatsh. I. p. 411.

211. κάθαρμα ζηλοτυποῦν ἀρετὴν] *Phavorinus*. s. v. κάθαρμα. Ἔτρεφόν τινας Ἀθηναῖοι λίαν ἀγενεῖς καὶ ἀχρήστους καὶ ἐν καιρῷ συμφορᾶς τινος ἐπελθούσης τῇ πόλει, λοιμοῦ λέγω, ἢ τοιούτου τινός, ἔθυον τούτους ἕνεκα τοῦ καθαρθῆναι τοῦ μιάσματος· οὓς καὶ ἐπωνόμαζον καθάρματα. Tropicam hanc significationem habet *homo nequam*. Ζηλοτυπεῖν, inquit *Harpocrat.* Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἀντὶ τοῦ μισεῖν. ζηλοῦν γὰρ τὸ μακαρίζειν, ζηλοτυπεῖν δὲ εἰς ἀπέχθειαν ἐληλυθέναι. Auctore *Cicerone*, quem vide Tusc. IV. 8. 17. 18, vertamus κάθαρμα ζηλοτυποῦν ἀρετήν *nequam, qui obtrectat virtuti.*

*κλέα τοῦτό γε ὑμῶν οὐδεὶς φοβηθήσεται, μὴ ὁ Δημοσθένης, ἀνὴρ μεγαλόψυχος καὶ τὰ πολεμικὰ διαφέρων, ἀποτυχὼν τῶν ἀριστείων, οἴκαδε ἐπανελθὼν ἑαυτὸν διαχρήσηται· ὃς τοσοῦτον καταγελᾷ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ὥστε τὴν μιαρὰν κεφαλὴν ταύτην καὶ ὑπεύθυνον, ἣν οὗτος παρὰ πάντας τοὺς νόμους γέγραφε στεφανῶσαι, μυριάκις κατατέτμηκε καὶ τούτων μισθοὺς εἴληφε, τραύματος ἐκ προνοίας γραφὰς γραφόμενος, καὶ κατακεκονδύλισται, ὥστε αὐτὸν οἶμαι τὰ τῶν κονδύλων ἴχνη τῶν Μειδίου ἔχειν ἔτι φανερά· ὁ γὰρ ἄνθρωπος οὐ κεφαλήν, ἀλλὰ πρόσοδον κέκτηται.*

213. *Περὶ δὲ Κτησιφῶντος τοῦ γράψαντος τὴν γνώμην βραχέα βούλομαι εἰπεῖν, τὰ δὲ πολλὰ ὑπερβήσομαι, ἵνα καὶ πεῖραν ὑμῶν λάβω, εἰ δύνασθε τοὺς σφόδρα πονηρούς, κἂν μή τις προείπῃ, διαγιγνώσκειν· ὃ δ' ἐστὶ κοινὸν καὶ δίκαιον κατ' ἀμφοτέρων αὐτῶν ἀπαγγεῖλαι πρὸς ὑμᾶς, τοῦτ' ἐρῶ. περιέρχονται γὰρ τὴν ἀγορὰν ἀληθεῖς κατ' ἀλλήλων ἔχοντες δόξας καὶ λόγους οὐ ψευδεῖς λέγοντες.* 214. *ὁ μὲν γὰρ Κτησιφῶν οὐ τὸ καθ' ἑαυτόν φησι φοβεῖσθαι, ἐλπίζειν γὰρ δόξειν*

214. *ἐλπίζειν*] Hoc legitur in omnibus Bekkeri codd. Ante Reiskium, qui primus ex suis libris sic ediderat, edebatur *ἐλπίζει*, quod revocavit Wunderlich. Ut autem Reiskii ratio me non movet, qui se infinitivum edidisse ait, ut planior fieret plerisque legentium oratio, quorum multi viderentur haud assuevisse mori oratorum Atticorum ab obliqua oratione ad rectam et iterum ab hac ad illam transeundi; sic a codicum lectione me non deterruit Wunderlichii animadversio, Æschinem Ctesiphonti tantum stultitiæ affingere non potuisse, quasi ipse ejusmodi caussam *ἐλπίζειν δόξειν ἰδιώτης εἶναι*, cur suo nomine de periculo non timeret, professus sit. Quod per infinitivum Ctesiphonti affingitur, non est inter graviora, quæ ei crimini vertuntur. Immo *ironia* est acerbior, quum ipse hanc spem dicatur professus esse, quam alio sensu veram esse Æschines concedet. Ctesiphon dicebat se sperare futurum, ut habeatur *ἰδιώτης*, i. e. homo a cura et scientia rerum publicarum alienus; hinc se, si quid deliquerit, facile veniam impetraturum. Æschines autem emphatice nomen *ἰδιώτης* pronuntiat, et intelligit ineptum, stupidum.

212. *μυριάκις κατατέτμηκε*] Jam supra § 51. capitis *ἐπιτομὴν* Demostheni objecit, ut alium *τραύματος ἐκ προνοίας* accusaret. Nemo in nostro loco non agnoscit hyperbolen rhetoricam. § 52. etiam de Midia ejusque caussa sermo erat.

*ὁ γὰρ ἄνθρωπος οὐ κεφαλήν, ἀλλὰ πρόσοδον κέκτηται*] Locus videtur corruptus. Ingeniose Toupius conjecit *οὐ κεφαλήν, ἀλλὰ κεφάλαιον*, sic ut *πρόσοδον* glossema sit vocabuli *κεφάλαιον*; est enim *κεφάλαιον* caput, unde usuræ redeunt. Casparus autem noster Orellius ingeniosam utique Toupii suspicionem appellans, hoc tamen monet incommodi habere, quod, quemadmodum in vulgata, tertium aliquod membrum ægre desideretur, ad quod et *κεφαλὴ* et *κεφάλαιον* referantur. Ipse igitur leniore etiam mutatione jocum haud illepidum intulit *οὐ κεφαλὴν κεφαλήν, ἀλλὰ πρόσοδον κέκτηται*: caput habet non quo utatur ut reliqui homines ad videndum, audiendum, cogitandum, sed quo lucrifaciat tantum. Rud. vero Rauchensteinius emendatione fortasse non opus esse opinatur, quum ex præcedentibus appareat Demosthenis caput etiam tum fœdatum fuisse verberibus vulneribusque variis; hinc propter hunc ejus fœdum aspectum Æschinem ejus caput nominare non caput humanum, sed lucri instrumentum. Non nego tamen Toupii emendationem ut festivitate, sic acerbitate commendari.

ἰδιώτης εἶναι, ἀλλὰ τὴν τοῦ Δημοσθένους ἐν τῇ πολιτείᾳ δωροδοκίαν φησὶ φοβεῖσθαι καὶ τὴν ἐμπληξίαν καὶ δειλίαν· ὁ δὲ Δημοσθένης εἰς αὐτὸν μὲν ἀποβλέπων θαῤῥεῖν φησιν, τὴν δὲ τοῦ Κτησιφῶντος πονηρίαν καὶ πορνοβοσκίαν ἰσχυρῶς δεδιέναι. τοὺς δὴ κατεγνωκότας ἀλλήλων ἀδικεῖν μηδαμῶς ὑμεῖς, οἱ κοινοὶ κριταὶ τῶν ἐγκλημάτων, ἀπολύσητε.

215. Περὶ δὲ τῶν εἰς ἐμαυτὸν λοιδοριῶν βραχέα βούλομαι προειπεῖν, πυνθάνομαι γὰρ λέξειν Δημοσθένην, ὡς ἡ πόλις ὑπ' αὐτοῦ μὲν ὠφέληται πολλά, ὑπ' ἐμοῦ δὲ καταβέβλαπται, καὶ τὸν Φίλιππον καὶ τὸν Ἀλέξανδρον καὶ τὰς ἀπὸ τούτων αἰτίας ἀνοίσειν ἐπ' ἐμέ. οὕτω γάρ ἐστιν, ὡς ἔοικε, δεινὸς δημιουργὸς λόγων, ὥστε οὐκ ἀπόχρη αὐτῷ, εἴ τι πεπολίτευμαι παρ' ὑμῖν ἐγώ, ἢ εἴ τινας δημηγορίας εἴρηκα, τούτων κατηγορεῖν, 216. ἀλλὰ καὶ τὴν ἡσυχίαν μου τοῦ βίου διαβάλλει, καὶ τῆς σιωπῆς μου κατηγορεῖ, ἵνα μηδεὶς αὐτῷ τόπος ἀσυκοφάντητος παραλείπηται, καὶ τὰς ἐν τοῖς γυμνασίοις μετὰ τῶν νεωτέρων μου διατριβὰς καταμέμφεται, καὶ κατὰ τῆσδε τῆς κρίσεως εὐθὺς ἀρχόμενος τοῦ λόγου φέρει τινὰ αἰτίαν, λέγων, ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ τῆς πόλεως ἐγραψάμην, ἀλλ' ἐνδεικνύμενος Ἀλεξάνδρῳ διὰ τὴν πρὸς αὐτὸν ἔχθραν. 217. καὶ νὴ Δί', ὡς ἐγὼ πυνθάνομαι, μέλλει με ἀνερωτᾶν διὰ τί τὸ μὲν κεφάλαιον τῆς πολιτείας αὐτοῦ ψέγω, τὰ δὲ καθ' ἕκαστον οὐκ ἐκώλυον, οὐδ' ἐγραφόμην, ἀλλὰ διαλιπὼν καὶ πρὸς τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν ἀπήνεγκα τὴν γραφήν. ἐγὼ δὲ οὔτε τὰς Δημοσθένους διατριβὰς ἐζήλωκα,

214. *ἐμπληξίαν*] Ἐμπλήττεσθαι, ut *ἐμβροντᾶσθαι*, dicitur de iis, qui tonitru tanguntur. Hinc tropice de iis, qui non sunt sanæ mentis; *ἐμπληξία* i. q. *μανία, φρενοβλάβεια*. Inconstantiam imprimis hoc vocabulo notatam esse apparet ex *Eurip.* Tr. 1194 ss. Matth.

*τοῖς τρόποις γὰρ αἱ τύχαι,*
*ἔμπληκτος ὡς ἄνθρωπος, ἄλλοτ' ἄλλοσε*
*πηδῶσι.*

215. *τὰς ἀπὸ τούτων αἰτίας*] Criminationes, quas repetit a mea cum Philippo et Alexandro consuetudine. Brachylogicus est usus præpositionis *ἀπό*.

216. *ἐνδεικνύμενος Ἀλεξάνδρῳ*] Ἐνδείκνυσθαι hoc loco positum, ut *ἐπιδείκνυσθαι*, de eo, qui artis suæ specimen dat, ut suam sollertiam ostendat. Hic apprime *sentiendi rationis documentum edere*. *Διὰ τὴν* (sc. *Ἀλεξάνδρου*) *πρὸς αὐτὸν* (sc. *Δημοσθένην*) *ἔχθραν*.

217. *τὸ κεφάλαιον*] Summam et scopum rationis civilis. Non videtur præferendum, quod præferre volebat Wunderlich ex Helmst. *τὰ κεφάλαια*. Nam *τὸ κεφάλαιον* rem totam complectitur, oppositum partibus, *τοῖς καθ' ἕκαστον*.

*οὐ πυκνὰ προσιὼν*] *Non frequenter in rebus publicis versans*. *Demosthenes* Περὶ Στεφ. p. 328. *εἶτα ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ τῆς ἡσυχίας, ὥσπερ πνεῦμα, ἀνεφάνη. καὶ πεφωνασκηκὼς καὶ συνειλοχὼς ῥήματα καὶ λόγους, συνείρει τούτους σαφῶς καὶ ἀπνευστί, ὄνησιν μὲν οὐδεμίαν φέροντας, οὐδ' ἀγαθοῦ κτῆσιν οὐδενός, συμφορὰν δὲ τῷ τυχόντι τῶν πολιτῶν καὶ κοινὴν αἰσχύνην.*

οὔτ' ἐπὶ ταῖς ἐμαυτοῦ αἰσχύνομαι, οὔτε τοὺς εἰρημένους ἐν ὑμῖν λόγους ἐμαυτῷ ἀῤῥήτους εἶναι βουλοίμην, οὔτε τὰ αὐτὰ τούτῳ δημηγορήσας ἐδεξάμην ἂν ζῆν. 218. τὴν δ' ἐμὴν σιωπήν, ὦ Δημόσθενες, ἡ τοῦ βίου μετριότης παρεσκεύασεν· ἀρκεῖ γάρ μοι μικρά, καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ, ὥστε καὶ σιγῶ καὶ λέγω βουλευσάμενος, ἀλλ' οὐκ ἀναγκαζόμενος ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης. σὺ δ', οἶμαι, λαβὼν μὲν σεσίγηκας, ἀναλώσας δὲ κέκραγας. λέγεις δὲ οὐχ ὁπόταν σοι δοκῇ οὐδ' ἃ βούλει, ἀλλ' ὁπόταν οἱ μισθοδόται σοι προστάττωσιν· οὐκ αἰσχύνῃ δὲ ἀλαζονευόμενος ἃ παραχρῆμα ἐξελέγχῃ ψευδόμενος. 219.+ ἀπηνέχθη γὰρ ἡ κατὰ τοῦδε τοῦ ψηφίσματος γραφή, ἣν οὐχ ὑπὲρ τῆς πόλεως, ἀλλ' ὑπὲρ τῆς πρὸς Ἀλέξανδρον ἐνδείξεώς με φῂς ἀπενεγκεῖν, ἔτι Φιλίππου ζῶντος, πρὶν Ἀλέξανδρον εἰς τὴν ἀρχὴν καταστῆναι, οὔπω σοῦ τὸ περὶ Παυσανίαν ἐνύπνιον ἑωρακότος, οὐδὲ πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν νύκτωρ διειλεγμένου. πῶς ἂν οὖν ἐγὼ προενεδεικνύμην Ἀλεξάνδρῳ; εἴ γε μὴ ταὐτὸ ἐνύπνιον ἐγὼ καὶ Δημοσθένης εἴδομεν.+ 220. ἐπιτιμᾷς δέ μοι, εἰ μὴ συνεχῶς, ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον προσέρχομαι, καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν ἡμᾶς, μεταφέρων οὐκ ἐκ

217. *βουλοίμην*] Bekkerus "deest *ἄν*." Opinor hoc sibi velle, addendam esse particulam *ἄν*, sed ubi collocetur, deserentibus nos codicibus, difficile esse judicatu. In quo assentior, nisi forte assumendum sit ex altero membro. Interdum enim fit, ut *ἄν* semel positum complura membra afficiat; usitatum id quidem, ut primo membro positum petendum sit ad sequentia; rarius, ut a posteriore revocetur.

218. *ὁπόταν οἱ μισθοδόται σοι προστάττωσιν*] Cod. Bern. *ὁπόταν καὶ ἃ οἱ μ. σ. πρ.* quam pulcherrimam lectionem vocat Taylor. Quod si eam lectionem pulcherrimam judicarem, qua verbum verbo responderet, flagitarem insuper, ut quemadmodum in membro primo duo verba adsint et diversi modi, sic idem fiat in secundo. Nos vero jam sæpius monuimus antiquos scriptores in oppositionibus non anxios esse solere.

219. *πῶς ἂν οὖν ἐγὼ προενεδεικνύμην Ἀλεξάνδρῳ;*] Stephanum et Wunderlichium secutus sum, qui punctum interrogationis post hoc membrum posuerunt: quo sequens enuntiatio acerba est animadversio, quales solent apud Græcos ut novæ enuntiationes per *εἰ μή, εἴγε μή, εἰ μὴ ἄρα*, apud Latinos per *nisi vero, nisi forte* annecti. Cf. Philologische Beiträge aus der Schweiz p. 181 ss.

218. *καὶ σιγῶ καὶ λέγω βουλευσάμενος*] *Consulto et taceo et loquor*; re demum accurate pensitata aut prodeo ad dicendum, aut linguam contineo.

*ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης*] Interdum ipsum *vitii* nomen ponitur pro *animo ad peccatum propenso*. *Demosth.* Κατὰ Ἀριστογ. B. p. 796. *οἱ πρεσβύτεροι, ἂν ἄρ' ἴδωσιν ἢ δαπάνην ἢ πότον ἢ παιδιὰν πλείω τῆς μετρίας, οὕτω ταῦθ' ὁρῶσιν, ὥστε μὴ δοκεῖν ἑωρακέναι.*

219. *πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν*] Supra § 77, ubi fusius res narratur, scriptum erat *παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς.*

*ἀξίωσιν* cet.] "Num opinaris nos non intelligere, quod hanc rationem non ex democratia, sed ex oligarchia petis?" In oligarchia enim nemini, nisi cui ex oligarchiæ institutis competit, licet ad res publicas accedere; in democratia vero id licet civi cuivis *ἐπιτίμῳ*. Ex verbi

δημοκρατίας, ἀλλ᾽ ἐξ ἑτέρας πολιτείας. ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος, ἀλλ᾽ ὁ δυναστεύων κατηγορεῖ, ἐν δὲ ταῖς δημοκρατίαις ὁ βουλόμενος, καὶ ὅταν αὐτῷ δόξῃ. καὶ τὸ μὲν διὰ χρόνου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν παραλείπειν ἡμέραν ἐργαζομένου καὶ μισθαρνοῦντος. 221. ὑπὲρ δὲ τοῦ μηδέπω κεκρίσθαι ὑπ᾽ ἐμοῦ, μηδὲ τῶν ἀδικημάτων τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις, ἢ σαυτὸν παραλογίζῃ. τὰ μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας ἠσεβημένα σοι, καὶ τὰ περὶ τὴν Εὔβοιαν δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων, ἐν οἷς ὑπ᾽ ἐμοῦ φανερῶς ἐξηλέγχου, ἴσως ἐλπίζεις τὸν δῆμον ἀμνημονεῖν. 222. τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς τριηράρχους ἁρπάγματα τίς ἂν ἀποκρύψαι χρόνος δύναιτ᾽ ἄν, ὅτε νομοθετήσας περὶ τῶν τριακοσίων νεῶν, καὶ σαυτὸν πείσας Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ, ἐξηλέγχθης ὑπ᾽ ἐμοῦ ἑξήκοντα καὶ πέντε νεῶν ταχυναυτουσῶν τριηράρχους ὑφῃρημένος, πλεῖον τῆς

κατηγορεῖ] *Bekkerus* "imo δημηγορεῖ." Sed in ὀλιγαρχίᾳ, ut opinor, rarissimus est τῆς δημηγορίας usus, ubi ἰσηγορία nulla. Verum hic quoque brachylogiam agnosco. In oligarchia potentissimus quisque *judicia exercet*, in democratia quicunque vult adversario *diem dicit*. *Orellius.*

221. τοῦ μηδέπω κεκρίσθαι] Bekkerus ex haud paucis codicibus, sed ejusdem fere familiæ, scripsit μήπω. Sed οὐδέπω, μηδέπω interdum poni videtur, ut fortius οὔπω, μήπω, *nondum sane*, tum apud poetas, tum apud prosæ scriptores. *Æschylus* Prom. 328. Bl.

σὺ δ᾽ οὐδέπω ταπεινὸς οὐδ᾽ εἴκεις κακοῖς.

*Eur.* Med. 130 ss.

ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
τᾶς δυστάνας
Κολχίδος. οὐδέ πω ἤπιος.

ubi probo *Elmsleium*, quod signum interrogationis in punctum mutavit. Sensus est: *adhuc graviter est commota. Xenophon* Cyrop. I. 3, 8. ὡς ἂν παῖς μηδέπω ὑποπτήσσων, ubi *Muretus*, probante Schneidero, conjicit μηδέν πω: quo non opus esse recte *Fischerus* vidit. Sic idem *Schneiderus* L. II. 1, 20. e cod. Alt. recepit οἱ πολέμιοι ἐλέγοντο μὲν προσιέναι, παρῆσαν δ᾽ οὔπω. Ceteri codd. οὐδέπω, quod recte restituit *Poppo*. Noster Κατὰ Τιμ. § 134. p. 94. τοὺς μὲν υἱεῖς τοὺς μηδέπω γεγονότας, ubi item variant codices.

ἀξιοῦν significatione, qua est *postulare*, substantivi ἀξίωσις significatio facile petitur.

220. ἐπὶ τῶν καιρῶν cet.] Verborum collocatio eas notiones præponit, in quibus potissima enuntiationis vis inest. Ἀνδρὸς πολιτευομένου ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος, hominis eo fine rempublicam capessentis, ut temporibus ejus et utilitati inserviat: quemadmodum αἱ ἐπὶ τούτου πράξεις apud *Platon.* Protag. p. 358. b. § 118. Heind. *actiones eo fine perpetratæ.*

222. ἐξηλέγχθης—ὑφῃρημένος] *Demosth.* Περὶ Στεφ. p. 260. audacter provocat ad suam integritatem, etiam si multa sibi oblata sint, si destitisset a lege roganda. *Dinarch.* autem Κατὰ Δημ. p. 33. turpis eum venalitatis accusat, Æschines autem hic Demosthenem affirmat a se convictum

πόλεως ἀφανίζων ναυτικὸν ἢ ὅτε Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ Πόλλιν ἐνίκησαν; 223. οὕτω δὲ ταῖς αἰτίαις ἐνέφραξας τὰς κατὰ σαυτοῦ τιμωρίας, ὥστε τὸν κίνδυνον εἶναι μὴ σοὶ τῷ ἀδικήσαντι, ἀλλὰ τοῖς ἐπεξιοῦσι, πολὺν μὲν τὸν Ἀλέξανδρον καὶ τὸν Φίλιππον ἐν ταῖς διαβολαῖς φέρων, αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς τῆς πόλεως καιρούς, ἀεὶ τὸ παρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπαγγελλόμενος. οὐ τὸ τελευταῖον εἰσαγγέλλεσθαι μέλλων ὑπ' ἐμοῦ, τὴν Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου κατεσκεύασας, τοῦ τὰ ἀγοράσματα Ὀλυμπιάδι ἀγοράζοντος, 224. καὶ τὸν αὐτὸν ἄνδρα διεστρέβλωσας τῇ σαυτοῦ χειρί, γράψας αὐτὸν θανάτῳ ζημιῶσαι, καὶ παρὰ τῷ αὐτῷ ἐν Ὠρεῷ κατήγου, καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ἔφαγες καὶ ἔπιες καὶ ἔσπεισας, καὶ τὴν δεξιὰν ἐνέβαλες, ἄνδρα φίλον καὶ ξένον ποιούμενος, καὶ τοῦτον ἀπέκτεινας; καὶ περὶ τούτων ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ' ἐμοῦ καὶ κληθεὶς ξενοκτόνος οὐ τὸ ἀσέβημα ἠρνήσω, ἀλλ' ἀπεκρίνω, ἐφ' ᾧ ἀνεβόησεν ὁ δῆμος καὶ ὅσοι ξένοι περιέστασαν τὴν ἐκκλησίαν. ἔφησθα γὰρ τοὺς τῆς πόλεως ἅλας περὶ πλείονος ποιήσασθαι τῆς ξενικῆς τραπέζης. 225. ἐπιστολὰς δὲ σιγῶ ψευδεῖς καὶ κατασκόπων συλλήψεις καὶ βασάνους ἐπ' αἰτίαις ἀγενήτοις, ὡς ἐμοῦ μετά τινων ἐν τῇ πόλει νεωτερίζειν βουλομένου. ἔπειτα ἐπερωτᾶν με, ὡς ἐγὼ πυνθάνομαι, μέλλει, τίς ἂν εἴη τοιοῦτος ἰατρός, ὅστις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβουλεύοι, τελευτή-

esse civitati suffuratum quinque et sexaginta naves. "*To whom shall posterity trust? who can form a correct judgment from the accounts of an orator? It seems to me that the circumstance itself, and the opinion of the public on the whole course of his political life, decide in favour of Demosthenes.*" *Boeckh.* Staatsh. II. p. 116.

Πόλλιν] De re vide *Diodor. Sic.* XV.34.

223. *οὕτω δὲ ταῖς αἰτίαις ἐνέφραξας* cet.] Sensus est: Quum tibi pœna metuenda sit, tu, partibus mutatis, accusas eos, qui te in judicium produxerunt, ita ut, quamvis ipsi sint insontes, ob calliditatem tuam et perfidiam in maximo discrimine; versentur, tu autem quasi innoxius evadas.

πολὺν] Πολύς h. l. *is, de quo multa dicuntur:* aliis locis eum significat, *qui multa dicit, qui loquax est.*

Ἀναξίνου] Ratione hujus Anaxini Æschini hæc exprobrat *Demosthenes* Περὶ Στεφ. p. 272. s. *πάλιν μετὰ ταῦθ' ὕστερον Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. καίτοι ὅστις τῷ ὑπὸ τῶν πολεμίων πεμφθέντι μόνος μόνῳ συνῄει καὶ ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος, καὶ πολέμιος τῇ πατρίδι.*

224. *τοὺς τῆς πόλεως ἅλας*] *Ἅλες καὶ τράπεζα* proverbialis est locutio de convictu et hospitio. *Τὴν ξενικὴν τράπεζαν* perquam apud antiquos sanctam et gravi pœna ejus violationem affectam fuisse docet *Spanhemius* ad Callim. H. in Dian. v. 123. unde proverbiale præceptum *ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν.* Merito autem viro vere patriæ amanti summa cum homine privato necessitudo posterior est patriæ salute.

σαυτὸς δὲ αὐτοῦ ἐλθὼν εἰς τὰ ἔνατα διεξίοι πρὸς τοὺς οἰκείους ἃ ἐπιτηδεύσας ὑγιὴς ἂν ἐγένετο. 226. σαυτὸν δ' οὐκ ἀντερωτᾷς, τίς ἂν εἴη δημαγωγὸς τοιοῦτος, ὅστις τὸν μὲν δῆμον θωπεῦσαι δύναιτο, τοὺς δὲ καιροὺς, ἐν οἷς ἦν σώζεσθαι τὴν πόλιν, ἀποδοῖτο, τοὺς δ' εὖ φρονοῦντας κωλύοι διαβάλλων συμβουλεύειν, ἀποδρὰς δ' ἐκ τῶν κινδύνων καὶ τὴν πόλιν ἀνηκέστοις κακοῖς περιβαλὼν, ἀξιοῖ στεφανοῦσθαι ἐπ' ἀρετῇ, ἀγαθὸν μὲν πεποιηκὼς μηδέν, πάντων δὲ τῶν κακῶν αἴτιος γεγονώς, ἐπερωτῴη δὲ τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας ἐπ' ἐκείνων τῶν καιρῶν, ὅτ' ἐνῆν σώζεσθαι, διὰ τί αὐτὸν οὐκ ἐκώλυσαν ἐξαμαρτάνειν; 227. ἀποκρύπτοιτο δὲ τὸ πάντων τελευταῖον, ὅτι, τῆς μάχης ἐπιγενομένης, οὐκ ἐσχολάζομεν περὶ τὴν σὴν εἶναι τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν· ἐπειδὴ δὲ οὐκ ἀπέχρη σοι δίκην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς, καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν ποιῶν, ἐνταῦθ' ἐνέστην καὶ τὴν γραφὴν ἀπήνεγκα.

228. Καὶ νὴ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, ὧν ἐγὼ πυνθάνομαι Δημοσθένην λέξειν, ἐφ' ᾧ νυνὶ μέλλω λέγειν ἀγανακτῶ μάλιστα. ἀφομοιοῖ γάρ μου τὴν φύσιν ταῖς Σειρῆσιν, ὡς ἔοικε. καὶ γὰρ ὑπ' ἐκείνων οὐ κηλεῖσθαί φησι τοὺς ἀκροω-

227. ἀποκρύπτοιτο] Hanc lectionem, quam Reiskius meram Stephani de suo depravationem appellat, obtulerunt septem Bekkeri codices pro vulgato ἀποκρίνοιντο. Ex morata oratione in propriam progreditur earum rerum narrationem, quas crimini vertere vult Demostheni, et in iis hæc est primaria, quod celare studeat civi patriæ amanti multo graviora fuisse facienda, quam *accusare* in judicio eos, qui patriam in tantum discrimen præcipitaverint, patriam scilicet ipsam *a ruina*, quæ illi minitabatur, *defendere*. Ἀποκρίνοιντο nec ex regulis grammaticis nec ex sententia aptum.

225. ἔνατα] Sacra, quæ manibus nono die a funere elato offerebantur (efferri autem solebat mortuus die tertio post quam exspiraverat); hæc faciebant consanguinei et familiares; exclusi ab his erant defunctis invisi. Ad exsequias usque funera in atrio proponebantur. Τοῖς ἐνάτοις comparari possunt *feriæ denicales* Romanorum; distinguenda sunt ab iisdem τὰ γενέσια, de quibus vide *Lobeck.* ad Phryn. p. 104.

226. τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας] Parum recte, opinor, vertitur: *quos ob reipublicæ rationem insectatus est.* Videtur potius hoc dici: *qui per calumnias a rerum publicarum administratione depulsi sunt.* *Demosthenes* Περὶ Στεφ. p. 273. jungit eadem, ni fallor, significatione ὑποσκελίζειν καὶ συκοφαντεῖν.

227. ἐνέστην] Ἐνίστασθαι dicitur de hominibus, qui irruenti hosti inopinato se opponunt, vel etiam ipsi invadunt. Translatum ad forum est alicujus tentaminibus obsistere et hic explicatur per additum τὴν γραφὴν ἀπήνεγκα.

228. [ὧν ἐγὼ—μάλιστα. hæc verba, ob duplicem attractionem obscuriora, in hunc modum resolvas: τούτων ἃ ἐγὼ πυνθάνομαι Δημοσθένην λέξειν, ἐπὶ τούτῳ ἀγανακτῶ μάλιστα. V. C. F. R.]

κηλεῖσθαι] Κηλεῖν verbum proprium est de carminibus et orationibus, quæ magica quadam vi auditorum animos commovent. *Suidas* s. v. κηλούμενος.

μένους, ἀλλ' ἀπόλλυσθαι, διόπερ οὐδ' εὐδοκιμεῖν τὴν τῶν Σειρήνων μουσικήν· καὶ δὴ καὶ τὴν τῶν ἐμῶν λόγων ἐμπειρίαν καὶ τὴν φύσιν μου γεγενῆσθαι ἐπὶ βλάβῃ τῶν ἀκουόντων. καίτοι τὸν λόγον τοῦτον ὅλως μὲν ἔγωγε οὐδενὶ πρέπειν ἡγοῦμαι περὶ ἐμοῦ λέγειν· τῆς γὰρ αἰτίας αἰσχρὸν τὸν αἰτιώμενόν ἐστι τὸ ἔργον μὴ ἔχειν ἐπιδεῖξαι· 229. εἰ δ' ἦν ἀναγκαῖον ῥηθῆναι, οὐ Δημοσθένους ἦν ὁ λόγος, ἀλλ' ἀνδρὸς στρατηγοῦ, μεγάλα μὲν τὴν πόλιν κατειργασμένου, λέγειν δε ἀδυνάτου καὶ τὴν τῶν ἀντιδίκων διὰ τοῦτο ἐζηλωκότος φύσιν, ὅτι σύνοιδεν ἑαυτῷ μὲν οὐδὲν ὧν διαπέπρακται δυναμένῳ φράσαι, τὸν δὲ κατήγορον ὁρᾷ δυνάμενον καὶ τὰ μὴ πεπραγμένα ὑφ' αὐτοῦ παριστάναι τοῖς ἀκούουσιν ὡς διῴκηκεν. οταν δ' ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος, καὶ τούτων πικρῶν καὶ περιέργων, ἔπειτα ἐπὶ τὴν ἁπλότητα καὶ τὰ ἔργα καταφεύγῃ, τίς ἂν ἀνάσχοιτο; οὗ τὴν γλῶτταν, ὥςπερ τῶν αὐλῶν, ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστιν.

228. *τῶν Σειρήνων*] Hoc habent omnes Bekkeri codices præter tres pro vulgato *τῶν εἰρημένων*. Reiskius eos, qui locutione *τῶν εἰρημένων* tanquam peregrina offendantur, parum cognitum habere Polybium arbitratus, oblitus est illos Polybium non habuisse pro exemplo Atticæ dictionis, sed existimasse hanc formulam scriptoribus Atticis usitatam non fuisse.

*τῶν ἐμῶν λόγων ἐμπειρίαν*] Fluctuant codices inter *ἐμπειρίαν* et *εὐπορίαν*. Nimium autem scrupulosi erant viri docti, qui putabant Demosthenem, Æschini silentium et dicendi raritatem exprobrantem, eidem *λόγων ἐμπειρίαν* tribuere non potuisse. Nec Demosthenes hanc ipsi tribuit. Sed Æschines Demosthenis calumniam, Περὶ Στεφ. p. 328. *συνείρειν αὐτὸν λόγους σαφῶς καὶ ἀπνευστί*, ita in suum honorem interpretatur.

229. *μεγάλα μὲν τὴν πόλιν κατειργασμένου*] Sic quattuor Bekkeri codices ejusdem familiæ pro vulgato *τῇ πόλει*. *'Εργάζεσθαι* et synonyma apud Atticos scriptores ex regula cum duplice accusativo construuntur, eumque in lectionis varietate præferendum censeo. Si dativus personæ ab omnibus MSS. teneatur, eum non ausim de conjectura mutare. Sobrie de hac re egit *Fischerus* ad Wellerum, P. III. a. p. 429 s.

*τερπόμενος, θελγόμενος, οἷον αὐλοῖς καὶ ἡδυφωνίαις.* Κηλοῦμαι γὰρ τὸ ὑπ' αὐλῶν ἥδομαι.

*διόπερ οὐδ' εὐδοκιμεῖν τὴν τῶν Σειρήνων μουσικήν*] Nimium fastidiosus est Taylor, si hoc tanquam futile et ab hoc loco alienum glossema exterminandum censet. Est hoc ex eorum genere, quo oratores si adversarium inducunt loquentem, puerilia sæpe ei tribuunt; hanc animadversionem appellaverim leviter ironicam.

*τῆς γὰρ αἰτίας* cet.] Grammaticus verborum ordo hic est: *αἰσχρὸν γάρ ἐστι τὸν αἰτιώμενον μὴ ἔχειν ἐπιδεῖξαι τὸ ἔργον τῆς αἰτίας*. *Τὸ ἔργον τῆς αἰτίας* est veritas criminationis, quæ vertitur in certo facto, de quo dubitari non potest.

229. *ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος, καὶ τούτων πικρῶν καὶ περιέργων*] Contra has Æschinis criminationes defendit Demosthenem *Dionysius Halicarn.* Περὶ τῆς λεκτικῆς Δημοσθένους δεινότητος c. 55 s., ostendens orationis *πικρότητα*, suo loco adhibitam, et ita ut Demosthenes ea usus sit, laudem esse, von vitium. Περιεργίαν technici appellabant affectationem ornatus, malam sedulitatem in ornando et poliendo, quam *supervacuam operositatem* dicit *Quintilianus* Oratt. Institutt. L. VIII. 3, 55.

*οὗ τὴν γλῶτταν, ὥςπερ τῶν αὐλῶν, ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστι*] Demadis hic fertur jocus fuisse in Athenienses: *Δημάδης τοὺς 'Αθηναίους εἴκαζεν αὐλοῖς,*

230. Θαυμάζω δ' ἔγωγε ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ζητῶ πρὸς τί ἂν ἀποβλέποντες ἀποψηφίσαισθε τὴν γραφήν. πότερ' ὡς τὸ ψήφισμά ἐστιν ἔννομον; ἀλλ' οὐδεμία πώποτε γνωμὴ παρανομωτέρα γεγένηται. ἀλλ' ὡς ὁ τὸ ψήφισμα γράψας οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι; οὐκ ἄρ' εἰσὶ παρ' ὑμῖν εὐθῦναι βίου, εἰ τοῦτον ἀφήσετε. ἐκεῖνο δ' οὐ λυπηρόν, εἰ πρότερον μὲν ἐνεπίμπλατο ἡ ὀρχήστρα χρυσῶν στεφάνων, οἷς ὁ δῆμος ἐστεφανοῦτο ὑπὸ τῶν Ἑλλήνων, διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀποδεδόσθαι τὴν ἡμέραν, ἐκ δὲ τῶν Δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκήρυκτοι γίγνεσθε, οὗτος δὲ κηρυχθήσεται; 231. καὶ εἰ μέν τις τῶν τραγικῶν ποιητῶν τῶν μετὰ ταῦτα ἐπεισαγόντων ποιήσειεν ἐν τραγῳδίᾳ τὸν Θερσίτην ὑπὸ τῶν Ἑλλήνων στεφανούμενον, οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν, ὅτι φησὶν Ὅμηρος ἄνανδρον αὐτὸν εἶναι καὶ συκοφάντην· αὐτοὶ δ', ὅταν τὸν τοιοῦτον ἄνθρωπον στεφανῶτε, οὐκ οἴεσθε ἐν ταῖς τῶν Ἑλλήνων δόξαις συρίττεσθαι; οἱ μὲν γὰρ πατέρες ὑμῶν τὰ ἔνδοξα καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ, τὰ δὲ ταπεινὰ καὶ καταδεέστερα εἰς τοὺς ῥήτορας τοὺς φαύλους ἔτρεπον· Κτησιφῶν δ' ὑμᾶς οἴεται δεῖν ἀφελόντας τὴν ἀδοξίαν ἀπὸ Δημοσθένους περιθεῖναι τῷ δήμῳ. 232. καί φατε μὲν εὐτυχεῖς εἶναι, ὡς καὶ ἐστὲ καλῶς ποιοῦντες, ψηφιεῖσθε δ' ὑπὸ μὲν τῆς τύχης

230. ζητῶ] Vulgo ζητῶ πυθέσθαι. Quum autem πυθέσθαι in tribus tantum Bekkeri codd. sit, recte ut additamentum grammatici deletum. Ζητεῖν enim apud optimos interdum est *interrogare*, et adjunctam habet notionem desiderii.

ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστι. Faceta sane comparatio! Quod si enim hoc tempore Athenienses erant satis loquentes et diserti, plerumque etiam gloriosi, in agendo tamen inertissimi et languore suo et desidia nimium quantum verborum vanitatem testabantur.

230. οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι] Attici hominem ἐπιτήδειον vocabant, quem *Sallustius* Jugurtha XX. 2. *opportunum injuriæ*. Sic *Plutarchus* scribit tyrannos Athenarum interfecisse primum invisissimum omnium sycophantarum, qui quia primo loco sese obtulerat neque propter publicum odium latere poterat, ab ea re ἐπιτήδειος vocatus est. *Demosthenes* Κατὰ Ἀνδρωτ. p. 610. αἱ πόρναι ἐπιτήδειαι παθεῖν κακά. [Cf. *Wyttenbach*. Cur. poster. in Bibl. cr. III. P. 12. p. 30.]

231. ἐπεισαγόντων] sc. δράματα. Taylor cum Wolfio scribens ἐπεισιόντων non attendit ad subjectum ποιητῶν, quum, monente *Fischero* ad Wellerum III. a. p. 256. ἐπεισιέναι non de *poetis*, sed de *histrionibus* *dicatur*. Ἐπεισάγειν autem est verbum proprium de poetis, qui inducunt fabulas. Cf. *Schæfer*. ad Bosii Ellips. p. 118 s.

ἀνετίθεσαν] Quum ἀνατιθέναι de *donariis* imprimis diceretur, quæ diis consecrabantur, in genere significationem accepit, *aliquid tanquam monumentum alicui tribuere*. *Xenophon*. Memor. IV. 6, 15. ἔφη δὲ καὶ Ὅμηρον τῷ Ὀδυσσεῖ ἀναθεῖναι τὸ ἀσφαλῆ ῥήτορα εἶναι.

232. καλῶς ποιοῦντες] Hanc formulam,

*ἐγκαταλελεῖφθαι, ὑπὸ Δημοσθένους δὲ εὖ πεπονθέναι; καὶ τὸ πάντων ἀτοπώτατον, ἐν τοῖς αὐτοῖς δικαστηρίοις τοὺς μὲν τὰς τῶν δώρων γραφὰς ἁλισκομένους ἀτιμοῦτε, ὃν δ' αὐτοὶ μισθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς μὲν κριτὰς τοὺς ἐκ Διονυσίων, ἐὰν μὴ δικαίως τοὺς κυκλίους χοροὺς κρίνωσι, ζημιοῦτε· αὐτοὶ δὲ οὐ κυκλίων χορῶν κριταὶ καθεστηκότες, ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρετῆς, τὰς δωρεὰς οὐ κατὰ τοὺς νόμους οὐδ' ὀλίγοις καὶ τοῖς ἀξίοις, ἀλλὰ τῷ διαπραξαμένῳ δώσετε;* 233. *ἔπειτ' ἔξεισιν ἐκ τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτὴς ἑαυτὸν μὲν ἀσθενῆ πεποιηκώς, ἰσχυρὸν δὲ τὸν ῥήτορα. ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει· ὅταν δ' ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκε τὴν αὐτὸς αὑτοῦ δυναστείαν. ἔπειθ' ὁ μὲν ὅρκος, ὃν ὀμωμοκὼς δικάζει, συμπαρακολουθῶν αὐτὸν λυπεῖ· δι' αὐτὸν γάρ, οἶμαι, γέγονε τὸ ἁμάρτημα· ἡ δὲ χάρις πρὸς ὃν ἐχαρίζετο ἄδηλος γεγένηται· ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται.*

234. *Δοκοῦμεν δ' ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερα καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες. ὅτι μὲν γὰρ ἐπὶ τῶν νῦν καιρῶν οἱ πολλοὶ τοῖς ὀλίγοις προΐεσθε τὰ τῆς δημοκρατίας ἰσχυρά, οὐκ ἐπαινῶ· ὅτι δ' οὐ γεγένηται φορὰ καθ' ἡμᾶς ῥητόρων πονηρῶν ἅμα*

significantem *jure, merito,* illustravit *D'Orvillius* ad Charit. p. 296 s. Lips. Mihi in quibusdam locis, ut hic, inesse videtur lenis ironia, quemadmodum in similibus formis, v. c. *ἀγαθῇ τύχῃ, cum bona fortuna.*

*τοὺς μὲν κριτὰς τοὺς ἐκ Διονυσίων*] Eosdem intelligit, quos *Demosthenes* in Mid. p. 520. appellat *τοὺς κριτὰς τῷ ἀγῶνι τῶν ἀνδρῶν*: qui judices sedebant certaminis, eumque coronabant, qui præstantissimus judicatus erat. Videntur iidem fuisse, ad quos deferendæ erant eorum querelæ, qui per festum injurias se passos esse opinabantur, et quibus censura Archontis ejusque curationis demandata erat. *Κύκλια* vel *ἐγκύκλια* sunt *τὰ κατ' ἐνιαυτὸν γινόμενα, οἷον χορηγίαι, γυμνασιαρχίαι καὶ ἱερῶν περίοδος.* *F. A. Wolfius* in Prolegg. ad Leptin. vertit *munera sollemnia, stata, ordinaria.*

233. *ὁ τοιοῦτος κριτής*] Scholiastes: *ἐνταῦθα καταχρηστικῶς εἶπε κριτὴν τὸν δικαστήν. Κριτὴς γὰρ ὁ κρίνων τοὺς τραγῳδοὺς καὶ τοὺς ἄλλους ἐπὶ σκηνῆς.*

*συμπαρακολουθῶν αὐτὸν λυπεῖ*] Jurisjurandi violatio perpetua memoria, furiarum instar, conscientiam terret et vexat.

234. *καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες*] Brachylogice hoc dictum. Sententia hæc est: Quemadmodum non est mirum per nostram nos imprudentiam in administrandis rebus civilibus in magna incurrisse pericula, sic ne ea quidem, quæ nobis commodo esse possint, nobis debentur ipsis, sed fortunæ, nec nos quicquam facimus ad rem juvandam et regendam, verum, quam obtulit opportunitatem fortuna, ea non utimur, sed abutimur.

*τὰ τῆς δημοκρατίας ἰσχυρά*] Firma democratiæ præsidia, quæ sunt posita in legum severitate et observantia, in depellendis a republica hominibus callidis, qui adulatione et assentatione ad voluptatem omnia loquuntur et agunt, nihil ad veritatem.

*φορὰ—ῥητόρων*] *Φορά, proventus,* in quo sæpe inest notio copiæ et multitudinis, tropice de hominum *copia,* quos ætas fert, significatione bona et mala. Nota est apud *Demosthenem* Περὶ Στεφ. p. 245. *φορὰ προδοτῶν τοσαύτη, ὅσην οὐδείς πω*

καὶ τολμηρῶν, εὐτυχοῦμεν. πρότερον μὲν γὰρ τοιαύτας φύσεις ἤνεγκε τὸ δημόσιον, αἳ ῥᾳδίως οὕτω κατέλυσαν τὸν δῆμον· ἔχαιρε γὰρ κολακευόμενος. ἔπειτ' αὐτὸν, οὐχ οὓς ἐφοβεῖτο, ἀλλ' οἷς ἑαυτὸν ἐνεχείριζε, κατέλυσαν· 235. ἔνιοι δὲ καὶ αὐτοὶ τῶν τριάκοντα ἐγένοντο, οἳ πλείους ἢ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, πρὶν τὰς αἰτίας ἀκοῦσαι, ἐφ' αἷς ἔμελλον ἀποθνήσκειν, καὶ οὐδ' ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τελευτησάντων εἴων τοὺς προσήκοντας παραγίγνεσθαι. οὐχ ὑφ' ὑμῖν αὐτοῖς ἕξετε τοὺς πολιτευομένους; οὐ ταπεινώσαντες ἀποπέμψετε τοὺς νῦν ἐπηρμένους; οὐ μέμνησθ' ὅτι οὐδεὶς πώποτε ἐπέθετο πρότερον δήμου καταλύσει, πρὶν ἂν μεῖζον τῶν δικαστηρίων ἰσχύσῃ;

236. Ἡδέως δ' ἂν ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐναντίον ὑμῶν ἀναλογισαίμην πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ ποίας εὐεργεσίας ἀξιοῖ Δημοσθένην στεφανῶσαι. εἰ μὲν γὰρ λέγεις, ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω, ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου. τοῦ γὰρ ταῦτ' ἐξειργάσθαι καλῶς τὸ γεγενῆσθαι τούτων αἴτιον μείζω κατηγορίαν ἔχει· οὐ γὰρ περιχαρακώσαντα χρὴ τὰ τείχη, οὐδὲ τὰς δημοσίας ταφὰς ἀνελόντα τὸν ὀρθῶς

234. *κατέλυσαν*] Taylor, offensus tam vicina ejusdem vocabuli repetitione, conjecit priore loco *κατεκήλησαν* scribendum. Sed hoc mitius est pro re, quam Æschines exprimere vult. Casp. noster Orellius vere monet, si quid mutandum sit. Tayloriano *κατεκήλησαν* longe præstare *κατέκλυσαν* a *κατακλύζω*: Facile sic populi mentem suæ orationis volubilitate obruebant, transversumque agebant.

*πρότερον μέμνηται γεγονυῖαν.* Exempla tropici usus habet *Wesselingius* ad Diod. Sic. XVI. 54.

235. *ἀκρίτους*] Quum in hac notione summum insit tyrannorum crimen, ejus etiam periphrasin addit Æschines *πρὶν τὰς αἰτίας ἀκοῦσαι.*

*ἐπέθετο—δήμου καταλύσει*] Ἐπιτίθεσθαι significat *adoriri*, vel vi aperta, vel dolo et insidiis. Dativus autem substantivi finis est, quem hi homines hoc impetu assequi studebant. Insidiabantur libertati et democratiæ.

236. *Ἡδέως δ' ἂν — ἀναλογισαίμην*] Ἀναλογίζεσθαι proprie est ejus, qui, absoluta computatione, denuo eandem repetit, ut videat, num prima justa fuerit. Ad argumentationem relatum significat præcipua argumentationis capita repetere.

*εἰ μὲν γὰρ λέγεις*] Marklandus mavult *λέξεις*, quoniam sequitur *εἰ δὲ ἥξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφ.* Utrumque recte dicitur, atque etiam ubi minus est caussæ, variant tempora præsens et futurum. Hoc loco præsens aptius sensu: *Nam si etiamnum dicis.*

*γεγενῆσθαι τούτων αἴτιον*] Etiam hic offenderunt viri docti in plurali *τούτων* de re una adhibito. Cf. ad Lysiam Κατὰ Ἀγορ. § 21.

*τὰς δημοσίας ταφὰς ἀνελόντα*] Objicit Æschines Demostheni eum, ut muros suos, quibus tantopere gloriaretur, ædificaret, ne locis quidem sacris, v. c. sepulcris, pepercisse, quo minus ipsi impendere necesse esset: quum tamen lege vetitum sit sepulcra violare. Cf. *Cicero* de Legg. II. 26. Soli Atheniensium muri, qui, auctore Themistocle, Ol. LXXV. 2. adversantibus ceteris Græcis, celerrime instituti sunt, constabant ex sacellis

πεπολιτευμένον δωρεὰς αἰτεῖν, ἀλλ' ἀγαθοῦ τινὸς αἴτιον γεγενημένον τῇ πόλει. 237. εἰ δὲ ἥξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφίσματος, ἐν ᾧ τετόλμηκας γράφειν, ὡς ἔστιν ἀνὴρ ἀγαθὸς καὶ διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ τῶν Ἀθηναίων, ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ ψηφίσματος ἅψαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ τι λέγεις. τὰς μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας καὶ τοὺς Εὐβοέας δωροδοκίας παραλείπω· ὅταν δὲ τῆς πρὸς Θηβαίους συμμαχίας τὰς αἰτίας ἀνατιθῇς Δημοσθένει, τοὺς μὲν ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς δ' εἰδότας καὶ αἰσθανομένους ὑβρίζεις. ἀφελὼν γὰρ τὸν καιρὸν καὶ τὴν δόξαν τὴν τούτων, δι' ἣν ἐγένετο ἡ συμμαχία, λανθάνειν οἴει ἡμᾶς τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς. 238. ἡλίκον δ' ἐστὶ τὸ ἀλαζόνευμα τοῦτο, ἐγὼ πειράσομαι μεγάλῳ σημείῳ διδάξαι. ὁ γὰρ τῶν Περσῶν βασιλεὺς οὐ πολλῷ πρότερον χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν κατέπεμψε τῷ δήμῳ καὶ μάλα ὑβριστικὴν καὶ βάρβαρον ἐπιστολήν, ἐν ᾗ τά τε δὴ ἄλλα καὶ μάλ' ἀπαιδεύτως διελέχθη, καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν ἐν τῇ ἐπιστολῇ, "ἐγὼ" φησὶν "ὑμῖν χρυσίον οὐ δώσω· μή με αἰτεῖτε· οὐ γὰρ λήψεσθε." 239. οὗτος μέντοι ὁ αὐτὸς ἐγκαταληφθεὶς ὑπὸ τῶν νυνὶ παρόντων αὐτῷ κινδύνων, οὐκ αἰτούντων Ἀθηναίων, αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια τάλαντα τῷ δήμῳ, ἃ σωφρονῶν ὁ δῆμος οὐκ ἐδέξατο. ὁ δὲ κομίζων ἦν τὸ χρυσίον καιρὸς καὶ φόβος καὶ χρεία συμμάχων. τὸ δὲ αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν ἐξειργάζετο. σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας ἐνοχλεῖς ἀεὶ λέγων, τὰ δ' ἑβδομήκοντα τάλαντα ὑποσιωπᾷς, ἃ προλαβὼν τοῦ βασιλικοῦ χρυσίου ἀπεστέρησας. 240. οὐ δι' ἔνδειαν μὲν χρημάτων ἕνεκα πέντε ταλάντων οἱ ξένοι τοῖς

sepulcrisque. *Thucyd.* I. 90 ss. *Corn. Nep.* Them. c. 6.

237. *τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς*] Tribuens auctoritatem, quam habebat ut legatus ex hac civitate, homini qua tali. Περιτιθέναι proprie is dicitur, qui alteri vestem induit.

238. *οὐ γὰρ λήψεσθε*] Si non respicitur ad locum *Aristophanis* Acharn. 100 ss. ubi Pseudartabas, qui partes agit satrapæ Persici, quasi Persice loquens barbara lingua dira opprobria jactat in Athenienses, quorum partem legatus Atheniensis, qui redierat ex Persia, in laudem et commodum Atheniensium interpretatur, similis tamen hic est barbari fastus.

239. *τὰ δ' ἑβδομήκοντα—ὑποσιωπᾷς*] Hæc omnia nonnisi ex adversariis Demosthenis cognita habemus, ut incertum sit, num fidem ullam mereantur. Ipsa certe narratio est tenebricosa.

Θηβαίοις τὴν ἄκραν οὐ παρέδοσαν; διὰ δὲ ἐννέα τάλαντα ἀργυρίου, πάντων Ἀρκάδων ἐξεληλυθότων καὶ τῶν ἡγεμόνων ἑτοίμων ὄντων βοηθεῖν, ἡ πρᾶξις οὐ γεγένηται; σὺ δὲ πλουτεῖς καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χορηγεῖς. καὶ τὸ κεφάλαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ, οἱ δὲ κίνδυνοι παρ' ὑμῖν.

241. Ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν θεωρῆσαι. εἰ γὰρ τολμήσει Κτησιφῶν μὲν Δημοσθένην παρακαλεῖν λέξοντα εἰς ὑμᾶς, οὗτος δ' ἀναβὰς ἑαυτὸν ἐγκωμιάσει, βαρύτερον τῶν ἔργων ὧν πεπόνθατε τὸ ἀκρόαμα γίγνεται. ὅπου γὰρ τοὺς μὲν ὄντως ἄνδρας ἀγαθούς, οἷς πολλὰ καὶ καλὰ σύνισμεν ἔργα, ἐὰν τοὺς καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν· ὅταν δὲ ἄνθρωπος αἰσχύνη τῆς πόλεως γεγονὼς ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν ἀκούων;

242. Ἀπὸ μὲν οὖν τῆς ἀναισχύντου πραγματείας, ἐὰν σωφρονῇς, ἀποστήσῃ, ποίησαι δέ, ὦ Κτησιφῶν, διὰ σαυτοῦ τὴν ἀπολογίαν. οὐ γὰρ δή που τοῦτό γε σκήψῃ, ὡς οὐ δυνατὸς εἶ λέγειν. †καὶ γὰρ ἂν ἄτοπόν σοι συμβαίνοι, εἰ πρώην μέν ποθ' ὑπέμεινας πρεσβευτὴς ὡς Κλεοπάτραν, τὴν Φιλίπ-

241. τολμήσει] Sic habent quinque Bekkeri codices pro vulgato τολμήσειε. Modorum diversitatem in hoc verbo et sequenti ἐγκωμιάσει, qua offensi erant Marklandus et Reiskius, Wunderlich defendebat. "Optativus τολμήσειε, inquit, notat Æschinem post ea, quæ monuerat § 202. s., dubitare, num Ctesiphon Demosthenem advocaturus sit. Indicativus autem ἐγκωμιάσει Demostheni eam Æschinem impudentiam tribuere significat, tanquam extemplo re suscepta se ipsum prædicaturus sit." Mihi utriusque membri eadem videtur ratio. Neque supra res dubitanter est expressa, sed ut futura. Hinc bonorum codicum auctoritati cessi.

βαρύτερον τῶν ἔργων ὧν πεπόνθατε τὸ ἀκρόαμα γίγνεται] Quattuor codices pro πεπόνθατε habent πεπόνθαμεν, quod legitur etiam in Bekkeri Anecdd. p. 372; non male. Vividior enim est oratio, si Æschines se cum auditoribus conjungit ratione eorum, quæ passi sunt.

240. διὰ δὲ ἐννέα τάλαντα] Cf. *Dinarchum* p. 14.

241. ἀπαιδευσίαν αὐτῶν] Ctesiphontis, Demosthenis et assecIarum.

ὅταν δὲ ἄνθρωπος cet.] Oratio est ἀνακόλουθος, quam ἀκόλουθον reddidit Marklandus delenda particula δέ. Sed contra omnes libros non ausim anacoluthiam tollere. Sic enim facile pergit, quasi primo membro scripserit: ὅταν μὲν γὰρ οἱ ὄντως ἄνδρες ἀγαθοὶ καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν.

242. ποίησαι] Bekkerus malit ποιήσῃ vel ποιήσει in futuro, quemadmodum præcessit ἀποστήσῃ. Equidem in vulgata acquiesco. Prius enim membrum est conditionatum: ἐὰν σωφρονῇς, ἀποστήσῃ, et ex eo, quod conditioni satisfactum sit, pendet actio futura. Imperativus autem secundi membri est absolute exhortantis et imperantis.

Κλεοπάτραν] Hæc erat Philippi filia ex Olympiade, quam Ol. CXI. 1. Philippus Alexandro, fratri Olympiadis, Molossorum vel Epirotarum regi, nuptum dedit, nuptiasque magnificentissime celebravit, ut enarrat *Diodor. Sic.* XVI. 91. Alexander, a Tarentinis auxilia adversus Bruttios deprecantibus sollicitatus, cupide in Italiam trajecit, se sibi sperans

που θυγατέρα, χειροτονεῖσθαι, συναχθεσθησόμενος ἐπὶ τῇ τοῦ Μολοττῶν βασιλέως Ἀλεξάνδρου τελευτῇ, νυνὶ δὲ οὐ φήσεις δύνασθαι λέγειν. ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δύνασαι παραμυθεῖσθαι, γράψας δὲ μισθοῦ ψήφισμα οὐκ ἀπολογήσῃ; 243. ἢ τοιοῦτός ἐστιν ὃν γέγραφας στεφανοῦσθαι, οἷος μὴ γιγνώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων, ἂν μή τίς σοι συνείπῃ; ἐπερώτησον δὴ τοὺς δικαστάς, εἰ ἐγίγνωσκον Χαβρίαν καὶ Ἰφικράτην καὶ Τιμόθεον, καὶ πυθοῦ παρ' αὐτῶν διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδοσαν καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντες γὰρ ἅμα σοι ἀποκρινοῦνται, ὅτι Χαβρίᾳ μὲν διὰ τὴν περὶ Νάξον ναυμαχίαν, Ἰφικράτει δὲ ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινε, Τιμοθέῳ δὲ διὰ τὸν περίπλουν τὸν εἰς Κέρκυραν, καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ πόλεμον ἔργα πέπρακται.+ 244. Δημοσθένει δ' ἀντεροῦ διὰ τί δώσετε; ὅτι δωροδόκος, ὅτι δειλός, ὅτι τὴν τάξιν ἔλιπε.

242. συναχθεσθησόμενος] Duo codd. habent συναχθησόμενος, et Atticistæ, ut Thomas M. et Mœris, hanc formam καλλίω καὶ Ἀττικὴν pronuntiant. Sed Atticistæ sæpe unum scriptorem vel unum locum respicientes rem posuerunt ut universe veram. Negari tamen nequit formas ἀχθεσθήσομαι et ἀχθέσομαι (nam sic est scribenda: vide *Buttmann ausführliche Griechische Sprachlehre* § 112. Anm. 5.) a librariis sæpe confusas esse.

244. ἀντεροῦ διὰ τί δώσετε] Vulgo ἐάν τις ἐρωτᾷ, διὰ τί οὐ δώσετε, φήσετε: quæ est enuntiationis enervatio. φήσετε deest in omnibus codd. præter duos. Negatio οὐ est nonnisi in quinque codicibus. Receptam lectionem obtulerunt quinque codices, quæ sensim per partes in reliquis corrupta est.

Italiam subjecturum, sed cum omnibus suis copiis occisus est, anno ante Chr. n. 331.

243. οἷος μὴ γιγνώσκεσθαι] "Si οἷος translatam significationem habet *qui velit, qui possit, qui ad eam rem, de qua agitur, sit proclivis, paratus, intentus*, semper cum infinitivo et, si negativa sit enuntiatio, cum negatione μή construitur et ipsum effertur eo casu, qui erat casus nominis τοιοῦτος." Hæc exposuit et demonstravit Fr. W. *Reitzius* de prosodiæ Gr. accentus inclinatione p. 92 ss. ibique *F. A. Wolfius.*

Χαβρίαν] Chabriam ait propter pugnam navalem inter Naxum et Parum ornatum præmiis fuisse (Ol. C. 4. *Diodor. Sic.* XV. 84). Maxime tamen eluxit inventum ejus in prœlio, quod apud Thebas fecit, quum Bœotiis subsidio venisset. Narrat id *Diodor. Sic.* XV. 35. *Cornel Nep.* Chabr. I. Statua in memoriam hujus rei Athenis in foro constituta erat.

Ἰφικράτην] Iphicratem donarunt statua ænea, victu Prytanei, aliis præmiis, ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινεν in bello, quod dicitur Corinthiacum, Ol. XCVI. 4. De Lacedæmoniorum mora accurate egit Fr. *Manso* Sparta. Vol. I. P. II. p. 225, nos in tironum usum explicuimus ad Corn. Nep. Iphicrat. II. 3.

Τιμόθεον] Etiam huic statuam æneam posuerunt Athenienses: quod primum exemplum erat, *ut, quum patri populus statuam posuisset, filio quoque daret.* Hæc autem expeditio in Corcyram κατ' ἐξοχὴν dicitur περίπλους. Nam quum primo in Thraciam navigavisset Timotheus, ut naves arcesseret, tum Græciam circumnavigavit et Corcyram Atheniensium potestati subjecit. Cf. *Xenoph.* Hellen. VI. 2, 11 ss. De hujus insulæ nomine accurate disputavit Cardinalis Quirinus in primordiis Corcyræ. Atticis dicitur Κέρκυρα, Latinis et Græcis post Christum n. Κόρκυρα, hodiernis Κορφοί, quod corruptum est ex κορυφή, nobis *Corfu.*

καὶ πότερον τοῦτον τιμήσετε, ἢ ὑμᾶς αὐτοὺς ἀτιμώσετε καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας; ους νομίσαθ' ὁρᾶν σχετλιάζοντας, εἰ οὗτος στεφανωθήσεται. καὶ γὰρ ἂν εἴη δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ ἀγνώμονα, ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν, καὶ ἐάν τις αὑτὸν διαχρήσηται, τὴν χεῖρα τὴν τοῦτο πράξασαν χωρὶς τοῦ σώματος θάπτομεν, 245. Δημοσθένην δέ, ὦ Ἀθηναῖοι, τὸν γράψαντα μὲν τὴν πανυστάτην ἔξοδον, προδόντα δὲ τοὺς στρατιώτας, τοῦτον ὑμεῖς τιμήσετε. οὐκοῦν ὑβρίζονται μὲν οἱ τελευτήσαντες, ἀθυμότεροι δὲ οἱ ζῶντες γίγνονται, ὁρῶντες τῆς ἀρετῆς ἆθλον τὸν θάνατον κείμενον, τὴν δὲ μνήμην ἐπιλείπουσαν. τὸ δὲ μέγιστον, ἐὰν ἐπερωτῶσιν ὑμᾶς οἱ νεώτεροι πρὸς ποῖον χρὴ παράδειγμα αὑτοὺς τὸν βίον ποιεῖσθαι, τί κρινεῖτε; 246. εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐχ αἱ παλαῖστραι, οὐδὲ τὰ διδασκαλεῖα, οὐδ' ἡ μουσικὴ μόνον παιδεύει τοὺς νεωτέρους, ἀλλὰ πολὺ μᾶλλον τὰ δημόσια κηρύγματα. κηρύττεταί τις ἐν τῷ θεάτρῳ, ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας καὶ εὐνοίας, ἄνθρωπος ἀσχήμων ὢν τῷ βίῳ, καὶ βδελυρός·

246. *τὰ δημόσια κηρύγματα*] Hanc lectionem jam antiquitus tentatam fuisse videtur patere ex lectione quattuor codicum ejusdem familiæ, qui pro *κηρύγματα* habent *δίκαια*, quod corruptum existimat Casparus noster Orellius ex vocabulo *δικαιώματα*. Ego tamen cum Wunderlichio censeo vulgatam lectionem veram esse, tum quod, si exempla, quæ afferuntur, examinaveris, invenies ea *κηρύγματα* esse, tum quod additur: *εὖ γὰρ ἴστε, ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κ η ρ υ τ τ ό μ ε ν ο ς.*

244. *σχετλιάζοντας*] *Σχετλιάζειν* de vehemente affectu ejusque significatione per gestum vel vocem vel facta dicitur, unde quis appareat non tranquillæ mentis esse, sed occæcatus affectu; imprimis de *mœrore* et *indignatione*. § 258. *Ἀριστείδην ... σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ.*

*ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ*] *Pausanias* L. VI. 11, 2. *Δράκων Ἀθηναίοις θεσμοὺς γράψας φονικοὺς ὑπερώρισε καὶ τὰ ἄψυχα, εἴ γε ἐμπεσόν τι ἐξ αὐτῶν ἀποκτείνειεν ἄνθρωπον*, eamque legem probavit etiam *Plato* Legg. IX. 12. Cf. *Matthiæ* Misc. Phill. T. I. p. 154.

*τὴν χεῖρα—χωρὶς τοῦ σώματος θάπτομεν*] Rationem reddit *Josephus* Ἀλώσ. L. III. 8, 5. *παρ' ἑτέροις δὲ καὶ τὰς δεξιὰς τούτων τῶν νεκρῶν ἀποκόπτειν ἐκέλευσαν, αἷς ἐστρατεύσαντο καθ' ἑαυτῶν, ἡγούμενοι, καθάπερ τὸ σῶμα τῆς ψυχῆς ἀλλότριον, οὕτω καὶ τὴν χεῖρα τοῦ σώματος.* *Aristot.* Nicom. L. III. 7. *Τὸ δὲ ἀποθνήσκειν φεύγοντα πενίαν ἢ ἔρωτα ἤ τι λυπηρὸν οὐκ ἀνδρείου, ἀλλὰ μᾶλλον δειλοῦ. μαλακία γὰρ τὸ φεύγειν τὰ ἐπίπονα.*

245. *πανυστάτην ἔξοδον*] Intelligit fatalem illam expeditionem, quæ clade Chæronensi finita est.

*τῆς ἀρετῆς ἆθλον* cet.] Præmium virtutis esse mortem, memoriam vero evanuisse: quum tamen viri fortes cupiant *μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλειν.* [Interrogative, ni fallor, locutus est orator, scribens: *οὔκουν—ἐπιλείπουσαν;* V. C. F. R.]

*τί κρινεῖτε;*] *Quid judicabitis? Quam sententiam pronuntiabitis?* Quattuor codices ejusdem familiæ omittunt hæc vocabula, ut sit aposiopesis, quæ tamen hic locum habere non videtur.

ὁ δέ γε νεώτερος ταῦτ᾽ ἰδὼν διεφθάρη. δίκην τις δέδωκε πονηρὸς καὶ πορνοβοσκὸς ὥσπερ Κτησιφῶν· οἱ δέ γε ἄλλοι πεπαίδευνται. τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων ἐπανελθὼν οἴκαδε παιδεύει τὸν υἱόν· ὁ δέ γε εἰκότως οὐ πείθεται, ἀλλὰ τὸ νουθετεῖν ἐνοχλεῖν ἐνταῦθα ἤδη δικαίως ὀνομάζεται. 247. ὡς οὖν μὴ μόνον κρίνοντες, ἀλλὰ καὶ θεωρούμενοι, οὕτω τὴν ψῆφον φέρετε, εἰς ἀπολογισμὸν τοῖς νῦν μὲν οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις δὲ ὑμᾶς, τί ἐδικάζετε. εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος· ἔστι δὲ ὄνειδος μὴ τοῖς προγόνοις ὑμᾶς, ἀλλὰ τῇ Δημοσθένους ἀνανδρίᾳ προσεικασθῆναι. πῶς οὖν ἄν τις τὴν τοιαύτην αἰσχύνην ἐκφύγοι; 248. ἐὰν τοὺς προκαταλαμβάνοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι, φυλάξησθε. ἡ γὰρ εὔνοια καὶ τὸ τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ, φθάνουσι δ᾽ ἐπ᾽ αὐτὰ καταφεύγοντες τῷ λόγῳ ὡς ἐπὶ πολὺ οἱ τοῖς ἔργοις πλεῖστον ἀπέχοντες. 249. ὅταν οὖν λάβητε ῥήτορα ξενικῶν στεφάνων καὶ κηρυγμάτων ἐν τοῖς Ἕλλησιν ἐπιθυμοῦντα, ἐπανάγειν αὐτὸν κελεύετε καὶ τὸν λόγον, ὥσπερ τὰς βεβαιώσεις τῶν κτημάτων ὁ νόμος κελεύει

248. ὡς ἐπὶ πολύ] Sic Bekkeri codd. omnes præter duos pro eo, quod vulgabatur, ὡς ἐπὶ τὸ πολύ. A librariis sæpissime hæ formulæ confunduntur; optimos tamen arbitror et plurimos codices sequendos esse, quum utramque formam agnoscat *Pollux* IX. 152. Ὡς ἐπὶ πολύ est *sæpe*, ὡς ἐπὶ τὸ παλύ *sæpissime*. Scriptores tamen pro arbitrio aut natura alterutram formulam prætulisse videntur. Sic *Heindorfius* ad Theætetum § 26. monet Platbni ὡς ἐπὶ τὸ πολύ in usu esse. Vide tamen *God. Stallbaum* ad Platonis Phileb. p. 119.

246. πεπαίδευνται] Παιδεύεσθαι interdum de eo dicitur, qui, quum videat, quo ducat inscitia et improbitas, ab iis deterretur et ad prudentiam et honestatem ducitur.

παιδεύει] "Non Orientales solum et Judæi Græcisenses, sed quivis scriptores antiqui conatibus effectum tribuunt." *Valckenaer* ad Phœn. 1406. Id præsertim fit, quum effectus sit durans. § 249. τῆς δημοκρατίας ἐπιμελήθητε ἤδη διαφευγούσης ὑμᾶς. Cf. *Porson.* ad Phœn. 1231.

248. προκαταλαμβάνοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων] Προκαταλαμβάνειν oratores dicuntur, quum quod aut in adversarii caussa aut in judicis opinione esse aut fore arbitrantur contrarium, præoccupant dicere et cum ratione dissolvere: qui, quum adversarius in judicibus velit opinionem excitare superbiæ et importunitatis rei, utuntur oratione modesta et civili, ut fidem adversario occludant, etiam si agendi ratione minime sint modesti et civiles. Quæ sequuntur continent hujus enuntiationis explicationem.

249. τὰς βεβαιώσεις τῶν κτημάτων] Αἱ βεβαιώσεις sunt pignora, quæ dari solebant in emendo et vendendo. Centesima enim pretii pars deponebatur in fidem, si lis exoriretur inter emtorem et venditorem. Hæc summa dicebatur ἀξιόχρεως. Hinc jubetur orator, qui publice velit coronari, provocare ad vitam fide dignam et laude, venditoris instar, qui fidem suam præstat. Ex eodem genere petitum

*ποιεῖσθαι, εἰς βίον ἀξιόχρεων καὶ τρόπον σώφρονα. ὅτῳ δὲ ταῦτα μὴ μαρτυρεῖται, μὴ βεβαιοῦτε αὐτῷ τοὺς ἐπαίνους, καὶ τῆς δημοκρατίας ἐπιμελήθητε ἤδη διαφευγούσης ὑμᾶς.* 250. *ἢ οὐ δεινὸν ὑμῖν δοκεῖ εἶναι, ὅτι τὸ μὲν βουλευτήριον καὶ ὁ δῆμος παροραται, αἱ δ᾽ ἐπιστολαὶ καὶ αἱ πρεσβεῖαι ἀφικνοῦνται εἰς ἰδιωτικὰς οἰκίας, οὐ παρὰ τῶν τυχόντων ἀνθρώπων, ἀλλὰ παρὰ τῶν πρωτευόντων ἐν τῇ Ἀσίᾳ καὶ τῇ Εὐρώπῃ; καὶ ἐφ᾽ οἷς ἐστιν ἐκ τῶν νόμων ζημία θάνατος, ταῦτά τινες οὐκ ἐξαρνοῦνται πράττειν, ἀλλ᾽ ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς ἐπιστολὰς ἀλλήλοις παραναγιγνώσκουσιν, καὶ παρακελεύονται ὑμῖν οἱ μὲν βλέπειν εἰς τὰ ἑαυτῶν πρόσωπα, ὡς φύλακες τῆς δημοκρατίας, ἕτεροι δ᾽ αἰτοῦσι δωρεὰς, ὡς σωτῆρες τῆς πόλεως ὄντες.* 251. *ὁ δὲ δῆμος ἐκ τῆς ἀθυμίας τῶν συμβεβηκότων, ὥσπερ παραγεγηρακὼς ἢ παρανοίας ἑαλωκὼς, αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας περιποιεῖται, τῶν δ᾽ ἔργων ἑτέροις παρακεχώρηκεν. ἔπειτ᾽ ἀπέρχεσθε ἐκ τῶν ἐκκλησιῶν οὐ βουλευσάμενοι, ἀλλ᾽ ὥσπερ ἐκ τῶν ἐράνων τὰ περιόντα νειμάμενοι. ὅτι δ᾽ οὐ ληρῶ, ἐκεῖθεν τὸν λόγον θεωρήσατε.* 252. *ἐγένετό τις, ἄχθομαι δὲ μεμνημένος πολλάκις τὰς ἀτυχίας τῆς πόλεως, ἐνταῦθ᾽ ἀνὴρ ἰδιώτης, ὃς ἐκπλεῖν μόνον εἰς Σάμον ἐπιχειρήσας ὡς προδότης τῆς πατρίδος, αὐθημερὸν ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη. ἕτερος δ᾽ ἰδιώτης ἐκπλεύσας εἰς Ῥόδον, ὅτι τὸν*

est *μὴ βεβαιοῦτε τοὺς ἐπαίνους*, *ne confirmate laudes. Confirmare* enim in jure Romano est terminus technicus.

*μαρτυρεῖται*] Μαρτυρεῖσθαι pro *εὖ μαρτυρεῖσθαι* usurpatur. *Τοῦτό μοι μαρτυρεῖται*, *hoc mihi bonum testimonium datur.*

251. *παραγεγηρακὼς*] "Παρά in ejusmodi compositione discessum significat a natura et recto. Παραγηρᾶν est ita senescere, ut a statu naturæ desciscas, secus quam decebat et expediebat. Καταγηράσκειν est *senescere simpliciter*, quod est ab hoc loco alienum." *Reiske.* Græco comparari potest Latinorum *senio confectus, decrepitus, capularis senex.*

*παρανοίας ἑαλωκὼς*] Vide supra § 156. *μηδ᾽ αἱρεῖτε παρανοίας.*

*ἐκ τῶν ἐράνων τὰ περιόντα νειμάμενοι*] Merces, (triobolum) quam judices accipiunt, non est præmium operæ cum justitia impensæ, sed ex publicis pecuniis ista inter vos dividitis, tanquam a symbola seu cœna collaticia, cujus reliquias convivæ inter se dispertitas domum quisque reportant.

252. *ἐκπλεῖν μόνον εἰς Σάμον ἐπιχειρήσας*] Num significet *Autolycum*, qui ab Areopagitis morte damnatus est, non decernam. De eo *Lycurgus* in Leocr. p. 177. *ἀλλὰ μὴν Αὐτολύκου μὲν ὑμεῖς κατεψηφίσασθε, μείναντος μὲν αὐτοῦ ἐν τοῖς κινδύνοις, ἔχοντος δ᾽ αἰτίαν τοὺς υἱοὺς καὶ τὴν γυναῖκα ὑπεκθέσθαι· καὶ ἐτιμωρήσασθε.*

*εἰς Ῥόδον*] Hic est Leocrates, Atheniensis, dives et illustris, qui post pugnam Chæronensem clam noctu navem conscendit, rebusque suis clam in eam comportatis, Rhodum trajecit. Quum octavo dein anno post varios casus Athenas rediisset, Lycurgus, cujus oratio etiamnum exstat, eum accusavit, et ex nostro discimus, quinam accusationis fuerit eventus. Nempe, si *ἴσαι ψῆφοι*

*φόβον ἀνάνδρως ἤνεγκε, πρώην ποτὲ εἰσηγγέλθη, καὶ ἴσαι αὐτῷ αἱ ψῆφοι ἐγένοντο· εἰ δὲ μία μόνον μετέπεσεν, ὑπερώριστ' ἄν, ἢ ἀπέθανεν.* 253. *ἀντιθῶμεν δὴ τὸ νυνὶ γιγνόμενον. ἀνὴρ ῥήτωρ, ὁ πάντων τῶν κακῶν αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πόλεως· οὗτος στεφανοῦσθαι ἀξιοῖ καὶ κηρύττεσθαι οἴεται δεῖν. οὐκ ἀποπέμψετε τὸν ἄνθρωπον ὡς κοινὴν τῶν Ἑλλήνων συμφοράν; ἢ συλλαβόντες ὡς λῃστὴν τῶν πραγμάτων, ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας πλέοντα, τιμωρήσεσθε; καὶ τὸν καιρὸν μνήσθητε, ἐν ᾧ τὴν ψῆφον φέρετε.* 254. *ἡμερῶν μὲν ὀλίγων μέλλει τὰ Πύθια γίγνεσθαι καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων συλλέγεσθαι· διαβέβληται δ' ἡ πόλις ἐκ τῶν Δημοσθένους πολιτευμάτων περὶ τοὺς νῦν καιρούς· δόξετε δ', ἐὰν μὲν τοῦτον στεφανώσητε, ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην, ἐὰν δὲ τοὐναντίον τούτου πράξητε, ἀπολύσετε τὸν δῆμον τῶν αἰτιῶν.*

255. *Μὴ οὖν ὡς ὑπὲρ ἀλλοτρίας, ἀλλ' ὡς ὑπὲρ οἰκείας τῆς πόλεως βουλεύεσθε, καὶ τὰς φιλοτιμίας μὴ νέμετε, ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ ἄνδρας ἀξιολογωτέρους ἀπόθεσθε, καὶ μὴ μόνον τοῖς ὠσίν, ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύσασθε, τίνες ὑμῶν εἰσιν οἱ βοηθήσοντες Δημοσθένει, πότερον οἱ συγκυνηγέται, ἢ οἱ συγγυμνασταὶ αὐτοῦ, ὅτ' ἦν ἐν ἡλικίᾳ. ἀλλὰ μὰ τὸν*

erant, reus a pœna liber erat. Vide quæ apud Euripidem *Διόσκουροι* Oresti prædicunt El. 1265 ss.

253. *οὐκ ἀποπέμψετε*] *Ἀποπέμπειν* non est simpliciter *relegare*, ut explicaverunt Budæus, Steph. in Thes., Reiskius in Ind., sed *ἀποπομπὴν ποιεῖσθαι* velut piaculi et monstri. Cf. Harpocrationem et Coræs ad Isocrat. T. II. p. 80. *Orellius.*

*ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας πλέοντα*] Ut respublica diversis rationibus cum navi comparatur, ita dicuntur ii, qui in republica versantur, *navigare*. *Ἐπ' ὀνομάτων*, *verbis*, verborum magnificentia utens, cui eventus non respondet. Tropo igitur sublato sensus est: "eum, qui per varios reipublicæ casus verbis cives decipit, eorum fortuna abutitur, eorumque infortunium auget, blanditiis et magnificentia verborum eos fascinans et occæcans."

254. *ἡμερῶν μὲν ὀλίγων μέλλει τὰ Πύθια γίγνεσθαι*] Æschines significat consilium Amphictyonum et certamina Pythica eodem fere tempore habita esse: quod eo probabilius est, quum Amphictyones præsiderent his ludis. Non tamen eodem mense singulis annis videntur locum habuisse, plerumque tamen mense Elaphebolione (Martio). Consule *Tittmann* über den Bund der Amphiktyonen, p. 81.

*τὸ συνέδριον τὸ τῶν Ἑλλήνων*] Hic est conventus Amphictyonum, ut supra § 161.

255. *καὶ τὰς φιλοτιμίας μὴ νέμετε, ἀλλὰ κρίνετε*] *Φιλοτιμίαι* sunt honores, qui publice virtuti tribuuntur. *Νέμειν*, ut patet ex opposito *κρίνειν*, indicat *temere tribuere, profundere*. *Μὴ νέμετε, ἀλλὰ κρίνετε* idem est ac si dixisset *νέμετε κρίνοντες*, *cum judicio tribuete*, re pensitata, num honorem meritus sit is, qui eum appetit.

Δία τὸν Ὀλύμπιον οὐχ ὗς ἀγρίους κυνηγετῶν οὐδὲ τῆς τοῦ σώματος εὐεξίας ἐπιμελόμενος, ἀλλ' ἐπασκῶν τέχνας ἐπὶ τοὺς τὰς οὐσίας κεκτημένους διαγεγένηται. 256. ἀλλ' εἰς τὴν ἀλαζονείαν ἀποβλέψαντες, ὅταν φῇ Βυζαντίους μὲν ἐκ τῶν χειρῶν πρεσβεύσας ἐξελέσθαι τῶν Φιλίππου, ἀποστῆσαι δὲ Ἀκαρνᾶνας, ἐκπλῆξαι δὲ Θηβαίους δημηγορήσας· οἴεται γὰρ ὑμᾶς εἰς τοσοῦτον εὐηθείας ἤδη προβεβηκέναι, ὥστε καὶ ταῦτα ἀναπεισθήσεσθαι, ὥσπερ Πειθὼ τρέφοντας, ἀλλ' οὐ συκοφάντην ἄνθρωπον ἐν τῇ πόλει. 257. ὅταν δ' ἐπὶ τελευτῆς ἤδη τοῦ λόγου συνηγόρους τοὺς κοινωνοὺς τῶν δωροδοκημάτων αὑτῷ παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν ἐπὶ τοῦ βήματος, οὗ νῦν ἑστηκὼς ἐγὼ λέγω, ἀντιπαρατεταγμένους πρὸς τὴν τούτων ἀσέλγειαν τοὺς τῆς πόλεως εὐεργέτας, Σόλωνα μὲν τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, ἄνδρα φιλόσοφον καὶ νομοθέτην ἀγαθόν, σωφρόνως, ὡς προσῆκεν αὐτῷ, δεόμενον ὑμῶν μηδενὶ τρόπῳ τοὺς Δημοσθένους λόγους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν νόμων· 258. Ἀριστείδην δὲ τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλλησιν, οὗ τελευτήσαντος τὰς θυγατέρας ἐξέδωκεν ὁ δῆμος, σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ, καὶ ἐπερωτῶντα, εἰ οὐκ αἰσχύνεσθε, εἰ οἱ μὲν πατέρες ὑμῶν Ἄρθμιον τὸν Ζελείτην κομίσαντα εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον, ἐπιδημήσαντα εἰς τὴν πόλιν, πρόξενον ὄντα τοῦ δήμου τῶν Ἀθηναίων, παρ' οὐδὲν

256. *ἀλλ'—ἀποβλέψαντες, ὅταν φῇ* cet.] Digna est, quæ adscribatur Wunderlichii annotatio. "Cogitandum est Æschinem in universum jam reputatione *τῆς ἀλαζονείας* Demosthenis commotum, verbis vero *ἐμπλῆξαι δὲ Θηβαίους δημηγορήσας* eo fervore abreptum esse, ut, dum acerbam illam notam *οἴεται γὰρ . . . πόλει* apponendam properaret, verbum, quale est *ἀποψηφιεῖσθε*, omitteret, vel potius plura, quibus judices monerentur, ne jactatione beneficiorum in rempublicam cumulatorum permoti illum absolverent. Quo ex fonte quæ *ἀνακολουθίας* exempla apud oratores Græcos promanarint, incredibile est dictu. Primum igitur Æschines docet Demosthenem propter auctoritatem eorum, qui ei in judicio adsint, absolvi non posse; nec magis id fieri debere ob jactantiam, qua se efferat, secundo loco demonstrat. Quum vero illata prima caussa, qua judices ad litem secundum aliquam partem dandam permoveri aut avocari non debeant, ad aliam progrediuntur oratores, particula ἀλλά justum suum locum obtinet, præsertim si paullo ante adhibita est ad rationem adversariorum tanquam inanem refellendam."

Πειθὼ] *Cicero* Brut. 15, 59. Πειθώ *quam Græci vocant, . . . . hanc Suadam appellavit Ennius, quam deam in Periclis labiis scripsit Eupolis sessitavisse.*

258. *τὰς θυγατέρας*] Duas reliquit filias, quæ a populo, teste Plutarcho in Aristidis vita, dotem acceperunt ter mille drachmarum. De iis, quorum filiæ ex ærario dotatæ fuerunt, vide *Valerium Max.* L. IV. 4.

*Ἄρθμιον*] Conf. *Demosth.* Phil. III. p. 121. s.

*παρ' οὐδὲν μὲν ἦλθον ἀποκτεῖναι*] Locutio formata ad frequentiorem *παρὰ μικρόν, παρ' ὀλίγον ἔρχομαι ποιεῖν τι, paullum*

μὲν ἦλθον ἀποκτεῖναι, ἐξεκήρυξαν δ' ἐκ τῆς πόλεως καὶ ἐξ ἁπάσης, ἧς Ἀθηναῖοι ἄρχουσιν. 259. ὑμεῖς δὲ Δημοσθένην, οὐ κομίσαντα τὸ ἐξ Μήδων χρυσίον, ἀλλὰ δωροδοκήσαντα καὶ ἔτι καὶ νῦν κεκτημένον, χρυσῷ στεφάνῳ μέλλετε στεφανοῦν· Θεμιστοκλέα δὲ καὶ τοὺς ἐν Μαραθῶνι τελευτήσαντας καὶ τοὺς ἐν Πλαταιαῖς καὶ αὐτοὺς τοὺς τάφους τοὺς τῶν προγόνων οὐκ οἴεσθε ἀναστενάξαι, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν ἀντιπράττειν στεφανωθήσεται;

260. Ἐγὼ μὲν οὖν, ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ σύνεσις καὶ παιδεία, ᾗ διαγιγνώσκομεν τὰ καλὰ καὶ τὰ αἰσχρά, βεβοήθηκα καὶ εἴρηκα. καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην, εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην. ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων καὶ ἐκ τῶν παραλειπομένων αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

259. οὐκ οἴεσθε ἀναστενάξαι] Vulgo οὐκ ἂν οἴεσθε ἀναστενάξαι. Sed ἂν plerique codices omittunt. Bekkerus ex quattuor, opinor, (nihil enim inde affertur varietatis) scripsit οὐκ οἴεσθε στενάξειν. Duplicis videtur Grammaticorum correctionis alterutra nonnullos libros occupasse. Utrique non tolerarunt simplicem aoristum infinitivi, sed alteri mutarunt in futurum, alteri aoristo ἂν addiderunt. Cf. Excurs. VIII. in Lysiam.

260. βεβοήθηκα] Mirum est, quod Reiskius conjecit, adversarii potius partes quam ipsius scriptoris exprimens, βεβόηκα a tribus Bekkeri codd. confirmari. Βεβοήθηκα audace quidem figura ad sola illa ἀρετή, σύνεσις καὶ παιδεία refertur.

*abest, quin aliquid faciam.* Παρ' οὐδὲν ἦλθον ἀποκτεῖναι, *nihil, minimum aberat, quin interficerent;* pœna, qua multabant eum, mortis pœnam æquiparabat. *Polybius* I. 15. οἱ Ῥωμαῖοι παρ' οὐδὲν ἐλθόντες τοῦ πάσας ἀποβαλεῖν τὰς παρασκευάς. Cf. *Vigerum* p. 647. Exempla habet *Wyttenbachius* ad Plutarchi Mor. p. 461. Oxon.

260. ὦ γῆ καὶ ἥλιε καὶ ἀρετή] Acerbe ridet locum *Demosthenes* Περὶ Στεφ. p. 286. ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα ὦ γῆ καὶ ἥλιε καὶ ἀρετῇ καὶ τὰ τοιαῦτα. καὶ πάλιν σύνεσιν καὶ παιδείαν ἐπικαλούμενον, ᾗ τὰ καλὰ καὶ αἰσχρὰ διαγινώσκεται. ταῦτα γὰρ δήπουθεν ἠκούετ' αὐτοῦ λέγοντος. σοὶ δὲ ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς τίς μετουσία; ἢ καλῶν ἢ μὴ τοιούτων διάγνωσις; . . . ποῦ δὲ παιδείας σοι θέμις μνησθῆναι; ἧς τῶν μὲν ὡς ἀληθῶς τετυχηκότων οὐδ' ἂν εἷς περὶ αὑτοῦ τοιοῦτον οὐδέν, ἀλλὰ κἂν ἑτέρου λέγοντος ἐρυθριάσειε.

# DEMOSTHENIS

## ORATIO DE CORONA.

### ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΤΟΥ ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ.

ΤΕΙΧΟΣ μὲν ὁ ῥήτωρ ὑπὲρ Ἀθηναίων προὐβάλετο τῶν συνήθων τούτων καὶ χειροποιήτων ἀῤῥαγέστερόν τε καὶ βέλτιον, τήν τε εἰς τὴν πόλιν εὔνοιαν καὶ περὶ λόγους δεινότητα, ὡς αὐτὸς εἴρηκεν "οὐ λίθοις καὶ πλίνθοις τὰς Ἀθήνας ὠχύρωσα, ἀλλὰ μεγάλαις δυνάμεσι, καὶ πολλῇ τινι συμμαχίᾳ, τῇ μὲν ἐκ γῆς, τῇ δὲ ἐκ θαλάττης·" οὐ μὴν ἀλλὰ καὶ εἰς τὸν χειροποίητον περίβολον οὐ μικρὰ τῇ πόλει συνεβάλετο· πεπονηκότος γὰρ κατὰ πολλὰ μέρη τοῦ τείχους τοῖς Ἀθηναίοις, ἐπειδὴ ἔδοξεν ἀνορθοῦν αὐτό, ᾑρέθησαν ἐπὶ τὸ ἔργον ἄνδρες δέκα, φυλῆς ἑκάστης εἷς, οὓς ἔδει τὴν ἐπιμέλειαν παρέχεσθαι ψιλήν· τὸ γὰρ ἀνάλωμα δημόσιον. εἷς τοίνυν τούτων καὶ ὁ ῥήτωρ γενόμενος, οὐχ ὁμοίως τοῖς ἄλλοις τὴν ἐπιμέλειαν μόνην εἰσήνεγκε τῇ χρείᾳ, ἀλλὰ τὸ μὲν ἔργον ἀμέμπτως ἀπετέλεσε, τὰ δὲ χρήματα ἔδωκεν οἴκοθεν τῇ πόλει. ἐπῄνεσεν αὐτοῦ τὴν εὔνοιαν ταύτην ἡ βουλή, καὶ τὴν προθυμίαν ἠμείψατο στεφάνῳ χρυσῷ· ἕτοιμοι γὰρ Ἀθηναῖοι πρὸς τὰς χάριτας τῶν εὖ ποιούντων. Κτησιφῶν δὲ ἦν ὁ τὴν γνώμην εἰπών, ὡς δεῖ στεφανῶσαι τὸν Δημοσθένην, ἐν μὲν καιρῷ τοῖς Διονυσίοις, ἐν δὲ τόπῳ τῷ τοῦ Διονύσου θεάτρῳ, ἐν δὲ θεαταῖς πᾶσι τοῖς Ἕλλησιν, οὓς ἡ πανήγυρις συνήγαγε· καὶ τούτων ἐναντίον ἀνειπεῖν τὸν κήρυκα, ὅτι στεφανοῖ Δημμοσθένην Δημοσθένους Παιανιέα ἡ πόλις ἀρετῆς συμπάσης ἕνεκα καὶ εὐνοίας τῆς πρὸς ἑαυτήν. ἦν οὖν πανταχόθεν ἡ τιμὴ θαυμαστή· διὸ καὶ φθόνος αὐτῆς ἥψατο καὶ τοῦ ψηφίσματος.

ἀπηνέχθη παρανόμων γραφή. Αἰσχίνης γὰρ ἐχθρὸς ὢν τοῦ Δημοσθένους, ἀγῶνα παρανόμων ἐπήγγειλε Κτησιφῶντι, λέγων ἄρχοντα γεγονότα τὸν Δημοσθένην καὶ μὴ δόντα λόγον ὑπεύθυνον εἶναι, νόμον δὲ κελεύειν τοὺς ὑπευθύνους μὴ στεφανοῦν· καὶ πάλιν νόμον παρεχόμενος τὸν κελεύοντα, ἐὰν μέν τινα ὁ δῆμος ὁ Ἀθηναίων στεφανοῖ, ἐν τῇ ἐκκλησίᾳ τὸν στέφανον ἀναγορεύεσθαι, ἐὰν δὲ ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ· ἀλλαχόθι δὲ μὴ ἐξεῖναι· φησὶ δὲ καὶ τοὺς ἐπαίνους εἶναι τοὺς ἐπὶ τῷ Δημοσθένει ψευδεῖς· μὴ γὰρ πεπολιτεῦσθαι καλῶς τὸν ῥήτορα, ἀλλὰ καὶ δωροδόκον εἶναι, καὶ πολλῶν κακῶν αἴτιον τῇ πόλει. καὶ τάξει γε ταύτης τῆς κατηγορίας Αἰσχίνης κέχρηται, πρῶτον εἰπὼν περὶ τοῦ τῶν ὑπευθύνων νόμου, καὶ δεύτερον περὶ τοῦ τῶν κηρυγμάτων, καὶ τρίτον περὶ τῆς πολιτείας. ἠξίωσε δὲ καὶ τὸν Δημοσθένην τὴν αὐτὴν τάξιν ποιήσασθαι. ὁ δὲ ῥήτωρ καὶ ἀπὸ τῆς πολιτείας τὴν ἀρχὴν ἐποιήσατο, καὶ πάλιν εἰς ταύτην τὸν λόγον κατέστρεψε, τεχνικῶς ποιῶν· δεῖ γὰρ ἄρχεσθαί τε ἀπὸ τῶν ἰσχυροτέρων, καὶ λήγειν εἰς ταῦτα· μέσα δὲ τέθεικε τὰ περὶ τῶν νόμων· καὶ τῷ μὲν περὶ τῶν ὑπευθύνων ἀντιτίθησι διανοίας, τῷ δὲ περὶ τῶν κηρυγμάτων νόμον ἕτερον ἤτοι νόμου μέρος, ὥς φησιν αὐτός, ἐν ᾧ συγκεχώρηται καὶ ἐν τῷ θεάτρῳ κηρύττειν, ἐὰν ὁ δῆμος ἢ ἡ βουλὴ τοῦτο ψηφίσηται.

## ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ.

Ἀθηναῖοι καὶ Θηβαῖοι πολεμοῦντες πρὸς Φίλιππον ἐν Χαιρωνείᾳ, πόλει τῆς Βοιωτίας, ἡττήθησαν. ἐπικρατήσας οὖν ὁ Μακεδὼν φρουρὰν μὲν εἰς τὰς Θήβας ἐνέβαλε, καὶ εἶχεν ὑπὸ χεῖρα δουλεύουσαν. ἐλπίσαντες οὖν τὸ αὐτὸ παθεῖν Ἀθηναῖοι, καὶ ὅσον οὐδέπω κατ' αὐτῶν ἥξειν προσδοκῶντες τὸν τύραννον, ἐσκέψαντο τὰ πεπονηκότα μέρη τῷ χρόνῳ τοῦ τείχους ἐπανορθώσασθαι· καὶ δὴ ἀφ' ἑκάστης φυλῆς τειχοποιοὶ προεβλήθησαν. τοιόνδε καὶ ἡ Πανδιονὶς ἐξ ἑαυτῆς εἵλετο πρὸς χρείαν τὸν ῥήτορα. τῆς τοίνυν ἐργασίας ἐν χερσὶν οὔσης, προσδεηθεὶς ἔτι χρημάτων μεταδεδομένων ὑπὸ τῆς πόλεως ὁ ῥήτωρ ἐκ τῶν ἰδίων ἐδαπάνησε, καὶ οὐκ ἐλογίσατο αὐτὰ τῇ πόλει, ἀλλὰ καὶ ἐχαρίσατο. ταύτην ἀφορμὴν ὁ Κτησιφῶν, εἷς τῶν πολιτευομένων, δεξάμενος εἰσήνεγκε γνώμην ἐν τῇ βουλῇ περὶ αὐτοῦ τοιαύτην· "ἐπειδὴ διατελεῖ Δημοσθένης ὁ Δημοσθένους παρ' ὅλον τὸν βίον εὔνοιαν εἰς τὴν πόλιν ἐπιδεικνύμενος, καὶ νῦν δὲ τειχοποιὸς ὢν καὶ προσδεηθεὶς χρημάτων οἴκοθεν παρέσχε καὶ ἐχαρίσατο, διὰ τοῦτο δεδόχθω τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανοῦσθαι αὐτὸν χρυσέῳ στεφάνῳ ἐν τῷ θεάτρῳ, τραγῳδιῶν ἀγομένων καινῶν," ἴσως ὅτε πλήθη συντρέχει ἐπιθυμοῦντα καινὰ δράματα βλέπειν· εἰσαγομένου τοίνυν καὶ εἰς τὸν δῆμον τοῦ προβουλεύματος, ἐφίσταται τοῦ Κτησιφῶντος κατήγορος Αἰσχίνης ἐκ τῆς πολιτείας ὑπάρχων ἐχθρός, παράνομον εἶναι φάσκων πρὸς τρεῖς νόμους τὸ ψήφισμα, ἕνα μὲν τὸν κελεύοντα τὸν ὑπεύθυνον μὴ στεφανοῦσθαι, πρὶν ἂν δῷ τὰς εὐθύνας· οὔπω δὲ ταύτας, φησίν, ὁ Δημοσθένης ἐδεδώκει, καὶ τὰ θεωρικὰ διοικῶν, καὶ τειχοποιῶν· καὶ ἔδει ἀναμεῖναι καὶ ἐπισχεῖν τὸ γέρας, ἕως ἂν ὀφθῇ καθαρὸς

ἐξετασθείς· δεύτερον δὲ ἀναγινώσκει νόμον τὸν κελεύοντα ἐν Πνυκὶ στεφανοῦσθαι, οὐκ ἐν τῇ ἐκκλησίᾳ, διαβάλλων τοὺς πολίτας τοὺς δεξαμένους ἐν τῷ θεάτρῳ ἀναγορευθῆναι τοῦ Δημοσθένους τὸν στέφανον. ὁ δὲ τρίτος νόμος εἰς τὴν ὅλην ὁρᾷ τοῦ βίου καὶ τῆς πολιτείας ἐξέτασιν· κελεύει γὰρ μηδέποτε ψευδῆ γράμματα εἰς τὸ Μητρῷον εἰσάγειν, ἔνθα ἐστὶν ὅλα τὰ δημόσια γράμματα. ἐψεύσατο δέ, φησίν, εὔνοιαν καὶ σπουδὴν μαρτυρήσας τῷ Δημοσθένει· κακόνους γὰρ μᾶλλον καὶ πολέμιος εὑρίσκεται τῇ πατρίδι. τούτου τοῦ νόμου χρησίμου τυγχάνοντος, τοῦ τρίτου ἀντιλαβόμενος, ὥσπερ τινὸς ἀγκύρας, ὁ ῥήτωρ κατεπάλαισε τὸν ἀντίδικον, μεθόδῳ δεινοτάτῃ καὶ σοφωτάτῃ τῇ περὶ τοῦ κατηγόρου χρησάμενος· ἐκεῖθεν γὰρ ἔσχε λαβὴν ἑλεῖν καὶ καταγωνίσασθαι τὸν πολέμιον· τοὺς μὲν γὰρ ἄλλους δύο νόμους, τόν τε τῶν ὑπευθύνων, καὶ τὸν τοῦ κηρύγματος, εἰς τὸ μέσον τοῦ λόγου ἀπέῤῥιψε στρατηγικῶς, κακοὺς δ' εἰς μέσον ἐλάσας. τῷ δὲ ἰσχυροτάτῳ εἰς τὰ ἄκρα προσκέχρηται, τὸ σαθρὸν τῶν ἄλλων ἐξ ἑκατέρου ῥωννύς· ἔοικε δὲ καὶ διοικεῖν πρὸς τὸ συμφέρον τὸν λόγον, καὶ οὐ σφόδρα ἀναιδῶς τὴν τέχνην ἐπιδεικνύμενος· δοκῶν γὰρ ἐν πρώτοις ὑπερβαίνειν τὸ νόμιμον, ἑτέρῳ τρόπῳ τῷ νομίμω προσκέχρηται· καὶ γὰρ νόμον ἀνέγνω Αἰσχίνης τὸν περὶ τῶν στεφάνων ψευδῆ· πρὸς ὃν ὁ ῥήτωρ ὑποκρινόμενος εὗρε καιρὸν εἰς μέσον ἀγαγεῖν τὰ ἑαυτοῦ πολιτεύματα, ὡς νομίμῳ μαχόμενος. καὶ ἡ μὲν διοίκησις τοῦ λόγου τοιαύτη. κεφάλαιον δὲ ἰσχυρὸν τῷ μὲν Αἰσχίνῃ τὸ νόμιμον, τῷ δὲ ῥήτορι τὸ δίκαιον. κοινὸν δὲ ἀπὸ τοῦ ἴσου τὸ συμφέρον, οὐκ ἔχον φανερὰν τὴν ἐξέτασιν, ἡ στάσις ἔγγραφος πραγματική· περὶ ῥητοῦ γὰρ τὸ ψήφισμα. τῆς δὲ γραφῆς ἔτι Φιλίππου ζῶντος ἀποτεθείσης, ἐπὶ Ἀλεξάνδρου διαδεξαμένου τὴν ἀρχὴν ὁ λόγος ἐστὶ καὶ ἡ κρίσις· ὡς γὰρ ἀπέθανε Φίλιππος, καὶ τὴν φρουρὰν οἱ Θηβαῖοι τεθαρσηκότες ἐξέβαλον, ὁ μὲν Ἀλέξανδρος ὡς καταφρονηθεὶς τὰς Θήβας κατέσκαψεν· εἶτα μεταγνοὺς ἐπὶ τῷ πεπραγμένῳ, ἐξεχώρησε τῆς Ἑλλάδος αἰσχυνόμενος, καὶ κατὰ τῶν βαρβάρων ἐστράτευσεν. οἱ δὲ Ἀθηναῖοι καιρὸν ἔχειν ἐνόμισαν κρίσει παραδοῦναι τοὺς προδότας τοὺς τὴν Ἑλλάδα ἀδικήσαντας, καὶ οὕτω συνεκροτήθη τὸ δικαστή-

ριον. οὐκοῦν τὸ πρῶτον προοίμιον εὐκτικόν ἐστι κατὰ μερισμὸν εἰσαχθὲν, καὶ παρασκευάζει τὴν εὔνοιαν, ἧς μάλιστα ἐν τῷ παρόντι δεόμεθα. Ὁμηρικῷ δὲ εἴρηται ζήλῳ· Κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι. καὶ δὴ καὶ ἔμφασιν ἔχει τοῦ τῇ εὐνοίᾳ θαῤῥεῖν· οὐ γὰρ ἂν ὅλον ἐπεκαλεῖτο τῶν θεῶν τὸ γένος, εἰ μὴ οὕτω διέκειτο. τὸ δὲ διατελῶ εἴληπται μὲν ἀπὸ τοῦ ψηφίσματος· δηλοῖ δὲ, ὅτι συνεβίωσε τῇ εὐνοίᾳ, καὶ ἀεὶ αὐτῆς μέλεται, καὶ πρότερον ἀφήσει τὴν ψυχὴν ἢ τὴν τοιαύτην διάνοιαν.

# ΔΗΜΟΣΘΕΝΟΥΣ

## ΛΟΓΟΣ Ο ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ.

---

1. ΠΡΩΤΟΝ *μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ', ὅπερ ἐστὶ μάλισθ' ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν, μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ· (σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε)* 2. *ἀλλὰ τοὺς νόμους, καὶ τὸν ὅρκον, ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις καὶ τοῦτο γέγραπται, τὸ ὁμοίως ἀμφοῖν ἀκροάσασθαι. τοῦτο δ' ἐστὶν οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδὲν, οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ, ὡς βεβούληται καὶ προῄρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρήσασθαι.*

§ 2. Bekk. *ἀκροάσασθαι.* Est fortasse qui vulg. *ἀκροᾶσθαι* præferat, neque id sine veri specie, quippe quibus verbis (*τὸ—ἀκροᾶσθαι*) lex contineatur non ad unum tantum, sed ad omnes pertinens *ἀγῶνας.* At vero optima præstantissimi Σ est lectio; nam antequam indicetur, de re oportet iam fuisse cognitum.

§ 1. *τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις*] Similiter ab invocatione deorum incipit *Lycurgus* in oratione contra Leocratem: *εὔχομαι τῇ Ἀθηνᾷ καὶ τοῖς ἄλλοις θεοῖς καὶ τοῖς ἥρωσι.* Conf. fragmentum Ciceronis Orat. pro C. Cornelio, servatum a *Prisciano* lib. VII. c. 3. *Ut ab Jove optimo maximo ceterisque diis deabusque omnibus opem et auxilium peto.*

§ 2. *τὸν ὅρκον*] Scilicet *τὸν τῶν ἡλιαστῶν*: cujus jurisjurandi formula expressa est in Orat. Demosth. c Timocr. p. 746. R. Verba autem, quæ hic innuuntur, hæc sunt: *ἀκροάσομαι τοῦ τε κατηγόρου καὶ τοῦ ἀπολογουμένου ὁμοίως ἀμφοῖν.*

*οὐ μόνον—οὐδέ*] Ad *οὐδὲ* cogitatione repetendum est *μόνον.* Sic et infra § 93. Conf. *Isocr.* Euag. § 17. Nicocl. § 12. Epist. 1. § 2. Callim. § 3.

*ὡς βεβούληται καὶ προῄρηται*] Non: *quod quis persequi voluerit ac delegerit*, uti interpretantur vulg. Hoc enim esset *ὡς ἂν βουληθείη καὶ προέλοιτο*: sed est: *uti cuique apud se constitutum fuerit ac delectum, seu deliberatum.*

3. Πολλὰ μὲν οὖν ἔγωγ' ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα Αἰσχίνου, δύο δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα, ἓν μὲν, ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι· οὐ γάρ ἐστιν ἴσον νῦν ἐμοὶ τῆς παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν, καὶ τούτῳ μὴ ἑλεῖν τὴν γραφήν. ἀλλ' ἐμοὶ μὲν —, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδὲν, ἀρχόμενος τοῦ λόγου· οὗτος δ' ἐκ περιουσίας μου κατηγορεῖ. ἕτερον δ', ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὑτοὺς ἄχθεσθαι· 4. τούτων τοίνυν ὃ μέν ἐστι πρὸς ἡδονὴν, τούτῳ δέδοται, ὃ δὲ πᾶσιν, ὡς ἔπος εἰπεῖν, ἐνοχλεῖ, λοιπὸν ἐμοί. κἂν μὲν εὐλαβούμενος τοῦτο μὴ λέγω τὰ πεπραγμένα ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύσασθαι τὰ κατηγορημένα δόξω, οὐδ' ἐφ' οἷς ἀξιῶ τιμᾶσθαι δεικνύναι· ἂν δ' ἐφ' ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι βαδίζω, πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ. πειράσομαι μὲν οὖν ὡς μετριώτατα τοῦτο ποιεῖν· ὅ τι δ' ἂν τὸ πρᾶγμα αὐτὸ ἀναγκάζῃ, τούτου τὴν αἰτίαν οὗτός ἐστι δίκαιος ἔχειν ὁ τοιοῦτον ἀγῶνα ἐνστησάμενος.

5. Οἶμαι δ' ὑμᾶς, ὦ ἄνδρες δικασταί, πάντας ἂν ὁμολογῆσαι κοινὸν εἶναι τουτονὶ τὸν ἀγῶνα ἐμοί τε καὶ Κτησιφῶντι καὶ οὐδὲν ἐλάττονος ἄξιον σπουδῆς ἐμοί· πάντων μὲν γὰρ ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπόν, ἄλλως τε κἂν ὑπ' ἐχθροῦ τῳ τοῦτο συμβαίνῃ, μάλιστα δὲ τῆς παρ' ὑμῶν εὐνοίας τε καὶ φιλανθρωπίας, ὅσῳ περ καὶ τὸ τυχεῖν τούτων μέγιστόν ἐστιν. 6. περὶ τούτων δ' ὄντος τουτουὶ τοῦ ἀγῶνος, ἀξιῶ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν ἀκοῦσαί μου περὶ τῶν κατηγο-

5. *ἐμοί τε καὶ Κτησιφῶντι*] *τε* Bekk. delevit ex solo Σ, quem non sequor. Est gradatio. Per *τε καὶ* Demosthenes et Ctesiphon junguntur ut pares, in quos eadem res pariter cadat; in sequente autem membro majorem sibi partem vindicat Demosthenes, in quo *ἐμοὶ* cum vi clausulam facit.

*πάντων*] Male cod. unus *ἀπάντων*. Hoc enim esset *rebus cunctis privari;* vult autem Dem., ut recte vulg., *quum quacunque re spoliari grave sit et molestum.*

4. *οὐκ ἔχειν — δόξω — δεικνύναι*] Non: *quo me defendam, non habere mihi videbor,* &c. sed *hominibus videbor,* alioquin opus erat *δοκῶ.*

*ἀγῶνα ἐνστησάμενος*] *ἐνίστασθαι* est verbum proprium de eo, qui litem alicui intendit: *to embroil one in a law-suit.*

5. *οὐδὲν ἐλάττονος*] sc. quam si pro me solo decertarem; defendere enim instituit, cur causam alterius tueatur, ut suam.

*φιλανθρωπία* h. l. non est amor, quem quis ipse erga alios habet, sed quem alii in eum habent; *favour, good-will.*

6. *ἀξιῶ καὶ δέομαι*] Synonyma junguntur ad augendam notionem, ut apud Latinos *oro rogoque,* i. q. vehementer

*ρημένων ἀπολογουμένου δικαίως, ὥσπερ οἱ νόμοι κελεύουσιν. οὓς ὁ τιθεὶς ἐξ ἀρχῆς Σόλων, εὔνους ὢν ὑμῖν καὶ δημοτικός, οὐ μόνον τῷ γράψαι κυρίους ᾤετο δεῖν εἶναι, ἀλλὰ καὶ τῷ τοὺς δικάζοντας ὑμᾶς ὀμωμοκέναι, οὐκ ἀπιστῶν ὑμῖν, ὥς γ' ἐμοὶ φαίνεται, 7. ἀλλ' ὁρῶν, ὅτι τὰς αἰτίας καὶ τὰς διαβολάς, αἷς ἐκ τοῦ πρότερος λέγειν ὁ διώκων ἰσχύει, οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν, εἰ μὴ τῶν δικαζόντων ἕκαστος ὑμῶν τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν διαφυλάττων καὶ τὰ τοῦ λέγοντος ὕστερον δίκαια εὐνοϊκῶς προσδέξεται, καὶ παρασχὼν ἑαυτὸν ἴσον καὶ κοινὸν ἀμφοτέροις ἀκροατήν, οὕτω τὴν διάγνωσιν ποιήσεται περὶ ἁπάντων.*

6. *δικαίως*] Male Taylorus hanc voculam in suspicionem vocavit; pertinet enim ad *ἀκοῦσαι*, nec sine magno pondere posita est in fine, quum præsertim de hac audiendi æquitate in seqq. agatur uberius.

*ὥς γ' ἐμοὶ φαίνεται*] Sic plurimi et præstantissimi codd. pro eo, quod ante Bekkerum vulgabatur *ὥς γέ μοι φαίνεται*, et opinantur nonnulli viri docti, *γε* orthotono *ἐμοὶ* præponi non posse. Ego vero opinor si particula totam afficiat enuntiationem, recte post *ὡς* poni, *ἐμοὶ* autem suam vim habere. Bekkerus sæpe tum in Platone tum in oratoribus ex optimis codd. sic restituit.

rogo. Est etiam hoc generis, quod *ἓν διὰ δυοῖν* vocatur.—*δικαίως, ὥσπερ οἱ νόμοι κελεύουσιν*, quæ jungenda sunt, pertinent ad infinitivum *ἀκοῦσαι*.—*πάντες ὁμοίως*, ut *ἅπαντες*, *universi*.

*ἐξ ἀρχῆς*] *olim, jamdudum*. Non primus, sed præcipuus legislator antiqui temporis erat.

*τῷ τοὺς δικάζοντας—ὀμωμοκέναι*] *jurejurando judicum*. Nempe initio cujusque anni sorte ducebantur, et in totum annum, sex millia ex omni civium numero, qui triginta annos nati nec *ἄτιμοι* erant, ex quibus dein, quum causa ageretur, iterum sorte per archontes judices pro singulis causis creabantur, qui ante quam sederent jusjurandum præstabant secundum leges se judicaturos esse.

*οὐκ ἀπιστῶν ὑμῖν*] Vis inest in *ὑμῖν*, non quod vobis, singulis spectatis, diffidat; sed noverat perversitatem generis humani, quantum abripiatur jocis et calumniis.

7. *τὰς αἰτίας καὶ τὰς διαβολάς*] utrumque positum est per *ἓν διὰ δυοῖν*, calumniosa crimina.

*διώκειν—φεύγειν*] Verba sunt apposita *τῶν ἀγωνιζομένων*, litigantium. Recte quidem *dicitur διώκειν* esse *accusatoris*, *φεύγειν rei*. Sed parum accurate dicitur *διώκειν* idem esse quod *κατηγορεῖν*. Discrimen est inter utrumque. Hoc apparet ex § 9. in. *εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρησεν*. *Διώκειν* de iis videtur dici, quæ ipsam actionem præcedunt, de libello imprimis, in quo nomen rei et causa accusationis et præcipua litis momenta inscripta erant.

*ἔνι*] Pro *ἔνεστι*, poëticum dicitur. Et apud poëtas quidem sæpissime legitur; nec tamen eo abstinuerunt prosæ scriptores, nec oratores. Id satis perspectum viro docto in Observ. Misc. T. V. p. 237.

*παρελθεῖν*] Harpocration, ex h. l. verbum laudans, simpliciter explicat *νικῆσαι*. Qui vocabulum sic exponunt, tropum petunt a cursoribus, quorum qui vincit ceteros præcurrit. Alii, ut *Wolfius*, simpliciter vertunt *evitare*.

*διαφυλάττων*] Cave aurem præbeas *Harlesio*, qui quum liber unus habeat simplex *φυλάττων*, simplicia sæpe eandem habere significationem monet, quam composita, *διαφυλάττειν* h. l. est: per omnia accusatoris artificia retinere etiam reo debitam æquitatem.—*ἴσον καὶ κοινόν* synonyma juncta ad augendam notionem. Vid. *Valcken.* ad Ammon. p. 107.

*τὴν διάγνωσιν*] *Thomas M.* *Διαγνώμη Ἀττικοί, οὐ διάγνωσις λέγουσι.* Quam parum homini fidendum sit, vel noster locus docet. Melius Scholiastes *Thucyd.* I. 87. *διαγνώμη ἰδικὴ λέξις Θουκυδίδου*, quem exscripsit Suidas. Vocabulum item habet noster infra p. 269. § 128. *καλῶν ἢ μὴ τοιούτων τίς διάγνωσις*; Sic etiam alii.

8. Μέλλων δὲ τοῦ τε ἰδίου βίου παντός, ὡς ἔοικε λόγον διδόναι τήμερον καὶ τῶν κοινῇ πεπολιτευμένων, βούλομαι, καθάπερ ἐν ἀρχῇ πάλιν τοὺς θεοὺς παρακαλέσαι, καὶ ἐναντίον ὑμῶν εὔχομαι πρῶτον μὲν ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ', ὅ τι μέλλει συνοίσειν καὶ πρὸς εὐδοξίαν κοινῇ, καὶ πρὸς εὐσέβειαν ἑκάστῳ, τοῦτο παραστῆσαι τοὺς θεοὺς πᾶσιν ὑμῖν περὶ ταυτησὶ τῆς γραφῆς γνῶναι.

9. Εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρησεν Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον τἄλλα διεξιὼν ἀνήλωκε, καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον εἶναι νομίζω καὶ δίκαιον ἅμα βραχέα, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τούτων εἰπεῖν πρῶτον, ἵνα μηδεὶς ὑμῶν τοῖς ἔξωθεν λόγοις ἠγμένος ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου.

10. Περὶ μὲν δὴ τῶν ἰδίων, ὅσα λοιδορούμενος βεβλασφήμηκε περὶ ἐμοῦ, θεάσασθε ὡς ἁπλᾶ καὶ δίκαια λέγω. εἰ μὲν ἴστε με τοιοῦτον, οἷον οὗτος ᾐτιᾶτο (οὐ γὰρ ἄλλοθί που βεβίωκα ἢ παρ' ὑμῖν), μηδὲ φωνὴν ἀνάσχησθε, μηδ' εἰ πάντα τὰ κοινὰ ὑπέρευ πεπολίτευμαι, ἀλλ' ἀναστάντες καταψηφίσασθε

8. ὡς ἔοικε] Formula hoc loco idem significat, quod supra ὡς ἔπος εἰπεῖν. Eam parum recte interpretes reddiderunt *ut videtur* vel *ut convenit.*

τήμερον] *Thomas M.* p. 845. τήμερον Ἀττικοί, οὐ σήμερον. Seriore tempore σήμερον dicitur, ut semper in libris sacris: σ et τ sæpe variarunt, ut apparet ex nota *Lobeckii* ad Phryn. p. 194 s.

9. ἐδίωκε] Videmus igitur verbum διώκειν arctioribus significationis finibus circumscriptum, *aliquem reum agere*, κατηγορεῖν autem latius patens *conviciis, opprobriis atque etiam calumniis aliquem adoriri.* cf. § 34. μὴ κατηγορήσαντος Αἰσχίνου μηδὲν ἔξω τῆς γραφῆς κ. τ. λ.

προβούλευμα] est senatus consultum, quod a senatu factum ad populi concionem referebatur vel jubendum vel rejiciendum. H. l. intelligitur Ctesiphontis psephisma de corona Demostheni publice donanda.

βραχέα—εἰπεῖν] *pauca dicere.* βραχὺς non solum de tempore, sed etiam de paucitate inprimis verborum dicitur, quoniam pauca verba non multum temporis flagitant.

[ἀλλοτριώτερον — ἀκούῃ μου] Junge: ἵνα μηδεὶς ὑμῶν ἀλλοτριώτερον (alienato animo) ἀκούῃ μου (ex me audiat) τῶν ὑπὲρ τῆς γραφῆς δικαίων (quæ habeo justa afferenda de accusatione, *My justification against the impeachment.*) V. C. F. R.]

10. τὰ ἴδια, vita privata.

εἰ μὲν ἴστε με κ. τ. λ.] Est hæc ars oratoria ad vincendos ipsius de sua integritate fiducia auditorum animos et ad profligandum adversarium perquam accommodata, nec vero tam periculosa, quam videtur. Nam si quæ etiam inhærerent in judicum mentibus dubitationes, nemini tamen eorum comprobata essent omnia, quæ Æschines portentose exaggerasset, ut tuto Demostheni tantum audere liceret.

μηδὲ φωνὴν ἀνάσχησθε] Hoc etiam dicunt ἐκρίπτειν, ἐκβάλλειν, ἕλκειν ἀπὸ τοῦ βήματος.

ἀναστάντες] Hoc participium γραφικῶς celeritatem facti indicat: *on the instant.* Si quem loquentem audire amplius nolebant, cum impetu et clamore surgebant, ut vel vox illius exaudiri non posset. Non opinor respici ad id, quod, si suffragia ferebant judices, insurgendum et tesseræ in urnam conjiciendæ erant.

ἤδη· εἰ δὲ πολλῷ βελτίω τούτου, καὶ ἐκ βελτιόνων, καὶ μηδενὸς τῶν μετρίων, ἵνα μηδὲν ἐπαχθὲς λέγω, χείρονα καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς ὑπειλήφατε καὶ γιγνώσκετε, τούτῳ μὲν δὴ μηδ᾽ ὑπὲρ τῶν ἄλλων πιστεύετε (δῆλον γάρ, ὡς ὁμοίως ἅπαντ᾽ ἐπλάττετο), ἐμοὶ δ᾽, ἣν παρὰ πάντα τὸν χρόνον εὔνοιαν ἐνδέδειχθε ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον γεγενημένων, καὶ νυνὶ παράσχεσθε. 11. κακοήθης δ᾽ ὤν, Αἰσχίνη, τοῦτο παντελῶς εὔηθες ᾠήθης, τοὺς περὶ τῶν πεπραγμένων καὶ πεπολιτευμένων λόγους ἀφέντα με πρὸς τὰς λοιδορίας τὰς παρὰ σοῦ τρέψεσθαι. οὐ δὴ ποιήσω τοῦτο· οὐχ οὕτω τετύφωμαι· ἀλλ᾽ ὑπὲρ μὲν τῶν πεπολιτευμένων ἃ κατεψεύδου καὶ διέβαλλες αὐτίκα ἐξετάσω, τῆς δὲ πομπείας ταύτης τῆς ἀνέδην γεγενημένης ὕστερον, ἂν βουλομένοις ἀκούειν ᾖ τουτοισί, μνησθήσομαι.

12. Τὰ μὲν οὖν κατηγορημένα πολλὰ καὶ δεινά, καὶ περὶ ὧν

11. τρέψεσθαι] τρέψασθαι, quod libri aliquot præbent, quanquam non prorsus spernendum est, certam tamen atque expressam futuri significationem in locum magis convenire patet.

ἐκ βελτιόνων] Formula oratoribus sæpe adhibita. Antiqui enim eos magni æstimabant, quorum patres virtutibus præstiterant.

οἱ μέτριοι sunt homines *probi*, qui quanquam meritorum magnitudine et multitudine non excellebant, a vitiis abhorrebant, et quicquid civi præstandum erat sine culpa præstabant.

ἐπαχθὲς] h. l. gloriosum. Gloriatio enim invidiosa et molesta erat.

ὑπειλήφατε καὶ γιγνώσκετε] Primum spectat publicam existimationem, quæ de homine vulgo obtinet, alterum judicium, quod de rebus tum publice tum privatim gestis quasi coram judicibus fertur.

ἐπλάττετο] Hoc medio non tam, quod suam in utilitatem rem Æschines finxerit, Demosthenem usum fuisse crediderim, quam, que nonnunquam medii vis est, ut *artificiose et cum industria* id fictum esse indicaret.

11. κακοήθης — εὔηθες] Hæc ex consulto opposita sunt; κακοήθης enim eum notat, qui malo consilio agit; εὔηθες vero id, quod, quocunque consilio profectum, stultitiam et dementiam indicet. Similes lusus ex Isocrate attulit *Battierus* ad Isocr. Paneg. § 119.

τετύφωμαι] τῦφος tropice *animi inflatio*, *superbia*, vanæ gloriæ ardor. τετύφωμαι igitur, *inflatus sum superbus*. *Harpocration*: τετύφωμαι ἀντὶ τοῦ ἐμβεβρόντημαι, ἔξω τῶν φρενῶν γέγονα, ἤτοι ἀπὸ τῆς βροντῆς, ἢ ἀπὸ τῶν ἐπὶ τὸν Τυφῶνα καταφερομένων σκηπτῶν, ἢ ἀπὸ τῶν Τυφωνικῶν καλουμένων πνευμάτων, ἃ δὴ καὶ αὐτὰ ἐξίστησιν ἀθρόως καταῤῥαγέντα.

ἃ κατεψεύδου καὶ διέβαλλες] Iterum synonyma juncta, hic ita ut a graviore ad levius descendatur. Καταψεύδεσθαι est *mendaciter aliquid fingere*; διαβάλλειν *calumniari, misrepresent*: *quæ aut prorsus mentitus es, aut saltem calumniatus.*

πομπείας] *Harpocration*: πομπείας καὶ πομπεύειν ἀντὶ τοῦ λοιδορίας καὶ λοιδορεῖν. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν λοιδορουμένων ἀλλήλοις.

ἀνέδην] Antiqui Grammatici exponunt ἐκκεχυμένως, ἐκλελυμένως. Unde descendat, difficile judicatu. Plura sunt vocabula in —δην, quæ adverbialiter adhibentur. Videntur ea proprie esse accusativi substantivorum primæ declinationis derivata a verbis per syllabam δη. Sic ἀνέδην opinor ab ἀνέω, ἀνίημι, *remitto, leave the reins loose*: *habenis missis, with the reins hanging loose*; *to be without restraint.*

ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμωρίας· τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὕτη ἐχθροῦ μὲν ἐπήρειαν ἔχει καὶ ὕβριν καὶ λοιδορίαν καὶ προπηλακισμὸν ὁμοῦ καὶ πάντα τὰ τοιαῦτα· τῶν μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔνι τῇ πόλει δίκην ἀξίαν λαβεῖν, οὐδ' ἐγγύς. 13. οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν οὐδ' ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν· οὔτε μὰ τοὺς θεοὺς ὀρθῶς ἔχον οὔτε πολιτικὸν οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ' ἐφ' οἷς ἀδικοῦντά με ἑώρα τὴν πόλιν, οὖσί γε τηλικούτοις, ἡλίκα νῦν ἐτραγῴδει

12. τάττουσι] Profecto dubito, an verior sit lectio codicum Σ. et γρ. Φ. pro vulg. τάττουσι exhibentium διδόασι, quod, ut est rarius sensu judiciali et ob id ipsum præ usitato τάττειν neglectum, ita reperitur in Lept. § 154. οἵ τε (νόμοι) τοῖς ἀγαθόν τι ποιοῦσι τὰς τιμὰς διδόντες καὶ οἱ τοῖς τἀναντία πράττουσι τὰς τιμωρίας.

12. μεγάλας καὶ τὰς ἐσχάτας] Καὶ h. l. augentis et corrigentis: magnas, immo maximas; magnas atque etiam maximas.

προαίρεσις] Προαιρεῖσθαι, præferre; hinc προαίρεσις actus præferendi, studium, consilium. Opponitur τύχη et pendet ex hominis voluntate.

ἐπήρειαν] Aristoteles explicat κάκωσιν, οὐχ ἵνα τι αὐτῷ, ἀλλὰ μὴ ἐκείνῳ.

προπηλακισμόν] Est genus petulantiæ et contumeliæ. Προπηλακίζειν est proprie: stercore alicui vultum illinere, quod licebat in eos, qui ἀτιμίας damnati erant. ὕβρις facta spectat contumeliosa, λοιδορία dicta.

οὐδ' ἐγγύς] Est formula, quæ additur enuntiationi negativæ, significans, multum abesse, ut res, de qua sermo est, fiat. Negatio rei igitur augetur. Conf. infra § 96.

13. [Οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ] Hujus loci obscuritati, de qua jam Scholiastes conqueritur, *Taylorus* transpositione, *Reiskius* interpolatione mederi volebant. Est autem illa obscuritas non tam in verbis, quæ perspicua sunt, quam in sententiarum nexu, quem *Fr. Schaubius* (in N. Bibl. crit. a Seebodio edita an. 1822. Vol. I. p. 192.) in hunc fere modum explicuit: "Plurima mihi Æschines objecit crimina, inque iis nonnulla, de quibus leges summas pœnas statuunt; verum in omni hac causa nihil aliud agit, nisi ut adversarium conviciis exagitet, non ut civitati copiam faciat accusati, si vera sint crimina, pro merito puniendi; illud enim si efficere voluisset, diversa ratione egisset; rectam enim justamque viam in accusando instituisset, non autem sic ut nunc, adversario defensionis facultatem eripere studens, unice conviciis et contumeliis operam daret—hoc enim per Jovem! nec justum nec æquum, neque bono civi consentaneum est. Vera ratio hæc potius fuisset: si me quæ nunc tragico ore recensuit, videbat committere, eo ipso tempore, non, quod nunc fecit, diu post, legibus debebat uti; si me quædam delatione digna videbat committere, deferre debebat; si legibus scribebam contraria, legum violatarum crimine postulare. Hæc recta fuisset ratio, non ea, qua nunc utitur: non enim potest accusare Ctesiphontem, si ego deliqui, neque illum accusasset, si putasset se me convincere posse." Hæc fere *Schaubius*. Mihi sententiæ sic videbantur cohærere: Gravia mihi Æschines objicit crimina, quæ si commisi, nullum in me supplicium satis grave videri potest. Tum vero argumentis debebat uti, non, quod facit, conviciis. Accusandi jus enim nemini detrahitur; sed accusatio argumentis debet esse firmata, non accusatoris expressa odio conviciandique libidine, qualis hæc est. Qui enim Ctesiphontem insectari potest mea causa, is non abstinuisset a me ipso accusando, si sperasset se quæ in me jaculatus est argumentis probare posse. F. 1.]

οὐ γὰρ ἀφαιρεῖσθαι cet.] Locus sic intelligendus, quasi protasis posita sit per ὡς, apodosis per οὕτως. Ut nemini copia sit adimenda publice verba ad populum faciendi, sic abstinendum a calumnis et invidia.

πολιτικόν] Recte Scholiastes per δημοτικόν, *quod decet civem liberæ civitatis.*

καὶ διεξῄει, ταῖς ἐκ τῶν νόμων τιμωρίαις παρ' αὐτὰ τἀδικήματα χρῆσθαι· εἰ μὲν εἰσαγγελίας ἄξια πράττοντά με ἑώρα, εἰσαγγέλλοντα, καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθιστάντα παρ' ὑμῖν· εἰ δὲ γράφοντα παράνομα, παρανόμων γραφόμενον· οὐ γὰρ δήπου Κτησιφῶντα μὲν δύναται διώκειν δι' ἐμέ, ἐμὲ δέ, εἴπερ ἐξελέγξειν ἐνόμιζεν, αὐτὸν οὐκ ἂν ἐγράψατο. 14. καὶ μὴν εἴ τι τῶν ἄλλων, ὧν νυνὶ διέβαλλε καὶ διεξῄει, ἢ καὶ ἄλλ' ὁτιοῦν ἀδικοῦντά με ὑμᾶς ἑώρα, εἰσὶ νόμοι περὶ πάντων καὶ τιμωρίαι καὶ ἀγῶνες καὶ κρίσεις πικρὰ καὶ μεγάλα ἔχουσαι τἀπιτίμια· καὶ τούτοις ἐξῆν ἅπασι χρῆσθαι κατ' ἐμοῦ, καὶ ὁπηνίκα ἐφαίνετο ταῦτα πεποιηκὼς καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς πρὸς ἐμέ, ὡμολογεῖτο ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ. 15. νῦν δ' ἐκστὰς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ καὶ φυγὼν τοὺς παρ' αὐτὰ τὰ πράγματα ἐλέγχους, τοσούτοις ὕστερον χρόνοις αἰτίας καὶ σκώμματα καὶ λοιδορίας συμφορήσας ὑποκρίνεται. εἶτα κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί· καὶ τοῦ μὲν ἀγῶνος ὅλου τὴν πρὸς ἐμὲ

*ἐτραγῴδει καὶ διεξῄει*] Ἓν διὰ δυοῖν pro *τραγικῶς διεξῄει*. *ἐτραγῴδει* acerbe, quoniam Æschines histrio tragicus erat. Et *τραγῳδεῖν* quidem tropice dicitur de eo, qui verbis pomposis, putidis et molestis ad rem exaggerandam utitur, ineptorum tragœdorum more: quos Aristophanes ubique exagitat. Paullo post *διέβαλλε καὶ διεξῄει*.

*παρ' αὐτὰ τἀδικήματα*] Eo ipso tempore, quo injuria patrata est. *παρὰ* ipsum temporis momentum indicat. *Πρὸς Πανταίν*, p. 966. *παρ' αὐτὰ τἀδικήματα μᾶλλον ἢ χρόνων ἐπιγεγενημένων ἀγανακτεῖν*.

*εἰσαγγελία* est delatio extraordinariorum delictorum ad senatum populumve. De variis generibus accurate exposuit *F. Schömann*. de comitiis Atheniensium L. II. c. 3.

*γράφοντα παράνομα, παρανόμων γραφόμενον*] Potest esse lusus verborum in forma et constructione. *Παράνομα γράφει* qui suadet aliquid quod legibus est adversum; *παρανόμων γράφεται* qui accusat aliquem aliquid contra leges suasisse.

*ἐξελέγξειν convincere, to convict.*

14. *ἐπιτίμια* vocabulum oratoribus frequenter usurpatum, idem fere significans quod *τιμωρίαι*, *pœnæ*, *æstimatio culpæ*, imprimis *multæ*, *Fines*. Derivatur a verbo *ἐπιτιμᾶν*, et longe differt ab *ἐπιτιμία*, ἡ, de quo vocabulo paullo post locuturi sumus.

*καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς πρὸς ἐμέ*] Hæc versio latina ita expressit: *et* (si eum constaret) *hac mecum agendi ratione esse usum*, quasi pro *τοῖς περὶ ἐμέ* haberemus nudum *ἐμοί*, sive formulam *τοῖς περὶ ἐμέ*. At *οἱ πρὸς ἐμὲ* ita ut periphrasin *οἱ περὶ ἐμὲ* nos legere non meminimus. Immo orationis genus est *ἐλλειπτικόν*, atque supplendum fere *τείνουσιν*, scil. *νόμοις, ἀγῶσι καὶ τοῖς τοιούτοις*. *Si hunc in modum, in singulis delictis me reprehendens, illis usus esset legibus et accusandi formis, quas ad me coarguendum aptissimas esse novisset.*

*ὡμολογεῖτο ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ*] Ὁμολογεῖσθαί τινι *respondere alicui, aptum esse rei.* Nemo negaret hanc, qua nunc utitur, accusationem convenire priori ejus agendi rationi.

15. *ὑποκρίνεται*] Similis tropus ei, quem ante in *τραγῳδεῖν* habuimus: *histrionem agere*, aliud in ore, aliud in pectore habere, simulare et dissimulare. Petere scilicet videtur Ctesiphontem, re vera autem petit Demosthenem.

*κρίνειν*] Opp. *τῷ κατηγορεῖν*: vid. supra notata ad § 9. de verbo *διώκειν*. Verbum *κρίνειν* sollemniter dici de accusatore monuit *Taylor.* ad Lycurg. in Leocr. p. 137.

ἔχθραν προΐσταται, οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοὶ τὴν ἑτέρου ζητῶν ἐπιτιμίαν ἀφελέσθαι φαίνεται.' 16. καίτοι πρὸς ἅπασιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἄλλοις δικαίοις, οἷς ἂν εἰπεῖν τις ὑπὲρ Κτησιφῶντος ἔχοι, καὶ τοῦτ' ἔμοιγε δοκεῖ καὶ μάλ' εἰκότως ἂν λέγειν, ὅτι τῆς ἡμετέρας ἔχθρας ὑμᾶς ἐφ' ἡμῶν αὐτῶν δίκαιον ἦν τὸν ἐξετασμὸν ποιεῖσθαι, οὐ τὸ μὲν πρὸς ἀλλήλους ἀγωνίζεσθαι παραλείπειν, ἑτέρῳ δ' ὅτῳ κακόν τι δώσομεν ζητεῖν· ὑπερβολὴ γὰρ ἀδικίας τοῦτό γε.

17. Πάντα μὲν τοίνυν τὰ κατηγορημένα ὁμοίως ἐκ τούτων ἄν τις ἴδοι οὔτε δικαίως οὔτ' ἐπ' ἀληθείας οὐδεμιᾶς εἰρημένα. βούλομαι δὲ καὶ καθ' ἓν ἕκαστον αὐτῶν ἐξετάσαι, καὶ μάλισθ' ὅσα ὑπὲρ τῆς εἰρήνης καὶ τῆς πρεσβείας κατεψεύσατό μου, τὰ πεπραγμένα ἑαυτῷ μετὰ Φιλοκράτους ἀνατιθεὶς ἐμοί. ἔστι δ' ἀναγκαῖον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσῆκον ἴσως, ὡς κατ' ἐκείνους τοὺς χρόνους εἶχε τὰ πράγματα ἀναμνῆσαι ὑμᾶς, ἵνα πρὸς τὸν ὑπάρχοντα καιρὸν ἕκαστα θεωρῆτε.

18. Τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμέ (οὐ γὰρ δὴ ἔγωγε ἐπολιτευόμην πω τότε), πρῶτον μὲν ὑμεῖς οὕτω

*προΐστασθαι*] *prætexere. To place something before oneself, so as to mask an attack:* inimicitiam quidem contra me prætexens, i. e. affirmans accusationem locum habere, quod ego civitati noxius sum et odio premor ab ipsa civitate.

*ἐπὶ ταύτην*] sc. *ἔχθραν*, sub hoc prætextu.

*ἀπηντηκὼς ἐμοί*] Me ipsum recta via aggreditur.

*ἐπιτιμίαν*] Longe differt *ἡ ἐπιτιμία* a *τὰ ἐπιτίμια*. Nempe *ἡ ἐπιτιμία* oppositam *τῇ ἀτιμίᾳ* notionem habet, et est status integer, quo quis jure civili integro gaudet. Derivatur ab *ἐπίτιμοι* qui Atticis dicuntur, qui integra civitate, integris civium juribus utuntur.

16. *ἐξετασμόν*] *ἐξετάζειν* et quæ inde derivantur sæpe dicuntur de mutua virium contentione, experiri uter utrum superet.

*ἑτέρῳ δ' ὅτῳ κακόν τι δώσομεν ζητεῖν*] Recentiores linguæ ita construunt, *ἕτερον ζητεῖν ὅτῳ* cet. Sed antiqui construunt nomen quod proprie pendere oportet ex verbo primario, in enuntiationem interjectam per relativum, *alium quærere cui noceamus.* Cf. *Bernhardy* Syntax. p. 303.

17. *ὑπὲρ τῆς εἰρήνης καὶ τῆς πρεσβείας*] Hæc spectant Ol. CVIII. 2, quo anno Themistocles archon erat eponymus.

*ἀνατιθέναι, causam, culpam rei in aliquem transferre.* Sic Attici etiam dicunt *ἀναφέρειν*. Demosthenes, Æschines et Philocrates erant e legatorum numero, qui pacis causa in Macedoniam mittebantur, atque Demosthenes et Æschines alter alteri crimini vertit, quod conjunctus cum Philocrate Philippi commodis in damnum Atheniensium studuerit. Philocrates autem impulsore Demosthene patria cedere coactus et exilio multatus est.

18. *Φωκικοῦ—πολέμου*] Exarsit hoc bellum Ol. CVI. 2. archonte Callistrato, et per decem fere annos vario successu durabat, et tandem per Philippum cum Phocensium pernicie compositum est. Appellatur etiam *ὁ ἱερὸς πόλεμος*, quoniam bellum inde ortum est, quod Phocenses agros Apollini Delphico dicatos contra leges sacras colebant et in usus suos convertebant: quod nefas erat. Et Athenienses quidem odio Thebanorum ducti primis temporibus Phocenses juvabant.

*οὐ γὰρ δὴ ἔγωγε ἐπολιτευόμην πω τότε*] Rem affirmat etiam *Plutarch.* Dem. cap. 12. *ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοινά, τοῦ Φωκικοῦ πολέμου συνεστῶτος, ὡς αὐτός τε φησί, καὶ λαβεῖν ἔστιν ἀπὸ τῶν Φιλιππικῶν δημηγοριῶν.*

διέκεισθε, ὥστε Φωκέας μὲν βούλεσθαι σωθῆναι, καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες, Θηβαίοις δ' ὁτιοῦν ἂν ἐφησθῆναι παθοῦσιν, οὐκ ἀλόγως οὐδ' ἀδίκως αὐτοῖς ὀργιζόμενοι· οἷς γὰρ εὐτυχήκεσαν ἐν Λεύκτροις οὐ μετρίως ἐκέχρηντο· ἔπειθ' ἡ Πελοπόννησος ἅπασα διειστήκει, καὶ οὔθ' οἱ μισοῦντες Λακεδαιμονίους οὕτως ἴσχυον, ὥστε ἀνελεῖν αὐτούς, οὔθ' οἱ πρότερον δι' ἐκείνων ἄρχοντες κύριοι τῶν πόλεων ἦσαν, ἀλλά τις ἦν ἄκριτος καὶ παρὰ τούτοις καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν Ἕλλησιν ἔρις καὶ ταραχή. 19. ταῦτα δ' ὁρῶν ὁ Φίλιππος (οὐ γὰρ ἦν ἀφανῆ) τοῖς παρ' ἑκάστοις προδόταις χρήματα ἀναλίσκων πάντας συνέκρουε καὶ πρὸς ἑαυτοὺς ἐτάραττεν· εἶτ' ἐν οἷς ἡμάρτανον οἱ ἄλλοι καὶ κακῶς ἐφρόνουν, αὐτὸς παρεσκευάζετο καὶ κατὰ πάντων ἐφύετο. ὡς δὲ ταλαιπωρούμενοι τῷ μήκει τοῦ πολέμου οἱ τότε μὲν βαρεῖς, νυνὶ δ' ἀτυχεῖς Θηβαῖοι φανεροὶ πᾶσιν ἦσαν ἀναγκασθησόμενοι κατα-

ἐφήδεσθαι, ut ἐπιχαίρειν, est lætari alicujus calamitate. *Ammonius* de Diff. Verb. p. 57. ἐπιχαίρειν inquit et συγχαίρειν διαφέρει· ἐπιχαίρειν μὲν γάρ ἐστιν ἐπιγελᾶν τοῖς ἀλλοτρίοις κακοῖς. συγχαίρειν δὲ τὸ συνήδεσθαί τινος ἀγαθοῖς. Veram esse hanc observationem ostendit *Valck.* Animadvv. in Ammonium L. II. c. 1.

οὐδ' ἀδίκως αὐτοῖς ὀργιζόμενοι] Nempe post pugnam Leuctricam quæ accidebat Ol. CII. 2, archonte Phrasicide, Thebani altos spiritus gerebant, et inprimis vicinos superbe et importune tractabant.

οἷς γὰρ εὐτυχήκεσαν ἐν Λεύκτροις οὐ μετρίως ἐχρήσαντο] Cf. *Matthiæ* Gr. Gr. § 481. Anm. 1.

ἡ Πελοπόννησος ἅπασα διειστήκει] Ante pugnam scilicet Leuctricam Lacedæmonii imperabant toti fere Peloponneso, mitius aliis, aliis severius. Quum vero illa pugna fatali eorum potestas fracta esset, et per Thebanos discordia disseminata et nutrita, Peloponnesus turbis et tumultibus flagrabat, ita ut Lacedæmonii ab Atheniensibus suæ salutis causa auxilium petere cogerentur.

19. προδόταις] Atrum proditorum catalogum Demosthenes ex suo ingenio amplificavit, qui recensentur infra p. 324. R. § 91. Sed inter hos, quos Atticus orator turpi hoc nomine dehonestavit, fuisse credibile est non pecunia, sed humanitate regis captos, qui speciosæ libertati, quæ dicebatur, non erant addicti, nec plebem amabant, superbissimum dominum, nec eos, qui plebem ducerent, concionatores. [*Valckenaerii* Orat. de Philippo Maced. p. 241 sq.]

συνέκρουε] συγκρούειν proprie *collidere. To knock one against the other*, tropice de disseminatione discordiarum dicitur, et explicatur hoc loco per notum magis πρὸς ἑαυτοὺς ἐτάραττεν: in quo notandum est, ἑαυτοὺς positum esse pro ἀλλήλους, quod a librariis et viris doctis haud raro tentatum vindicavi Observ. Demosth. p. 65 sq.

αὐτὸς παρεσκευάζετο καὶ κατὰ πάντων ἐφύετο] Sensus videtur is esse: Quæ ceteri male faciebant, ea ipse sibi in commoda vertebat, itaque omnium perniciei augebatur. Φύεσθαι h. l. i. q. αὐξάνεσθαι, *crescere augeri:* quo sensu iterum legitur infra § 62.

νῦν δ' ἀτυχεῖς Θηβαῖοι] Nempe hæc oratio habita est post eversionem Thebarum, quæ per Alexandrum M. accidebat Ol. CXI. 2. archonte Evæneto. Ceterum tempus, quo Thebani auxilium peterent contra Philippum, incidit in Ol. CX. 2. archonte Lysimachide, seriore quam fingit Demosthenes tempore, quum Philippus Ἐλάτειαν, πόλιν μεγίστην τῶν ἐν Φωκεῦσι, cepisset repente, nec Thebas solum, sed ipsas etiam Athenas summo terrore percussisset. Philippus autem, quum exhortante Demosthene Athenienses animum recepissent seque cum Thebanis fœdere junxissent, pacem petebat, quam si Græci iniissent, clade Chæronensi libertatem non amisissent.

φεύγειν ἐφ᾽ ὑμᾶς, ὁ Φίλιππος, ἵνα μὴ τοῦτο γένοιτο, μηδὲ συνέλθοιεν αἱ πόλεις, ὑμῖν μὲν εἰρήνην, ἐκείνοις δὲ βοήθειαν ἐπηγγείλατο. 20. τί οὖν συνηγωνίσατο αὐτῷ πρὸς τὸ λαβεῖν ὀλίγου δεῖν ἑκόντας ὑμᾶς ἐξαπατωμένους; ἡ τῶν ἄλλων Ἑλλήνων, εἴτε χρὴ κακίαν εἴτ᾽ ἄγνοιαν εἴτε καὶ ἀμφότερα ταῦτ᾽ εἰπεῖν, οἵ, πόλεμον συνεχῆ καὶ μακρὸν πολεμούντων ὑμῶν, καὶ τοῦτον ὑπὲρ τῶν κοινῇ πᾶσι συμφερόντων, ὡς ἔργῳ φανερὸν γέγονεν, οὔτε χρήμασιν οὔτε σώμασιν οὔτ᾽ ἄλλῳ οὐδενὶ τῶν πάντων συνελάμβανον ὑμῖν· οἷς καὶ δικαίως καὶ προσηκόντως ὀργιζόμενοι, ἑτοίμως ὑπηκούσατε τῷ Φιλίππῳ. ἡ μὲν οὖν τότε συγχωρηθεῖσα εἰρήνη διὰ ταῦτα, οὐ δι᾽ ἐμέ, ὡς οὗτος διέβαλλεν, ἐπράχθη· τὰ δὲ τούτων ἀδικήματα καὶ δωροδοκήματα ἐν αὐτῇ τῶν νυνὶ παρόντων πραγμάτων, ἄν τις ἐξετάζῃ δικαίως, αἴτια εὑρήσει. 21. καὶ ταυτὶ πάνθ᾽ ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι καὶ διεξέρχομαι· εἰ γὰρ εἶναί τι δοκοίη τὰ μάλιστα ἐν τούτοις ἀδίκημα, οὐδέν ἐστι τούτων δήπου πρὸς ἐμέ· ἀλλ᾽ ὁ μὲν πρῶτος εἰπὼν καὶ μνησθεὶς ὑπὲρ τῆς εἰρήνης Ἀριστόδημος ἦν, ὁ ὑποκριτής, ὁ δ᾽ ἐκδεξάμενος καὶ γράψας καὶ ἑαυτὸν μετὰ τούτου μισθώσας ἐπὶ ταῦτα Φιλοκράτης ὁ Ἁγνούσιος, ὁ σός, Αἰσχίνη, κοινωνός, οὐκ ἐμός, οὐδ᾽ ἂν σὺ διαρραγῇς ψευδόμενος· οἱ δὲ συνειπόντες ὅτου

[20. ὑπὲρ τῶν κοινῇ πᾶσι συμφ.] κοινῇ, omissum in cod. Σ, exsulare jussit Bekker. Idem in sequentibus τούτων, quo carent libri præstantiores, delevit. V. C. F. R.]

21. Recte Bekk. τι—ἀδίκημα pro vulg. τινὰ—ἀδικήματα. Non enim hoc referendum ad proditorum consilia et pactiones, quarum quidem multæ inerant, sed sermo est de eo, quod bello componendo ipso contra reipubl. commoda peccatum non fuerit. Quare in hoc πολιτεύματι ipso, si modo peccatum fuerit, peccata non plura, sed unum tantum committi potuisse existimat. Præterea autem, ut in sententia generali, rectius se habet singularis, quem etiam in oratione Περὶ Ἀντιδ. restituit Bekkerus in Isocr. Paneg. cap. 15. τίς—τολμήσειεν.

20. κακία] *ignavia;* ἄγνοια, *inscitia,* quod non perspiciebant, quæ sors ipsos omnes maneret.

χρήμασιν] *pecuniis;* intelligit, quas socii συμβολῶν nomine euphemistico (*contributions*) appellant, quum φόρων nomen iis odiosum esset. σώμασιν, *copiis,* quas in auxilium mittebant ex suis ipsarum civitatibus. ἄλλῳ τῶν πάντων, aliis cujuscunque generis subsidiis, quibus opus est ad bellum gerendum.

δωροδοκήματα] Quamvis δωροδοκία de eo dicitur, qui dat, et de eo, qui accipit dona, δωροδόκημα nonnisi de *dono accepto* ponitur.

21. Ἀριστόδημος] Celebris fuit histrio tragicus, qui sub artis nomine etiam durante bello libertatem habebat ex Græcia in Macedoniam et vice versa migrandi. Hic a Philippo subornatus erat, ut in commodum suum res Atheniensium publicas præpararet: quod si fides Demostheni, egregie in Philippi favorem factitabat.

Ἁγνούσιος] Ἁγνοῦς nomen erat δήμου τῆς Ἀκαμαντίδος φύλης, ἧς ὁ δημότης Ἁγνούσιος.

διαρρήγνυσθαι tropice dicitur qui indignatione abreptus fremit et tantum clamorem extollit, ut opineris oportere

δήποτε ἕνεκα (ἐῶ γὰρ τοῦτό γ' ἐν τῷ παρόντι) Εὔβουλος καὶ Κηφισοφῶν· ἐγὼ δ' οὐδὲν οὐδαμοῦ. 22. ἀλλ' ὅμως, τούτων τοιούτων ὄντων, καὶ ἐπ' αὐτῆς τῆς ἀληθείας οὕτω δεικνυμένων, εἰς τοῦθ' ἧκεν ἀναιδείας, ὥστ' ἐτόλμα λέγειν, ὡς ἄρα ἐγὼ πρὸς τῷ τῆς εἰρήνης αἴτιος γεγενῆσθαι ἔτι καὶ κεκωλυκὼς εἴην τὴν πόλιν μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων αὐτὴν ποιήσασθαι· εἶτ', ὦ—, τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι; ἔστιν ὅπου σὺ παρὼν τηλικαύτην πρᾶξιν καὶ συμμαχίαν, ἡλίκην νῦν διετραγῴδεις καὶ διεξῄεις, ὁρῶν ἀφαιρούμενόν με τῆς πόλεως ἠγανάκτησας, ἢ παρελθὼν ταῦτα, ἃ νῦν κατηγορεῖς, ἐδίδαξας καὶ διεξῆλθες; 23. καὶ μὴν εἰ τὸ κωλῦσαι τὴν τῶν Ἑλλήνων κοινωνίαν ἐπεπράκειν ἐγὼ Φιλίππῳ, σοὶ τὸ μὴ σιγῆσαι λοιπὸν ἦν, ἀλλὰ βοᾶν καὶ διαμαρτύρεσθαι καὶ δηλοῦν τουτοισί. οὐ τοίνυν ἐποιήσας οὐδαμοῦ τοῦτο, οὐδ' ἤκουσέ σου ταύτην τὴν φωνὴν οὐδείς· εἰκότως· οὔτε γὰρ ἦν πρεσβεία πρὸς οὐδένας ἀπεσταλμένη τότε τῶν Ἑλλήνων, ἀλλὰ πάλαι πάντες

rumpi ejus viscera. Eadem locutione usus est Demosthenes, Aristonis nomine, in Orat. adv. Corona p. 1270. R. § 41. Bekk. *ἀλλ' οὐκ ἐπιορκῶ, οὐδ' ἂν Κόνων διαῤῥαγῇ.*

*Εὔβουλος*] Anaphlystius, tribus Antiochidis, maximæ auctoritatis orator et demagogus, cui perpetuæ fere cum Demosthene simultates intercedebant; curam pecuniæ publicæ suscepit, reditus auxit, classes instruxit, urbem munimentis exornavit.

*Κηφισοφῶν*] Legatus missus ad Philippum. Nominatur in psephismate quod legitur p. 235. R.

22. *ἐπ' αὐτῆς τῆς ἀληθείας*] Adamat noster hanc formulam, ut supra § 17, quem locum laudant ad Vig. p. 614. de usu adverbiali loquentes, nec tamen aperientes rei rationem. Atque *ἐπὶ* c. genit. proprie sensu locali, quem dicunt, significat locum firmum, seu rem solidam eam, in qua aliquid aut consistat, aut ad quam aliquid commoveatur; significat deinde ordinem certum atque constitutum, ad quem aliquid componatur atque ordinetur, ut *ἐπὶ τριῶν, ἐπὶ τεσσάρων τάττεσθαι*, ita etiam *τὴν ἐπωνυμίαν ποιεῖσθαι ἐπί τινος*, in quo (*τινὶ*) videlicet est exemplum, ad cujus similitudinem nomen etiam in alia conferatur. Itaque in formula *ἐπ' ἀληθείας* continetur firma quædam lex, ad cujus normam aliquid sit dijudicandum.—*Αὐτὴ ἡ ἀλήθεια* notio abstracta est exemplorum aliquid probantium.

*μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων*] Tempore discriminum et rerum omnino graviorum sociæ Atheniensium civitates singulæ legatos habebant Athenis, qui communiter quid faciendum esset deliberarent et nomine civitatum agerent. Hoc consilium appellabatur *τὸ κοινὸν συνέδριον τῶν Ἑλλήνων.*

23. *διαμαρτύρεσθαι*] h. l. quod Latini dicunt *obtestari*, deos hominesque tanquam testes invocare. In jure Attico *διαμαρτυρία* proprium est genus causæ, de quo exposuit *Aug. Guil. Heffter* in libro *die Athenäische Gerichtsverfassung* p. 348 ff.

*τοίνυν*] Interdum habet vim oppositivam. Latinorum *atqui.*

*πρὸς οὐδένας ἀπεσταλμένη*] Æschines et Demosthenes, ut in multis momentis, sic in hac re prorsus sibi contra dicunt. Plerumque veritas est sita in medio: de qua re in genere utilissimum et ingeniosum libellum scripsit *Benj. Gotth. Weiske* de Hyperbole errorum in historia Philippi commissorum genetrice. Hic P. II. p. 49. monet utraque gravius quam verius dicta esse; repugnantia erit facile concilianda, si memineris Ol. CVIII. 1. invitatos ab Atheniensibus esse Arcades aliosque Græcos Olynthi excidio exacerbatos, quorum alii jam accesserant ad illud sociorum Atheniensium collegium,

ἦσαν ἐξεληλεγμένοι, οὐθ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν. 24. χωρὶς δὲ τούτων καὶ διαβάλλει τὴν πόλιν τὰ μέγιστα ἐν οἷς ψεύδεται· εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν Ἕλληνας εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ πρὸς Φίλιππον περὶ εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου πρᾶγμα, οὐ πόλεως ἔργον οὐδὲ χρηστῶν ἀνθρώπων διεπράττεσθε· ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθ' ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν· ἀλλ' ἐπὶ τὸν πόλεμον; ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. οὐκοῦν οὔτε τῆς ἐξ ἀρχῆς εἰρήνης ἡγεμὼν οὐδ' αἴτιος ὢν ἐγὼ φαίνομαι, οὔτε τῶν ἄλλων, ὧν κατεψεύσατό μου, οὐδὲν ἀληθὲς ὂν δείκνυται.

25. Ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐνταῦθα πάλιν σκέψασθε, τί ἡμῶν ἑκάτερος προείλετο πράττειν· καὶ γὰρ ἐκ τούτων εἴσεσθε, τίς ἦν ὁ Φιλίππῳ πάντα συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν καὶ τὸ τῇ πόλει συμφέρον ζητῶν. ἐγὼ μὲν τοίνυν ἔγραψα βουλεύων ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα τὸν Φίλιππον πυνθάνωνται, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν· οὗτοι δέ, οὐδὲ γράψαντος ἐμοῦ, ταῦτα ποιεῖν ἠθέλησαν. τί δὲ τοῦτ' ἠδύνατο, ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ διδάξω. 26. Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων, ὑμῖν δ' ὡς ἐλάχιστον. διὰ τί; ὅτι ὑμεῖς μὲν οὐκ ἀφ' ἧς ὠμόσατε μόνον ἡμέρας, ἀλλ' ἀφ' ἧς ἠλπίσατε τὴν

alii autem, quorum vel refrixerant studia, vel nunquam illis faverant, etiam tum ab eorum legatis adibantur.—[*πάντες ἦσαν ἐξεληλεγμένοι*, omnium animi explorati erant. *All their sentiments were already known thoroughly*, V. C. F. R.]

*ὑγιὲς* interdum idem quod *ἀληθές*, *not falsified.*

24. *ἐν οἷς ψεύδεται*] Noli commate interpungere ante hæc verba. Non enim est: *civitati conviciatur atque in ea re mentitur*, mendacia enim jam partim sunt comprobata, sed *mendaciis suis civitati voluit conviciari, ad quod ipsum mendacia invenit.*

Εὐρυβάτου πρᾶγμα] *Harpocration:* Ἔφορος ἐν τῇ ὀγδόῃ Εὐρυβάτην φησὶν ἄνδρα Ἐφέσιον λαβόντα χρήματα παρὰ Κροίσου, ὥστε στρατείαν (l. στρατιὰν) συναγαγεῖν εἰς τὸν πόλεμον πρὸς τοὺς Πέρσας, εἶτα προδότην γενόμενον ἐγχειρίσαι τὰ δοθέντα χρήματα τῷ Κύρῳ· καὶ ἐντεῦθεν τοὺς πονηροὺς Εὐρυβάτας καλεῖσθαι. Conf. *Taylor.* ad Æschin. in Ctesiph. p. 527.

*οὐκ ἔστι—οὐκ ἔστιν*] Hanc repetitionem rhetores diplasiasmum vocant: qui vim auget. In negatione præsertim Demostheni usitatus est, et indignationem habet. De accentu vid. *Herm.* de emend. rat. Gramm. p. 84 ss.

*τῆς ἐξ ἀρχῆς εἰρήνης*] pacis quæ olim fiebat.

25. *οὗτοι δὲ—ποιεῖν ἠθέλησαν*] Inest nescio quid ironiæ in hoc *ἠθέλησαν*, quod dubito an non referat Latinum *voluerunt.* Est vero: *illis, ne quum decressem quidem, facere hoc visum est.*

εἰρήνην ἔσεσθαι, πάσας ἐξελύσασθε τὰς παρασκευὰς τὰς τοῦ πολέμου· ὁ δὲ τοῦτο ἐκ παντὸς τοῦ χρόνου μάλιστα ἐπραγματεύετο, νομίζων, ὅπερ ἦν ἀληθές, ὅσα τῆς πόλεως προλάβοι πρὸ τοῦ τοὺς ὅρκους ἀποδοῦναι, πάντα ταῦτα βεβαίως ἕξειν· οὐδένα γὰρ τὴν εἰρήνην λύσειν τούτων ἕνεκεν, 27. ἃ ἐγὼ προορώμενος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ λογιζόμενος, τοῦτο τὸ ψήφισμα γράφω, πλεῖν ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ᾖ Φίλιππος, καὶ τοὺς ὅρκους τὴν ταχίστην ἀπολαμβάνειν, ἵν', ἐχόντων τῶν Θρᾳκῶν, τῶν ὑμετέρων συμμάχων, τὰ χωρία ταῦθ', ἃ νῦν οὗτος διέσυρε, τὸ Σέῤῥιον, καὶ τὸ Μύρτιον, καὶ τὴν Ἐργίσκην, οὕτω γίγνοινθ' οἱ ὅρκοι, καὶ μὴ προλαβὼν ἐκεῖνος τοὺς ἐπικαίρους τῶν τόπων κύριος τῆς Θρᾴκης κατασταίη, μηδὲ πολλῶν μὲν χρημάτων, πολλῶν δὲ στρατιωτῶν εὐπορήσας, ἐκ τούτων ῥᾳδίως τοῖς λοιποῖς ἐπιχειροίη πράγμασιν. 28. εἶτα τοῦτο μὲν οὐχὶ λέγει τὸ ψήφισμα, οὐδ' ἀναγινώσκει· εἰ δὲ βουλεύων ἐγὼ προsάγειν τοὺς πρέσβεις ᾤμην δεῖν, τοῦτό μου διαβάλλει. ἀλλὰ τί ἐχρῆν με ποιεῖν; μὴ προsάγειν γράψαι τοὺς ἐπὶ τοῦθ' ἥκοντας, ἵν' ὑμῖν διαλεχθῶσιν; ἢ θέαν μὴ κατανεῖμαι τὸν ἀρχιτέκτονα αὐτοῖς κελεῦσαι; ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἄν, εἰ μὴ τοῦτ' ἐγράφη. τὰ μικρὰ συμφέροντα τῆς πόλεως ἔδει με φυλάττειν, τὰ δ' ὅλα, ὥsπερ

26. *πάσας ἐξελύσασθε τὰς παρασκευάς*] finem imposuistis apparatui bellico. In verbo inest significatio molestiæ, a qua quis liberatur.

*ὅσα τῆς πόλεως προλάβοι*] *τῆς πόλεως* pendet ab *ὅσα*. Athenienses enim illas regiones habere quodammodo dici poterant. Erant enim Thraces Atheniensium socii.—*προλάβοι*, præoccupet.

27. *ἃ νῦν—διέσυρε*] *διασύρειν* propric *distrahere*, tropice, ut Lat. *lacerare*, de contumeliis et probris dicitur. Scilicet Æschines loca quæ sequuntur tanquam ignota et nullius momenti calumniose pronuntiavit. Quod si enim historiam consulimus, si non magni, tamen non nullius pretii erant. *Σέῤῥιον τεῖχος* erat promontorium Thraciæ, quod Herodoto VII. 59. dicitur *ἄκρη ὀνομαστή*. *Μύρτιον* idem videtur esse, quod Harpocration s. v. *Μύρτανον* appellat, *Δημοσθένης ὑπὲρ Κτησιφῶντος, φρούριον τῆς Θρᾴκης*. In Æschine hoc non legitur. *Ἐργίσκη* ignobilis fuisse Thraciæ locus videtur.

*τοὺς ἐπικαίρους τῶν τόπων*] Locorum opportunissimos tum ad impetum in alios tum ad defensionem sui ipsius.

28. *διαλεχθῶσιν*] *διαλέγεσθαι* de paciscendo per legatos haud rarum est, de tractanda vel reconciliatione vel ineundo fœdere.

*θέαν*] intelligit *προεδρίαν*, i. e. honoris locum in theatro, quando fabulæ docentur.

*ἐν τοῖν δυοῖν ὀβολοῖν*] *Reiskii* explicationem probat etiam *Boeckh.* in œcon. Ath. publ. I. p. 240; spectassent legati ex illis sedibus, quas cuique homini obolis binis persolutis capere licebat, nisi illis sedes honorariæ, quibus etiam proedri utebantur, a civitate, ut par erat, fuissent assignatæ.

*ἐθεώρουν ἄν*] notandum, imperfectum cum *ἂν* h. l. notionem habere plusquamperfecti conjunctivi, etiamsi proprie hac significatione ponatur aoristus indicativi cum *ἄν*, ut apud *εἰ* idem positus est.

*συμφέροντα*] hoc participium ponitur

οὗτοι, πεπρακέναι Φιλίππῳ; οὐ δήπου. λέγε τοίνυν μοι τὸ ψήφισμα τουτὶ λαβὼν, ὃ σαφῶς εἰδὼς οὗτος παρέβη. λέγε.

## ΨΗΦΙΣΜΑ.

29.* "Ἐπὶ ἄρχοντος Μνησιφίλου, Ἑκατομβαιῶνος ἕνῃ καὶ νέᾳ, φυλῆς πρυτανευούσης Πανδιονίδος, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν· Ἐπειδὴ Φίλιππος, ἀποστείλας πρέσβεις περὶ τῆς εἰρήνης, ὁμολογουμένας πεποίηται συνθήκας πρὸς τὸν Ἀθηναίων δῆμον, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων, ὅπως ἂν ἡ εἰρήνη ἐπιτελεσθῇ ἡ ἐπιχειροτονηθεῖσα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ, πρέσβεις ἑλέσθαι ἐκ πάντων Ἀθηναίων ἤδη πέντε, τοὺς δὲ χειροτονηθέντας

28. [πεπρακέναι Φιλίππῳ;] Φιλίππῳ omisit Bekker. cum optimis codd. V. C. F. R.]
29. [συνθήκας πρὸς τὸν Ἀθηναίων δῆμον] Verba πρὸς—δῆμον in paucis nec præstantioribus libris adjecta omisit Bekker., probante Schæfero. V. C. F. R.]
ὑπερβολήν] quod pro vulg. ἀναβολὴν ex codd. optimis recepit Bekk. eadem hac *moræ* significatione habetur etiam apud Herod. VIII. 12. Polyb. XIV. 9, 8. Apud bonos tamen Atticos hac significatione legere me non recordor, ut etiam hinc vere quis conjiciat, hoc, ut cetera ψηφίσματα hujus orationis, posteriori deberi ætati.

ut substantivum et substantivi constructionem habet, tum additum adjectivum, tum genitivum.

29. ἐπὶ ἄρχοντος Μνησιφίλου] Mnesiphilus erat archon pseudeponymus Ol. CVIII. 2. quo archon eponymus erat Themistocles. In mense est error, et *Benj. Gotth. Weiske* videtur vere conjecisse de Hyperb. P. III. p. 18. n. 13. pro Ἑκατομβαιῶνος legendum esse Ἐλαφηβολιῶνος. Nempe Hecatombæon erat primus mensis anni Atheniensis, qui mensis et annus incipiebat a 13. Julii, et mensis pertingebat ad 12. Augustum. Jam in se non credibile primo statim mense Themistoclem mortuum esse. Immo si fides est *Diodor. Sic.* L. XVI. 59. Themistocle archonte συνθῆκαι Φιλίππῳ πρὸς Ἀθηναίους ἐγένοντο περὶ τῆς συμμαχίας. Pax autem cum Philippo Elaphebolionis die 18. et συμμαχία 19. concludebatur, testibus Demosthene et Æschine. Elaphebolion autem nonus erat mensis anni Attici, incipiens a 4. Martio ad 2. April. Mnesiphilum igitur demum post hunc diem successisse oportet. Hinc probabilis est Weiskii suspicio, quam ex parte jam habuit Corsini. [Difficultatum, quibus hoc psephisma et reliqua, in quibus commemorantur Archontes pseudeponymi, premuntur, solutio petenda est ex egregia commentatione *A. Boeckhii* de Archontibus pseudep. in Dissertatt. Academ. Berolin. an. 1827. unde sua hausit etiam *Fr. Winiewski* in Doctis Commentariis hist. et crit. in Demosth. Or. de Cor. p. 291 sq. F. I.]

ἕνῃ καὶ νέᾳ] ἕνῃ est ultima decrescentis lunæ dies, νέα prima denuo crescentis. Νουμηνίαν eum diem nominabant, in quo prima, quamvis perexigua pars crescentis lunæ vespere post occasum solis aliquantisper observabatur. Diem autem, qui νουμηνίαν antecedebat, ἕνην καὶ νέαν vocabant. Accurate hæc exposuit *Buttmannus* in Excursu VI. ad Demosthenis Midian.

πρυτανευούσης] Annus lunaris dies 354 continens erat divisus in decem prytanias, quarum quæque habebat 35 dies, residuis diebus quattuor. Singulæ tribus per singulas prytanias præerant senatui, ut sors iis ceciderat, et quodque psephisma, quod per hanc prytaniam edebatur, inscriptum habebat nomen ejus tribus, quæ præerat.

Παιανιεύς] Παιανία nomen erat demi τῆς Πανδιονίδος φυλῆς. Duo erant, alter dicebatur καθύπερθεν, alter ὑπένερθεν.

ἐπιτελεῖσθαι] *absolvi. To be put really into force.*

ἀποδημεῖν, μηδεμίαν ὑπερβολὴν ποιουμένους, ὅπου ἂν ὄντα πυνθάνωνται τὸν Φίλιππον, καὶ τοὺς ὅρκους λαβεῖν τε παρ' αὐτοῦ καὶ δοῦναι τὴν ταχίστην ἐπὶ ταῖς ὡμολογημέναις συνθήκαις αὐτῷ πρὸς τὸν Ἀθηναίων δῆμον, συμπεριλαμβάνοντας καὶ τοὺς ἑκατέρων συμμάχους. πρέσβεις ᾑρέθησαν Εὔβουλος Ἀναφλύστιος, Αἰσχίνης Ἀτρομήτου Κοθωκίδης, Κηφισοφῶν Ῥαμνούσιος, Δημοκράτης Φλυεύς, Κλέων Κοθωκίδης." +

30. Ταῦτα γράψαντος ἐμοῦ τότε, καὶ τὸ τῇ πόλει συμφέρον, οὐ τὸ Φιλίππῳ, ζητοῦντος, βραχὺ φροντίσαντες οἱ χρηστοὶ πρέσβεις οὗτοι καθῆντο ἐν Μακεδονίᾳ τρεῖς ὅλους μῆνας, ἕως ἦλθε Φίλιππος ἐκ Θρᾴκης πάντα καταστρεψάμενος τἀκεῖ, ἐξὸν ἡμερῶν δέκα, μᾶλλον δὲ τριῶν ἢ τεττάρων, εἰς τὸν Ἑλλήσποντον ἀφῖχθαι, καὶ τὰ χωρία σῶσαι λαβόντας τοὺς ὅρκους, πρὶν ἐκεῖνον ἐξελεῖν αὐτά· οὐ γὰρ ἂν ἥψατ' αὐτῶν, παρόντων ἡμῶν, ἢ οὐκ ἂν ὡρκίζομεν αὐτόν, ὥστε τῆς εἰρήνης ἂν διημαρτήκει, καὶ οὐκ ἂν ἀμφότερα εἶχε, καὶ τὴν εἰρήνην καὶ τὰ χωρία.

31. Τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα μὲν Φιλίππου, δωροδόκημα δὲ τῶν ἀδίκων τούτων ἀνθρώπων καὶ θεοῖς ἐχθρῶν τοιοῦτον ἐγένετο, ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ πολεμεῖν καὶ διαφέρεσθαι τουτοισί. ἕτερον δ' εὐθὺς ἐφεξῆς ἔτι τούτου μεῖζον κακούργημα θεάσασθε·

[Αἰσχίνης Ἀτρομήτου] "Ἀτρομήτου recte omisit Bekker. Quum enim ceteri legati non nominentur πατρόθεν, quis credet in solo Æschine hoc factum esse?" —Schaef.]

Ἀναφλύστιος] demus Atticus φυλῆς Ἀντιοχίδος. Κοθωκίδης, δημότης tribus incertæ; Ῥαμνοῦς, tribus Αἰαντίδος, dives ῥάμνοις. (*Thorn-bush*); Φλύα, δῆμος φυλῆς Κεκροπίδος (alii adscribunt φυλῇ Πτολεμαΐδι) Tribuum nomina damus ex *Corsinii* Fastis Atticis Diss. IV. [Cf. Append. ad Car. Frid. *Hermanni Lehrbuch der griechischen Staatsalterthümer* IV. p. 388 sq.]

30. καθῆντο] Verbum κάθημαι apud scriptores Atticos plerumque augmento caret: quod si deest, accentus per imperfectum semper ponitur in syllaba verbi radicali.

τρεῖς ὅλους μῆνας] Culpa in hac re liberari non possunt legati, nec, quod in excusationem sui profert Æschines, homini nullarum partium studioso satisfacit.

ὡρκίζομεν] *Phrynichus* p. 360. μᾶλλον διὰ τοῦ ο λέγε ὁρκοῦν, ἢ διὰ τοῦ ι ὁρκίζειν. Negari tamen non potest utramque formam apud optimos scriptores, et quidem utramque apud eosdem legi. Si varietas sit lectionis, ὁρκοῦν videtur præferendum, quod frequentius est quam ὁρκίζειν. ὁρκοῦν v. c. octies legitur apud Demosthenem, ὁρκίζειν ter: utriusque formæ loca dedit *Lobeckius*.

31. κλέμμα] κλέπτειν et quæ inde derivantur sæpe dicuntur de furtiva fraude et callidis mendaciis.

ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ πολεμεῖν] Si diversorum temporum particulæ sunt in eadem enuntiatione, interque eas particula præsentis temporis, verbum plerumque in tempore præsenti ponitur.

32. ἐπειδὴ γὰρ ὤμοσε τὴν εἰρήνην ὁ Φίλιππος, προλαβὼν τὴν Θρᾴκην διὰ τούτους οὐχὶ πεισθέντας τῷ ἐμῷ ψηφίσματι, πάλιν ὠνεῖται παρ' αὐτῶν, ὅπως μὴ ἀπίωσιν ἐκ Μακεδονίας, ἕως τὰ τῆς στρατείας τῆς ἐπὶ τοὺς Φωκέας εὐτρεπῆ ποιήσαιτο, ἵνα μή, δεῦρο ἀπαγγειλάντων αὐτῶν, ὅτι μέλλει καὶ παρασκευάζεται πορεύεσθαι, ἐξέλθοιτε ὑμεῖς, καὶ περιπλεύσαντες ταῖς τριήρεσιν εἰς Πύλας, ὥσπερ πρότερον, κλείσαιτε τὸν πορθμόν, ἀλλ' ἅμ' ἀκούοιτε ταῦτα ἀπαγγελλόντων ὑμῖν τούτων, κἀκεῖνος ἐντὸς εἴη Πυλῶν, καὶ μηδὲν ἔχοιθ' ὑμεῖς ποιῆσαι. 33, οὕτω δ' ἦν ὁ Φίλιππος ἐν φόβῳ καὶ πολλῇ ἀγωνίᾳ, μή, καὶ ταῦτα προειληφότος αὐτοῦ, εἰ πρὸ τοῦ τοὺς Φωκέας ἀπολέσθαι ψηφίσαισθε βοηθεῖν [αὐτοῖς], ἐκφύγοι τὰ πράγματ' αὐτόν, ὥστε μισθοῦται τὸν κατάπτυστον τουτονί, οὐκέτι κοινῇ μετὰ τῶν ἄλλων πρέσβεων, ἀλλ' ἰδίᾳ καθ' αὑτόν, τοιαῦτα πρὸς ὑμᾶς εἰπεῖν καὶ ἀπαγγεῖλαι, δι' ὧν ἅπαντ' ἀπώλετο. 34. ἀξιῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δέομαι τοῦτο μεμνῆσθαι ὑμᾶς παρ' ὅλον τὸν ἀγῶνα, ὅτι, μὴ κατηγο-

32. τοὺς ante οὐχὶ πεισθέντας cum codd. plurimis Bekk. omisit. Utrumque recte dici poterat. τούτους τοὺς οὐχὶ πεισθέντας si dicas, pro substantivo est τοὺς οὐχὶ πεισθέντας, inque eo positum est plus ponderis: sin omittas τούς, pondus illud est in τούτους, ita ut post parvulum temporis intervallum addi cogitandum sit ἐπεξηγητικὸν illud οὐχὶ πεισθέντας, ipsæ autem hæ voces intervallo illo aliquid nanciscantur ponderis, ita ut vehementior etiam ex Bekkeri lectione fiat oratio.

32. ὠνεῖται] Utrum pecunia, non decernam. Quanquam facile hoc fidem meretur. Nemo enim facilius pecunia corrumpi poterat quam Athenienses. Sed qui corrumpi forsitan non poterant pecunia, corrumpebantur humanitate Philippi, epulis, ludis et spectaculis, quibus eos fascinabat.

ὥσπερ πρότερον] Nempe Olymp. CVII. 1. Philippus Phocensibus bellum in eorum ipsorum regione inferre volebat. Instruebat igitur omnia, ut Thermopylas præoccuparet. Cujus rei nuntius quum Athenas perlatus esset, magnis impensis classem eo mittebant, quæ arceret regem transitu. Nempe inter montem Œtam et mare transitus erat Thermopylas. Hoc loco anchoras jecit Atheniensium classis. Qua celeritate Philippus a conatu deterritus in Macedoniam reversus est. Laudatur eadem expeditio in Philippica I. § 17. et de fals. leg. §. 84. *Diodor.* XVI. 36.

33. καὶ ταῦτα προειληφότος αὐτοῦ] ταῦτα, scil. ut belli apparatu perfecto cum exercitu intra Pylarum angustias veniret. Pertinent autem hæc non ad ψηφίσαισθε βοηθεῖν, sed ad ἐκφύγοι τὰ πράγματα. Quanquam enim Philippus præoccupaverat multa, non tamen eo credibile est Athenienses prohiberi potuisse, quominus succurrerent ac tutum præstarent, quantum possent. Dem. vero hoc significat, quamvis tantum anteverterit Philippus, timuisse tamen eum, ne Atheniensium interventu ab exsequendo consilio excluderetur. Hinc apparet, quam egregia sit lectio, quam ex Σ Bekk. restituit, ut εἰ insereretur ante πρὸ τοῦ, deleretur καὶ ante ἐκφύγοι, et ἀκούσαντες post ἀπολέσθαι. Præterea etiam hoc præstat ejus lectio, quod, cum membra πρὸ τοῦ—ψηφίσαισθε et ἐκφύγοι—αὐτὸν antea fuissent quasi ἐκ παραλλήλου posita, nunc per εἰ—βοηθεῖν præcedit causa, sequitur effectus per ἐκφύγοι—αὐτόν.—ἐκφεύγει με τὰ πράγματα, excido conatuum successu.

κατάπτυστον] Contumeliosum nomen, quo delectatur Demosthenes et summa aliquem infamia dignum notat.

*ῥήσαντος Αἰσχίνου μηδὲν ἔξω τῆς γραφῆς, οὐδ' ἂν ἐγὼ λόγον οὐδένα ἐποιούμην ἕτερον. ἁπάσαις δ' αἰτίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένου, ἀνάγκη κἀμοὶ πρὸς ἕκαστα τῶν κατηγορημένων μικρὰ ἀποκρίνασθαι.* 35. *τίνες οὖν ἦσαν οἱ παρὰ τούτου λόγοι τότε ῥηθέντες, καὶ δι' οὓς ἅπαντ' ἀπώλετο; ὡς οὐ δεῖ θορυβεῖσθαι τῷ παρεληλυθέναι Φίλιππον εἴσω Πυλῶν· ἔσται γὰρ ἅπανθ', ὅσα βούλεσθ' ὑμεῖς, ἐὰν ἄγηθ' ἡσυχίαν, καὶ ἀκούσεσθε δυοῖν ἢ τριῶν ἡμερῶν, οἷς μὲν ἐχθρὸς ἥκει, φίλον αὐτὸν γεγενημένον, οἷς δὲ φίλος, τοὐναντίον ἐχθρόν· οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν, μάλα σεμνῶς ὀνομάζων, ἀλλὰ τὸ ταὐτὰ συμφέρειν· συμφέρειν δὲ Φιλίππῳ καὶ Φωκεῦσι καὶ ὑμῖν ὁμοίως ἅπασι τῆς ἀναλγησίας καὶ τῆς βαρύτητος ἀπαλλαγῆναι τῆς τῶν Θηβαίων.* 36. *ταῦτα δ' ἀσμένως τινὲς ἤκουον αὐτοῦ διὰ τὴν τόθ' ὑποῦσαν ἀπέχθειαν πρὸς τοὺς Θηβαίους. τί οὖν συνέβη μετὰ ταῦτα εὐθύς, οὐκ εἰς μακράν; τοὺς μὲν ταλαιπώρους Φωκέας ἀπολέσθαι, καὶ κατασκαφῆναι τὰς πόλεις αὐτῶν, ὑμᾶς δ' ἡσυχίαν ἀγαγόντας καὶ τούτῳ πεισθέντας μικρὸν ὕστερον σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν, τοῦτον δὲ χρυσίον λαβεῖν,*

35. *θορυβεῖσθαι*] *θόρυβος* est tumultus e clamore ortus; tum etiam id quod isto tumultu in animis hominum excitatur. Hinc *θορυβεῖν* est *terrere*. Pollux recte synonymum facit cum *ἐκπλήττειν*.—*οὐ δεῖ θορυβεῖσθαι*, non oportet consternari, terrore percuti.

*ἡσυχίαν ἄγειν*] Cf. ad Isocratis Archid. § 39.

*δυοῖν ἢ τριῶν ἡμερῶν*] Genitivus temporis, indicans, intra quod spatium aliquid eventurum sit.

*οἷς μὲν—ἐχθρόν*] Qua in re verum prorsus pollicitus erat Æschines, quanquam sensu contrario, atque ipse putaverat, ut cum magna quadam acerbitate verba illa commemoraverit Demosthenes. —*οἷς μὲν ἐχθρὸς ἥκει*, Phocensibus scilicet, a quorum partibus tunc temporis Athenienses contra Thebanos stabant.—*οἷς δὲ φίλος*, Thebanis, quorum spiritus Philippum esse fracturum Æschines promittebat.

*οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας βεβαιοῦν*] Non enim ex verbis, ex iis, quæ quis dicat et profiteatur, familiaritates firmari; ex eo, quod quis amicitiam in ore gerat, non concludi posse eam etiam in pectore dominari.

*μάλα σεμνῶς*] multa cum gravitate, *with great gravity*.

*ἀναλγησίας*] *ἀνάλγητος* proprie est qui dolorem non sentit, qui dolore non tangitur; tum generalius videtur usurpari, qui omni sensu caret, et ratione ingenii *stupidus*, quo sensu imprimis *ἀναίσθητοι* dicuntur Thebani, et eorum *ἀναισθησία*, stupiditas, in proverbium abiit. *βαρύτης* sensu civili est *importunitas*, qua quis agresti ratione alios jubet ex suo arbitrio pendere et quasvis contumelias patienter ferre.

36. *ἀπέχθεια* non solum significat invidiam, inimicitiam, quam quis patitur, sed odium, quo alios ipse persequitur. *ὑποῦσαν* indicare videtur hoc odium clam magis quam palam locum habuisse.

*ἀπολέσθαι*] Hoc hyperbolice dictum. Nam Phalæcus, dux Phocensium, pactus est liberum cum suis copiis discessum. Hoc accidebat Ol. CVIII. 2. Expugnatæ tamen Phocensium urbes eversæque dicuntur vocabulo item hyperbolico Ol. CVIII. 3. Quum urbis dicitur eversa, plerumque intelligendum est muros esse dirutos et domus direptas.

*σκευαγωγεῖν*] Cuncta, quæ moveri possunt, ex agris in urbem transvehere:

*καὶ ἔτι πρὸς τούτοις τὴν μὲν ἀπέχθειαν τὴν πρὸς Θηβαίους καὶ Θετταλοὺς τῇ πόλει γενέσθαι, τὴν δὲ χάριν τὴν ὑπὲρ τῶν πεπραγμένων Φιλίππῳ.* 37. *ὅτι δ' οὕτω ταῦτ' ἔχει, λέγε μοι τό τε τοῦ Καλλισθένους ψήφισμα καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, ἐξ ὧν ἀμφοτέρων ταῦθ' ἅπανθ' ὑμῖν ἔσται φανερά. λέγε.*

## ΨΗΦΙΣΜΑ.

*"Ἐπὶ Μνησιφύλου ἄρχοντος, συγκλήτου ἐκκλησίας ὑπὸ στρατηγῶν γενομένης, καὶ πρυτάνεων καὶ βουλῆς γνώμῃ, Μαιμακτηριῶνος δεκάτῃ ἀπιόντος, Καλλισθένης Ἐτεονίκου Φαληρεὺς εἶπε μηδένα Ἀθηναίων μηδεμιᾷ παρευρέσει ἐν τῇ χώρᾳ κοιταῖον γίγνεσθαι, ἀλλ' ἐν ἄστει καὶ Πειραιεῖ, ὅσοι μὴ ἐν τοῖς φρουρίοις εἰσὶν ἀποτεταγμένοι· τούτων δ' ἑκάστους, ἣν παρέλαβον, τάξιν διατηρεῖν, μήτε ἀφημερεύοντας, μήτε ἀποκοιτοῦντας.* 38. *ὃς δ' ἂν ἀπειθήσῃ τῷδε τῷ ψηφίσματι, ἔνοχος ἔστω τοῖς τῆς προδοσίας ἐπιτιμίοις, ἐὰν μή τι ἀδύνατον ἐπιδεικνύῃ περὶ ἑαυτὸν ὄν. περὶ δὲ τοῦ ἀδυνάτου ἐπικρινέτω ὁ ἐπὶ τῶν ὅπλων στρατηγὸς καὶ ὁ ἐπὶ τῆς διοικήσεως καὶ ὁ γραμματεὺς τῆς βουλῆς. κατακομίζειν δὲ καὶ τὰ ἐκ τῶν ἀγρῶν πάντα τὴν ταχίστην, τὰ μὲν ἐντὸς σταδίων ἑκατὸν εἴκοσιν εἰς ἄστυ καὶ Πειραιᾶ, τὰ δὲ ἐκτὸς σταδίων ἑκατὸν*

quod erat metuentium, ne hosti repente irrumpenti resisti nullo modo posset. Hoc rhetorice ornavit Demades p. 489. Bekk. *ὡς δὲ πλησίον ἔστη (ὁ πολέμιος) τῆς Ἀττικῆς, ἡ χώρα δὲ εἰς τὴν πόλιν κατεκλείετο, καὶ τὸ περιμάχητον καὶ θαυμαζόμενον ὑπὸ πάντων ἄστυ βοῶν καὶ προβάτων ὥσπερ ἔπαυλις καὶ τῶν βοσκημάτων ἐπληροῦτο, βοηθείας δ' οὐδαμόθεν ἦν ἐλπίς, ἔγραψα τὴν εἰρήνην.*

37. *σύγκλητος ἐκκλησία*] *Harpocration: τῶν ἐκκλησιῶν αἱ μὲν ἐξ ἔθους καὶ κατὰ μῆνα ἐγίνοντο. εἰ δέ τι κατεπείξειεν, ὥστε γενέσθαι αὐτῇ, ἐκαλεῖτο σύγκλητος ἐκκλησία.* *Κατακλησία*, quam multi viri docti eandem habent cum *συγκλήτῳ ἐκκλησίᾳ*, id singulare habuit, quod ad eam etiam *οἱ ἐκ τῶν ἀγρῶν* evocabantur. [De hoc quoque decreto consule *Boeckh.* l. c. p. 136 sq. *Winiewski* p. 321 sqq.]

*Μαιμακτηριὼν* erat quartus mensis anni Attici, incipiens a 9. Octobris ad 7. Novembris. Athenienses mensem dividebant in tres decadas; primam appellabant *μηνὸς ἱσταμένου* vel *ἀρχομένου*; secundam *μεσοῦντος*; tertiam *λήγοντος* vel *ἀπιόντος*. Tertiæ decadis dies ab ultimo numerare incipiebant, ut *δευτέρα φθίνοντος* sit mensis dies 29, *δεκάτη φθίνοντος* 21. vel *πρώτη ἐπ' εἰκάδι*.

*κοιταῖος*, qui pernoctat, a *κοίτη*, lectus. —*χώρα*, agri, oppositum *ἄστει*, urbi.

*φρουρία* sunt præsidia, loca munita, in quibus sunt milites, qui locum custodiant.

*ἀφημερεύειν*, diem extra castella transigere; *ἀποκοιτεῖν*, extra castellum pernoctare.

38. *τοῖς τῆς προδοσίας ἐπιτιμίοις*] *Xenoph.* Hellen. I. 7, 23. legem habet, quomodo *προδότης* sit puniendus: *ἐάν τις ἢ πόλιν προδιδῷ ἢ τὰ ἱερὰ κλέπτῃ κριθέντα ἐν δικαστηρίῳ, ἂν καταγνωσθῇ, μὴ ταφῆναι ἐν τῇ Ἀττικῇ, τὰ δὲ χρήματα αὐτοῦ δημόσια εἶναι.*

*ὁ ἐπὶ τῆς διοικήσεως*] præfectus curæ pecuniarum publicarum. Quum ejus curæ demandata erant instrumenta bellica, is erat in consilio quod dici potest bellico. Vid. *Boeckh.* Staatshaush. d. Ath. T. I. p. 195.

εἴκοσιν εἰς Ἐλευσῖνα καὶ Φυλὴν καὶ Ἄφιδναν καὶ Ῥαμνοῦντα καὶ Σούνιον. εἶπε Καλλισθένης Φαληρεύς."

Ἆρ' ἐπὶ ταύταις ταῖς ἐλπίσιν ἐποιεῖσθε τὴν εἰρήνην, ἢ ταῦτ' ἐπηγγέλλεθ' ὑμῖν οὗτος ὁ μισθωτός;

39. Λέγε δὴ τὴν ἐπιστολήν, ἣν δεῦρ' ἔπεμψε Φίλιππος μετὰ ταῦτα.

## ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

"Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. Ἴστε ἡμᾶς παρεληλυθότας εἴσω Πυλῶν καὶ τὰ κατὰ τὴν Φωκίδα ὑφ' ἑαυτοὺς πεποιημένους, καὶ ὅσα μὲν ἑκουσίως προσετίθετο τῶν πολισμάτων, φρουρὰς εἰsαγηοχότας, τὰ δὲ μὴ ὑπακούοντα κατὰ κράτος λαβόντες καὶ ἐξανδραποδισάμενοι κατεσκάψαμεν. ἀκούων δὲ ὑμᾶς παρασκευάζεσθαι βοηθεῖν αὐτοῖς, γέγραφα ὑμῖν, ἵνα μὴ ἐπὶ πλεῖον ἐνοχλῆσθε περὶ τούτων· τοῖς μὲν γὰρ ὅλοις οὐδὲν μέτριόν μοι δοκεῖτε ποιεῖν, τὴν εἰρήνην συνθέμενοι καὶ ὁμοίως ἀντιπαρεξάγοντες, καὶ ταῦτα οὐδὲ συμπεριειλημμένων τῶν Φωκέων ἐν ταῖς κοιναῖς ἡμῶν συνθήκαις. ὥστε, ἐὰν μὴ ἐμμένητε τοῖς ὡμολογημένοις, οὐδὲν προτερήσετε ἔξω τοῦ ἐφθακέναι ἀδικοῦντες."

39. *ὁμοίως*] Necessarium pæne videtur, quod Marklandus conjecit, *ὅμως*. Vulgata si ferenda est, *ὁμοίως ἀντιπαρεξάγοντες* erit *directly drawing off yourselves against me.*

Ἄφιδνα, demus Atticus, Leontidis tribus, munitus, ut ex hoc loco apparet et aliis.

39. Ἐπιστολὴ Φιλίππου] Epistola hæc, etiam si a Philippo non esset scripta, egregie tamen ex ejus moribus est ficta. Vide enim, quæso, hominem, quum in Phocenses crudelissime grassatus esset, non id agentem, ut excusaret, nec vero inde minantem, quod tamen impune fecisset, sed sibi temperantem, aliisque commendantem eandem modestiam, quam ipse, si diis placet, tam præclare modo exhibuisset.

*ὑφ' ἑαυτούς*] hoc loco vicem gerit pronominis reflexivi primæ personæ. *Elmsley* aliique negarunt Atticos hoc pronomen ita usurpasse: ego vero cum *Hermanno* existimo initio poetarum licentia hoc pronomen omnibus personis tributum esse, inde etiam venisse in prosam, ut fere exquisita paullatim vulgaria fieri solent. Exempla dedit *Matthiæ* Gr. Gr. § 479. II.

*εἰsαγηοχότας*] Hac forma abstinuerunt scriptores Attici; sed quod in actis publicis reperiebatur (*καταγήοχεν* legitur infra p. 249. § 73. Bekk. in psephismate), vulgus jam bonis temporibus eam adhibuit; dein etiam in scripturam migravit; *Lobeck* ad Phryn. p. 121. Conf. *Buttmann* Lexilog. T. I. p. 296 sq.

*κατεσκάψαμεν*] In hac epistola Philippus ipse rem auget, ut terrorem incutiat Atheniensibus.

*ἐπὶ πλεῖον*] Locutio præsertim Thucydidi usitata, *plus quam opus sit*. Sæpissime confunditur cum *ἔτι πλεῖον*.

*τοῖς ὅλοις*, omni vestra agendi ratione.

*ὁμοίως*] *nihilo minus*. Vid. *Wolf.* ad Demosth. Leptin. p. 337.

*μέτριον*, sobrium, *reasonable*.

*οὐδὲν προτερεῖν*, nil lucrari.—*φθάνουσιν ἀδικοῦντες*, i. q. *πρῶτοι ἀδικοῦσι*, injuste agendi exemplo præeunt.

40. Ἀκούετε, ὡς σαφῶς δηλοῖ καὶ διορίζεται ἐν τῇ πρὸς ὑμᾶς ἐπιστολῇ, πρὸς τοὺς ἑαυτοῦ συμμάχους, ὅτι "ταῦτα ἐγὼ πεποίηκα ἀκόντων Ἀθηναίων καὶ λυπουμένων, ὥστ᾽, εἴπερ εὖ φρονεῖτε, ὦ Θηβαῖοι καὶ Θετταλοί, τούτους μὲν ἐχθροὺς ὑπολήψεσθε, ἐμοὶ δὲ πιστεύσετε·" οὐ τούτοις τοῖς ῥήμασι γράψας, ταῦτα δὲ βουλόμενος δεικνύναι. τοιγαροῦν ἐκ τούτων ᾤχετο ἐκείνους λαβὼν εἰς τὸ μηδοτιοῦν τῶν μετὰ ταῦτα προορᾶν μηδ᾽ αἰσθάνεσθαι, ἀλλ᾽ ἐᾶσαι πάντα τὰ πράγματα ἐκεῖνον ὑφ᾽ ἑαυτῷ ποιήσασθαι. ἐξ ὧν ταῖς παρούσαις συμφοραῖς οἱ ταλαίπωροι Θηβαῖοι κέχρηνται. 41. ὁ δὲ ταύτης τῆς πίστεως αὐτῷ συνεργὸς καὶ συναγωνιστὴς καὶ ὁ δεῦρ᾽ ἀπαγγείλας τὰ ψευδῆ καὶ φενακίσας ὑμᾶς οὗτός ἐστιν ὁ τὰ Θηβαίων νῦν ὀδυρόμενος πάθη καὶ διεξιὼν ὡς οἰκτρά, καὶ τούτων καὶ τῶν ἐν Φωκεῦσι κακῶν καὶ ὅσ᾽ ἄλλα πεπόνθασιν οἱ Ἕλληνες ἁπάντων αὐτὸς ὢν αἴτιος. δῆλον γάρ, ὅτι σὺ μὲν ἀλγεῖς ἐπὶ τοῖς συμβεβηκόσιν, Αἰσχίνη, καὶ τοὺς Θηβαίους ἐλεεῖς, κτήματα ἔχων ἐν τῇ Βοιωτίᾳ καὶ γεωργῶν τὰ ἐκείνων, ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐξητούμην ὑπὸ τοῦ ταῦτα πράξαντος.

42. Ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους, οὓς αὐτίκα μᾶλλον ἴσως ἁρμόσει λέγειν. ἐπάνειμι δὴ πάλιν ἐπὶ τὰς ἀποδείξεις, ὡς τὰ τούτων δωροδοκήματα καὶ ἀδικήματα τῶν νυνὶ παρόντων πραγμάτων γέγονεν αἴτια.

Ἐπειδὴ γὰρ ἐξηπάτησθε μὲν ὑμεῖς ὑπὸ τοῦ Φιλίππου διὰ τούτων τῶν ἐν ταῖς πρεσβείαις μισθωσάντων ἑαυτοὺς καὶ οὐδὲν ἀληθὲς ὑμῖν ἀπαγγειλάντων, ἐξηπάτηντο δὲ οἱ ταλαίπωροι

42. [*δωροδοκήματα καὶ ἀδικ.*] Verba *δωροδοκ. καί*, quæ varie sedem suam mutant in libris scriptis, omisit Bekker. V. C. F. R.]

40. [*ᾤχετο ἐκείνους λαβὼν εἰς τὸ— αἰσθάνεσθαι*] animos illorum rapuit, ita ut nihil eorum, quæ posthac agebantur, sentirent. V. C. F. R.]

*ταῖς παρούσαις συμφοραῖς*] Proprie hic sermo est de ratione, qua Thebanos Philippus post pugnam Chæronensem tractaret. Supra jam monui hos cum multo durius tractasse quam Athenienses. Non tamen eorum urbem vastavit; sed quo tempore hæc oratio habebatur, per Alexandrum erat eversa.

41. *φενακίζειν*, tropice *decipere*. Proprie de eo dicitur, qui habet *φενάκην πηνίκην*, additicias comas. Qui enim viri falsas comas gestabant pro fraudulatoribus habebantur.

*κτήματα ἔχων ἐν τῇ Βοιωτίᾳ*] Quæ tanquam præmium proditionis acceperat.

*περιείργασμαι*] *περίεργος* dicitur is, qui rem vanam et inutilem tractat quasi gravem et salubrem. Hinc jungitur interdum cum *ἄτοπος* ut synonymum. Perfectum *εἴργασμαι* et composita apud Atticos plerumque habent significationem activam; passiva tamen non prorsus ab iis rejecta est.

73. *τὰ πλοῖα λαβών*] Intelliguntur naves, quæ Leodamante Navarcho in Hellespontum ab Atheniensibus missæ erant, ut inde triticum in Lemnum deferrent. Hoc incidit in Ol. CIX. 4., quo anno Nicomachus erat archon eponymus. Ergo Neocles, cujus mentio fit in eo quod sequitur psephismate, erat hoc anno archon pseudeponymus. Conf. *Excurs.* II. [Vid. *Böckh.* de Arch. Pseudep. p. 138 s.]

*Βοηδρομιῶνος*] *Βοηδρομιὼν* incipit a 10. Septembris et pertinet ad 9. Octobris.

*ἐκκλησία σύγκλητος*] est concio extraordinaria, non inter eas, quæ cuivis prytaniæ lege definitæ erant, quarum erant quattuor. *Valckenaerius* ad Ammonium Animadvv. p. 72. monet *σύγκλητον ἐκκλησίαν* et *κατακλησίαν* id habuisse commune, quod utraque extra consuetum ordinem et in rebus gravioribus convocata sit; id privum habuisse *κατακλησίαν*, quod etiam ad eam præter Athenarum incolas *οἱ ἐκ τῶν ἀγρῶν* evocati cogerentur.

*συγκλήτου ὑπὸ στρατηγῶν συναχθείσης, Εὔβουλος Μνησιθέου Κύπριος εἶπεν, ἐπειδὴ προσήγγειλαν οἱ στρατηγοὶ ἐν τῇ ἐκκλησίᾳ, ὡς ἄρα Λεωδάμαντα τὸν ναύαρχον καὶ τὰ μετ' αὐτοῦ ἀποσταλέντα σκάφη εἴκοσιν ἐπὶ τὴν τοῦ σίτου παραπομπὴν εἰς Ἑλλήσποντον ὁ παρὰ Φιλίππου στρατηγὸς Ἀμύντας καταγήοχεν εἰς Μακεδονίαν καὶ ἐν φυλακῇ ἔχει, ἐπιμεληθῆναι τοὺς πρυτάνεις καὶ τοὺς στρατηγούς,* 74. *ὅπως ἡ βουλὴ συναχθῶσι, καὶ αἱρεθῶσι πρέσβεις πρὸς Φίλιππον, οἵτινες παραγενόμενοι διαλέξονται πρὸς αὐτὸν περὶ τοῦ ἀφεθῆναι τόν τε ναύαρχον καὶ τὰ πλοῖα καὶ τοὺς στρατιώτας. καὶ εἰ μὲν δι' ἄγνοιαν ταῦτα πεποίηκεν ὁ Ἀμύντας, ὅτι οὐ μεμψιμοιρεῖ ὁ δῆμος οὐδὲν αὐτῷ· εἰ δέ τι*

quod interpretationis gratia non potuit substitui pro *συναχθείσης*, quippe quod interpretatione ipsum non indigeat, apparet et *συναχθείσης* et *γενομένης* esse spurium adjectumque ab aliquo, qui non videret verba *ὑπὸ στρατηγῶν* pendere a *συγκλήτου*.— In eodem psephismate in verbis *εἰ δὲ μηδέτερον τούτων ἔστιν, ἀλλ' ἰδίᾳ ἀγνωμονοῦσιν ἢ ὁ ἀποστείλας ἢ ὁ ἀπεσταλμένος, καὶ τοῦτο γ ρ ά ψ α ι λέγειν, ἵνα κ. τ. λ.*, vocabulum *γράψαι* quod summam parit difficultatem neque a quoquam interpretum explicatum est, damnatur a plurimis optimisque testibus. Et recte quidem, modo intelligas *λέγειν* neque ad populum, nec ad senatum, nec ad legatos referendum, sed ad Philippum, ita ut hoc (*τὸν Φίλιππον*) *λέγειν* pendeat ab *ἐροῦσι* (sensu jubendi), quod ex *διαλεξόνται* ad unamquamque enuntiationem hypotheticam subintelligendum est, hoc sensu: *si quam ob rem privatam infensi sunt ἢ ὁ ἀποστ. ἢ ὁ ἀπεστ., ut legati regem etiam hoc indicare jubeant, qua cognita re populus deliberet* cett. Illatum *γράψαι* videtur ab eo, qui infinitivum *λέγειν* ad legatos referens pendere putavit ab *Εὔβουλος εἶπεν*, falsoque hanc sibi finxit sententiam: *Eubulus dixit—oportere legatos* JUBERE *Philippum scribere ad Athenienses, si quam ob rem* cett.

*ὑπὸ στρατηγῶν*] Strategi, qui in urbe remanserant Athenis, jus habebant extraordinarias populi conciones habendi, de rebus imprimis, quæ ad rem militarem bellique usus pertinebant.

*Εὔβουλος . . . Κύπριος* probe distinguendus ab Eubulo Anaphlystio, celebri illo oratore, cujus jam sæpius erat mentio. Num *Κύπριος* corruptum sit, et ejus loco nomen certum *δημότου* v. c. *Κυθήριος* (*Κύθηρον* erat *δῆμος φυλῆς Πανδιονίδος*) ex conjectura Valesii restituendum sit, non decernam. [Hanc unice probat *F. A. Wolfius* ad Or. Leptin. p. 245.]

*Λεωδάμαντα*] Num hic Leodamas navarchus idem sit cum oratore Leodamante, discipulo Isocratis, qui Æschinis judicio erat *οὐχ ἧττον Δημοσθένους λέγειν δυνάμενος*, nescio. In re ipsa nihil est, quod impediat. Eo minus certi quid statui potest, quod idem in epistola, quæ sequitur, Philippi appelletur *Λαομέδων*, nisi hoc sit ex librariorum corruptione. [*Λαομέδων* scriptum apud Liban. Vol. IV. p. 299. 19.]

*τὴν τοῦ σίτου παραπομπήν*] Quum *παραπέμπειν* proprium sit de iis, qui aliquem deducunt seu comitantur præsidii causa, inprimis naves frumentarias *παραπομπὴ τοῦ σίτου* hic videtur esse deductio frumentariarum navium, quæ Leodamanti erat mandata per viginti triremes, ita ut per *πλοῖα* hic triremes intelligendæ sint.

*καταγήοχεν*] Hanc perfecti formam improbant Grammaticorum antiquorum optimi, ut *Phrynichus* p. 121, nec Atticis scriptoribus eam usitatam fuisse monet *Lobeck*. Sed quod in actis publicis invenitur, id argumento est jam bonis temporibus vulgum illiteratorum ita locutum esse, unde ad posteritatem transmissum est vitium, quæ posteritas in longiore forma *ἀγήοχα* pro *ἦχα* elegantiam agnovit.

74. *μεμψιμοιρεῖ*] Etiam hoc verbum per acta publica demum videtur in scriptorum sermonem transiisse. Adjectivum *μεμψίμοιρος* jam bonæ ætatis est de eo, qui de sorte sua queritur. *μεμψιμοιρεῖν* plerumque addito dativo est *aliquem increpare, alicui crimini vertere.*

πλημμελοῦντα παρὰ τὰ ἐπεσταλμένα λαβών, ὅτι ἐπισκεψάμενοι Ἀθηναῖοι ἐπιτιμήσουσι κατὰ τὴν τῆς ὀλιγωρίας ἀξίαν. εἰ δὲ μηδέτερον τούτων ἔστιν, ἀλλ' ἰδίᾳ ἀγνωμονοῦσιν ἢ ὁ ἀποστείλας ἢ ὁ ἀπεσταλμένος, καὶ τοῦτο γράψαι λέγειν, ἵνα αἰσθανόμενος ὁ δῆμος βουλεύσηται, τί δεῖ ποιεῖν."

75. Τοῦτο μὲν τοίνυν τὸ ψήφισμα Εὔβουλος ἔγραψεν, οὐκ ἐγώ, τὸ δ' ἐφεξῆς Ἀριστοφῶν, εἶθ' Ἡγήσιππος, εἶτ' Ἀριστοφῶν πάλιν, εἶτα Φιλοκράτης, εἶτα Κηφισοφῶν, εἶτα πάντες οἱ ἄλλοι· ἐγὼ δ' οὐδὲν περὶ τούτων. λέγε τὸ ψήφισμα.

## ΨΗΦΙΣΜΑ.

"Ἐπὶ Νεοκλέους ἄρχοντος, Βοηδρομιῶνος ἕνῃ καὶ νέᾳ, βουλῆς γνώμῃ, πρυτάνεις καὶ στρατηγοὶ ἐχρημάτισαν τὰ ἐκ τῆς ἐκκλησίας ἀνενεγκόντες, ὅτι ἔδοξε τῷ δήμῳ πρέσβεις ἑλέσθαι πρὸς Φίλιππον περὶ τῆς τῶν πλοίων ἀνακομιδῆς, καὶ ἐντολὰς δοῦναι καὶ τὰ ἐκ τῆς ἐκκλησίας ψηφίσματα. καὶ εἵλοντο τούσδε, Κηφισοφῶντα Κλέωνος Ἀναφλύστιον, Δημόκριτον Δημοφῶντος Ἀναγυράσιον, Πολύκριτον Ἀπημάντου Κοθωκίδην. πρυτανείᾳ φυλῆς Ἱπποθοωντίδος Ἀριστοφῶν Κολυττεὺς πρόεδρος εἶπεν."

*πλημμελοῦντα*] sc. *Λεωδάμαντα*. Sensus est: Si Amyntas Leodamantem navesque ceperit, quod dux contra populi mandata aliquid deliquerit, promittere Athenienses se Leodamantem in judicium vocaturos et justas ab eo pœnas exacturos.

*ἀγνωμονεῖν* sensu civili dicitur is, qui pravo consilio, mala fide agit.

75. *χρηματίζειν* verbum est proprium de ratione senatus res ad populam referendi. Nempe primum erat in senatu *προβούλευμα*, consultum, concipiendum, tum id ad populum proponendum, ejusque ratio reddenda, ut tanto melius cives causam cognoscerent. Tum præses (*ἐπιστάτης*) cuique volenti secundum leges dicendi copiam faciebat. Quum perorassent qui volebant, rogabat, quid populus censeret. Quum nemo vetaret, ne concio in suffragia mitteretur, epistates ejus rei copiam faciebat.

*ἀνακομιδή*] *ἀνακομίζεσθαι*, quæ quis jam possedit, sed amisit, iterum sibi acquirere, recuperare. Hinc *ἀνακομιδή*, recuperatio.

*πρυτανεία* est decima pars anni, tempus illud, per quod singulæ tribus præsidebant senatui et populi concioni. Distributis 354. diebus anni vulgaris lunaris singulis prytaniis contingunt dies 35, residuis quattuor, qui num per sortem divisi aut qua ratione, dubium est.

*πρόεδρος*] Proedri erant deni e prytanibus tribus *πρυτανευούσης*, ad septenos dies sorte creati, erantque per hos dies totius senatus principes et præsides, unde nomen habebant. Ex nostro autem loco patet etiam alios fuisse *προέδρους* quam *φυλῆς πρυτανευούσης*. Nam *πρόεδρος Ἀριστοφῶν* dicitur *Κολυττεύς*, tribus autem *πρυτανεύουσα Ἱπποθοωντίς*. *Κόλυττος* autem demus est tribus *Αἰγηΐδος*. Recte autem statuuntur præter proedros tribus *πρυτανευούσης* etiam alii e reliquarum novem tribuum prytaniam eo tempore non gerentium senatoribus, sorte creati a Prytanum epistata, quoties aut senatus aut populus convocandus erat. Eorum erant novem, singuli e singulis tribubus non *πρυτανευούσαις* ad singulos dies, quibus aut senatus aut comitia haberentur, creati. Quænam fuerint illorum munera, vix certo definiri potest. Hic Aristophon *πρόεδρος* videtur publica auctoritate hoc psephisma subscripsisse.

76. Ὥσπερ τοίνυν ἐγὼ ταῦτα δεικνύω τὰ ψηφίσματα, οὕτω καὶ σὺ δεῖξον, Αἰσχίνη, ποῖον ἐγὼ γράψας ψήφισμα αἴτιός εἰμι τοῦ πολέμου. ἀλλ' οὐκ ἂν ἔχοις· εἰ γὰρ εἶχες, οὐδὲν ἂν αὐτοῦ πρότερον νυνὶ παρέσχου. καὶ μὴν οὐδ' ὁ Φίλιππος οὐδὲν αἰτιᾶταί με ὑπὲρ τοῦ πολέμου, ἑτέροις ἐγκαλῶν. λέγε δ' αὐτὴν τὴν ἐπιστολὴν τοῦ Φιλίππου.

## ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

77. "Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναιων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. παραγενόμενοι πρὸς ἐμὲ οἱ παρ' ὑμῶν πρεσβευταί, Κηφισοφῶν καὶ Δημόκριτος καὶ Πολύκριτος, διελέγοντο περὶ τῆς τῶν πλοίων ἀφέσεως, ὧν ἐναυάρχει Λαομέδων. καθόλου μὲν οὖν ἔμοιγε φαίνεσθε ἐν μεγάλῃ εὐηθείᾳ ἔσεσθαι, εἰ οἴεσθ' ἐμὲ λανθάνειν, ὅτι ἐξαπεστάλη ταῦτα τὰ πλοῖα, πρόφασιν μέν, ὡς τὸν σῖτον παραπέμψοντα ἐκ τοῦ Ἑλλησπόντου εἰς Λῆμνον, βοηθήσοντα δὲ Σηλυμβριανοῖς, τοῖς ὑπ' ἐμοῦ μὲν πολιορκουμένοις, οὐ συμπεριειλημμένοις δὲ ἐν ταῖς τῆς φιλίας κοινῇ κειμέναις ἡμῖν συνθήκαις. 78. καὶ ταῦτα συνετάχθη τῷ ναυάρχῳ ἄνευ μὲν τοῦ δήμου τῶν Ἀθηναίων, ὑπὸ δέ τινων ἀρχόντων καὶ ἑτέρων, ἰδιωτῶν μὲν νῦν ὄντων, ἐκ παντὸς δὲ τρόπου βουλομένων τὸν δῆμον ἀντὶ τῆς νῦν ὑπαρχούσης πρὸς ἐμὲ φιλίας τὸν πόλεμον ἀναλαβεῖν, πολλῷ μᾶλλον φιλοτιμουμένων τοῦτο συντετελέσθαι ἢ τοῖς Σηλυμβριανοῖς βοηθῆσαι. καὶ ὑπολαμβάνουσιν αὐτοῖς τὸ τοιοῦτο πρόσοδον ἔσεσθαι. οὐ μέντοι μοι δοκεῖ τοῦτο χρήσιμον ὑπάρχειν οὔθ' ὑμῖν οὔτ' ἐμοί. διόπερ τά τε νῦν καταχθέντα πλοῖα πρὸς ἡμᾶς ἀφίημι ὑμῖν, καὶ τοῦ λοιποῦ, ἐὰν βούλησθε μὴ

76. *νυνὶ παρέσχου*] Fuerunt Grammatici, qui contenderent, *νυνὶ* nonnisi cum tempore præsenti construi posse, *νῦν* autem omnium esse temporum. Id quidem verum est, *νυνὶ* tempus præsens fortius exprimere quam *νῦν*. Verum toties etiam præterito vel futuro tempori additum invenimus, ut accuratus criticus eam conjunctionem repudiare non possit, eamque conjunctionem etiam agnovit *Lobeck.* ad Phryn. p. 19. *νυνὶ ποιήσω, I am just now going to do it; νυνὶ ἐποίησα, I have just now done it.*

77. *πρόφασιν*] Sæpe hic accusativus absolutus ponitur, *sub prætextu*.

*Σηλυμβριανοῖς*] *Σηλυμβρία*, urbs Thraciæ, quæ a Strabone *Σηλυβρία* dicitur. Nomen nempe *ἀπὸ Σήλυος*, qui eam condidit. *Βρία* autem lingua Thracum idem significabat, quod Græcis *πόλις*. Dicitur Megarensium colonia fuisse. [*Strabo* VII. p. 319.] Hæc urbs videtur a Philippo obsessa fuisse Ol. CIX. 4. vel CX. 1.

78. *ἄνευ μὲν τοῦ δήμου τοῦ Ἀθηναίων*] *ἄνευ* est *clam*, aut vero *injussu*, cujus significationis exempla vide apud *Goeller.* ad Thucyd. 1, 129.

*τοῦ λοιποῦ* differt a *τὸ λοιπὸν*, ut *τὸ λοιπὸν* continuum et perpetuum tempus significet, *τοῦ λοιποῦ* repetitionem ejusdem facti reliquo tempore, quoties occasio se obtulerit.

ἐπιτρέπειν τοῖς προεστηκόσιν ὑμῶν κακοήθως πολιτεύεσθαι, ἀλλ' ἐπιτιμᾶτε, πειράσομαι κἀγὼ διαφυλάττειν τὴν εἰρήνην. εὐτυχεῖτε."

79. Ἐνταῦθ' οὐδαμοῦ Δημοσθένη γέγραφεν, οὐδ' αἰτίαν οὐδεμίαν κατ' ἐμοῦ. τί ποτ' οὖν τοῖς ἄλλοις ἐγκαλῶν τῶν ἐμοὶ πεπραγμένων οὐχὶ μέμνηται; ὅτι τῶν ἀδικημάτων ἂν ἐμέμνητο τῶν ἑαυτοῦ, εἴ τι περὶ ἐμοῦ γέγραφε· τούτων γὰρ εἰχόμην ἐγώ, καὶ τούτοις ἠναντιούμην. καὶ πρῶτον μὲν τὴν εἰς Πελοπόννησον πρεσβείαν ἔγραψα, ὅτε πρῶτον ἐκεῖνος εἰς Πελοπόννησον παρεδύετο, εἶτα τὴν εἰς Εὔβοιαν, ἡνίκ' Εὐβοίας ἥπτετο, εἶτα τὴν ἐπ' Ὠρεὸν ἔξοδον, οὐκέτι πρεσβείαν, καὶ τὴν εἰς Ἐρέτριαν, ἐπειδὴ τυράννους ἐκεῖνος ἐν ταύταις ταῖς πόλεσι κατέστησε. 80. μετὰ ταῦτα δὲ τοὺς ἀποστόλους ἅπαντας ἀπέστειλα, καθ' οὓς Χεῤῥόνησος ἐσώθη καὶ Βυζάντιον καὶ πάντες οἱ σύμμαχοι. ἐξ ὧν ὑμῖν μὲν τὰ κάλλιστα, ἔπαινοι, δόξαι, τιμαί, στέφανοι, χάριτες, παρὰ τῶν εὖ πεπονθότων ὑπῆρχον, τῶν δ' ἀδικουμένων τοῖς μὲν ὑμῖν τότε πεισθεῖσιν ἡ σωτηρία περιεγένετο, τοῖς δ' ὀλιγωρήσασι τὸ πολλάκις, ὧν ὑμεῖς προείπατε μεμνῆσθαι, καὶ νομίζειν ὑμᾶς μὴ μόνον εὔνους ἑαυτοῖς, ἀλλὰ καὶ φρονίμους ἀνθρώπους καὶ μάντεις εἶναι·

79. γέγραφε] aut ἔγραφεν cum Bekkero, aut ἐγεγράφει scribendum videtur.

79. ἐνταῦθ' οὐδαμοῦ cet.] Quod Philippus Demosthenem nominatim non appellaverit in ea epistola, qua de Atheniensium nonnullorum consiliis sibi inimicis conquestus est, Demosthenes concludere vult a Philippo saltem inimicitiarum culpam in se non conferri. At vide, ne nimium orator hoc argumento efficere voluerit. Nam neque aliorum nomina Philippus, qui sibi Athenis adversarentur, indicavit, et epistola ejus tota est ejusmodi, ut non sine irrisione aliqua et contemtu Athenienses omnium nimirum hominum sapientissimos de vera ipsorum reipublicæ ratione edoceat ideoque satis habeat istorum τινῶν ἀρχόντων καὶ ἑτέρων ἰδιωτῶν strictim injicere mentionem, quorum nomina noli putare τὸν αὐτοκράτορα verecundia quadam scribere noluisse, sed prætermisisse tanquam rem tanto rege indignam.

τούτων γὰρ εἰχόμην] ἔχεσθαί τινος, ex re aliqua pendere, alicui rei insistere. Notio determinatur per sequens ἠναντιούμην.

εἰς Πελοπόννησον παρεδύετο] Hyperbolice hoc dictum esse nec de invasione Peloponnesi intelligendum, quod ipse Demosthenes Philipp. III. p. 123. dicit ἐποιήσαμεν ἐπισχεῖν ἐκεῖνον—μήτ' ἐς Πελοπόννησον ὁρμῆσαι. Atque id ipsum hic videtur Demosthenes significare per verbum παρεδύετο, in quo inest notio clandestinæ et callidæ insinuationis. Nempe Philippus factiones in singulis Peloponnesi partibus habebat et Lacedæmoniorum potentiam admodum deminuebat. Et sic Demosthenis hic verba intelligenda.

Εὔβοιαν] Nempe quum Eubœa discordiis laceraretur, Philippus optimatium factioni suppetias tulit, et Orei Philistidem, Eretriæ Clitarchum instituit. Cf. supra p. 218. cum annotationibus.

80. ἀπόστολοι sunt classes, quæ aliquo mittuntur; ἀποστολεῖς sunt earum præfecti.

μάντεις, qui probe attendentes ad connexionem rerum earumque causas et effectus, futura cum fiducia prædicere possunt.

*πάντα γὰρ ἐκβέβηκεν ἃ προείπατε αὐτοῖς.* 81. *καὶ μὴν ὅτι πολλὰ μὲν ἂν χρήματα ἔδωκε Φιλιστίδης, ὥστ' ἔχειν Ὠρεόν, πολλὰ δὲ Κλείταρχος, ὥστ' ἔχειν Ἐρέτριαν, πολλὰ δ' αὐτὸς ὁ Φίλιππος, ὥστε ταῦθ' ὑπάρχειν ἐφ' ὑμᾶς αὐτῷ καὶ περὶ τῶν ἄλλων μηδὲν ἐξελέγχεσθαι, μηδ' ἃ ποιῶν ἠδίκει μηδένα ἐξετάζειν πανταχοῦ, οὐδεὶς ἀγνοεῖ, καὶ πάντων ἥκιστα σύ.* 82. *οἱ γὰρ παρὰ τοῦ Κλειτάρχου καὶ τοῦ Φιλιστίδου τότε πρέσβεις δεῦρ' ἀφικνούμενοι παρὰ σοὶ κατέλυον, Αἰσχίνη, καὶ σὺ προὐξένεις αὐτῶν· οὓς ἡ μὲν πόλις ὡς ἐχθροὺς καὶ οὔτε δίκαια οὔτε συμφέροντα λέγοντας ἀπήλασε, σοὶ δ' ἦσαν φίλοι. οὐ τοίνυν ἐπράχθη τούτων οὐδέν, ὦ βλασφημῶν περὶ ἐμοῦ καὶ λέγων, ὡς σιωπῶ μὲν λαβών, βοῶ δ' ἀναλώσας. ἀλλ' οὐ σύ γε, ἀλλὰ βοᾷς μὲν ἔχων, παύσῃ δὲ οὐδέποτ', ἐὰν μή σε οὗτοι παύσωσιν ἀτιμώσαντες τήμερον.* 83. *στεφανωσάντων τοίνυν ὑμῶν ἐμὲ ἐπὶ τούτοις τότε, καὶ γράψαντος Ἀριστονίκου τὰς αὐτὰς συλλαβάς, ὥσπερ οὑτοσὶ Κτησιφῶν νῦν γέγραφε, καὶ ἀναῤῥηθέντος ἐν τῷ θεάτρῳ τοῦ στεφάνου, καὶ δευτέρου κηρύγματος ἤδη μοι τούτου γιγνομένου, οὔτ' ἀντεῖπεν Αἰσχίνης*

*ἐκβαίνειν*] sæpe dicitur de eventu, rerum exitu.

81. *πολλὰ μὲν—πολλὰ δὲ—πολλὰ δ'*] Hæc est ea figura, quam rhetores *ἐπαναφοράν*, epanaphoram, appellant. De ea sic scribit *Aquila* Romanus de figuris sententiarum et elocutionis n. 34. "Hac figura frequentissime et Demosthenes et M. Tullius et omnes vehementes oratores utuntur, quando præcipue et ipsi commoti videri volunt et judicem commovere. Constat autem ex eo, quod eadem pars orationis sæpius per singulos ambitus, aut per singula membra, interdum etiam brevius per cæsa, quæ *κόμματα* appellant, repetitur." Nostrum locum ut exemplum hujus figuræ laudat *Tiberius* rhetor Περὶ Σχημάτων p. 50.

*ἐφ' ὑμᾶς*] *contra vos.* Nempe tyrannos, ipsi addictos, instituebat Philippus, ut in obsidione teneret Athenienses.

*ἐξελέγχεσθαι*, quod librarii sæpissime in simplex *ἐλέγχεσθαι* corruperunt, significat *per accuratum examen convinci.*

82. *παρὰ σοὶ κατέλυον*] Quanquam *Mœris* p. 241. dicat *κατάγεσθαι* Ἀττικὸν esse, *καταλύειν* Ἑλληνικόν, tamen etiam *καταλύειν* eodem sensu *devertendi* apud probos Atticos dicitur. Num vero substantivum *κατάλυμα* Atticis usitatum fuerit, dubito; sed antiqui pro eo usurpant *καταγώγιον*. Apud posteriores autem *κατάλυμα* frequentius est quam *καταγώγιον*.

*προὐξένεις*] Scholiastes Aristophanis Ran. 1022. *προξένους ἐκάλουν τοὺς τεταγμένους εἰς τὸ ὑποδέχεσθαι τοὺς ξένους τοὺς ἐξ ἄλλων πόλεων ἥκοντας.* Hinc *προξενεῖν* cum gen. *hospites excipere.*

*σοὶ δ' ἦσαν φίλοι*] Ex antecedente *οὓς* assumendum *οἷ.* Non solent enim repetere pronomen relativum, etiamsi constructio alium ejus casum postulet. Vide *Rost.* Gr. § 123. annot. 6.

83. *Ἀριστονίκου*] In hujus laudem infra narrat p. 329. Demosthenes eum, jure dicendi et honorum petendorum spoliatum, quum ab amicis pecuniæ summam collegisset ad recuperandam *ἐπιτιμίαν*, post cladem Chæronensem pecuniam illam maluisse conferre ad salutem patriæ quam ad recuperationem sui honoris.

*δευτέρου κηρύγματος ἤδη μοι τούτου γιγνομένου*] *Taylorus* *δευτέρου κηρύγματος τούτου* ad Aristonici *ψήφισμα* redire arbitratus est, quum in annotatione ad hunc locum, tum in præfatione p. 15 sqq. apud *Harlesium* ed. II., cui opinioni primo adspectu propter rationem grammaticam potueris favere, quum præsertim *Pseudo-*

παρὼν οὔτε τὸν εἰπόντα ἐγράψατο. καί μοι λέγε καὶ τοῦτο τὸ ψήφισμα λαβών. λέγε.

*plutarchus* in decem oratt. vitis tom XII. p. 263. ed Hutten. [T. II. p. 846. A. ed. Frcfrt.] dicat: *πολλάκις ἐστεφανώθη (ὁ Δημοσθένης), πρότερον μὲν ὑπὸ Δημοτελοῦς (Δημομελοῦς.* codd. Vid. infra, p. 302], *Ἀριστονείκου, Ὑπερείδου χρυσῷ στεφάνῳ, τελευταῖον δὲ ὑπὸ Κτησιφῶντος,* unde colligas *primi περὶ στεφανώσεως* decreti auctorem fuisse Demotelem, Aristonicum *secundi.* Est etiam, quod contemnenda ducas ea, quæ in ejusdem de Demosthenis vita scriptione extrema habentur verba p. 269. [T. II. p. 848. C.] *πρῶτος δ' ἔγραψε στεφανωθῆναι αὐτὸν χρυσῷ στεφάνῳ Ἀριστόνικος Νικοφάνους Ἀναγυράσιος, ὑπωμόσατο δὲ Διώνδας.* Hæc enim lacinia manifesto deprehenditur ab alius cujusdam Pseudoplutarchum nostrum ingenii laude non superantis manu correctionis causa esse adsuta, quum ex loco, quem obtinet ineptissime in libello extremo, tum ob novum errorem duplicem, quorum alter de Aristonico Anagyrasio (quum fuisset Phrearrhius) indicatus jam est a Tayloro, alter continetur eo, quod Diondas Aristonicum postulasse dicitur, quum postulasset Diomelem et Hyperidem. Nihilominus tamen Taylori sententia e vitarum scriptoris loco prius allato defendi non potest. Uterque enim locus e Demosthene manavit pessime intellecto. Hic enim in oratione nostra p. 302. § 223. *ταυτὶ τὰ ψηφίσματ', ὦ ἄνδρες Ἀ.*—Demomelis et Hyperidæ—*τὰς αὐτὰς συλλαβὰς καὶ ταὐτὰ ῥήματ' ἔχει, ἅπερ πρότερον μὲν Ἀριστόνικος, νῦν δὲ Κτησιφῶν γέγραφεν οὑτοσί. κ. τ. λ.* Unde apparet, *tria omnino lata esse diversis temporibus de coronando Demosthene decreta,* ex quibus primum fuit Aristonici, alterum Demomelis et Hyperidæ, contra quod quum veniret Diondas, causa cecidit, Ctesiphontis tertium. Quæ quum ita sint, *δεύτερον* illud *κήρυγμα* ad Aristonicum referri non potest. *Reiskius* autem, quum antea ceteris adstipulatus esset interpretibus, in annott. mutavit judicium, "*τούτου* procul dubio, inquit, ad præconium hoc, de quo nunc certatur, Ctesiphonteum referendum." Probat idem *Schæferus,* hac addens: "non mirum fuisse qui *τούτου* secus intelligerent. Scilicet orator solam sectans periodi concinnitatem parumque curans logicam membrorum rationem ceteris membris syntactice junxit quod variata constructione dirimendum esset. Quod si Demosthenes aliquanto *λογικώτερον* scripsisset *ὥστε δεύτερον κήρυγμά μοι τοῦτο γίγνεσθαι,* nemo erat futurus qui *τοῦτο* perperam interpretaretur." Cui rationi primum hoc repugnat, quod *κήρυγμα secundum* auctore ipso Demosthene (p. 302. § 223. *καίτοι τότε τὸν Δημομέλη τόν ταῦτα γράφοντα καὶ τὸν Ὑπερίδην, εἴπερ ἀληθῆ μου νῦν κατηγορεῖ, μᾶλλον ἂν εἰκότως ἢ τόνδ' ἐδίωκεν*) non fuit Ctesiphontis, sed Demomelis et Hyperidæ, quorum ex auctoritate coronæ renuntiatio profecto facta est, quum accusator Diondas tesserarum partem quintam non tulisset. Deinde etiam si *κήρυγμα τοῦτο* ad Ctesiphontem referretur, non poterat tamen a Demosthene appellari *κήρυγμα,* sed *ψήφισμα. Κήρυγμα* enim tum demum fuisset, quum Demosthenes coronatus esset, id quod impeditum est ab Æschine *παρανόμων γραφῇ.* Denique si *τοῦτο τὸ κήρυγμα* Ctesiphontis esset, ineptissime Demosthenes diceret *οὔτ' ἀντεῖπεν Αἰσχίνης παρὼν οὔτε τὸν εἰπόντα ἐγράψατο.* Immo propter ipsam Æschinis intercessionem, Demosthenes ne coronaretur, hæc acta est causa.—Quare quum ratio neutra possit probari, confugiendum ad novam verborum interpretationem. Pronomen *τούτου* refer ad Aristonici *κήρυγμα,* eumque genitivum pendentem fac a comparativo vocabulo *δεύτερον* (vid. *Matthiæ* Gr. Gr. §. 356), *δεύτερον* illud *κήρυγμα* ad Demomelem refer atque Hyperidem, ut sensus hic sit: *et quum præter hoc, quod nunc prælegetur, Aristonici κήρυγμα, quod primum fuit, alterum mihi obtingeret illo posterius, quod fuit illorum duumvirorum* sqq. Qua interpretatione locum facile defensum videbis. Nec profecto necesse est, ut cum codicibus ks. scribas *γενομένου.* Nam quum alterum hoc *κήρυγμα* satis diu post primum oratori contigerit, recte ab illo præconio (*καὶ ἀναῤῥηθέντος—τοῦ στεφάνου*) hoc ratione temporis distinxit verbo efferendo *γιγνομένου.*

## ΨΗΦΙΣΜΑ.

84. "Ἐπὶ Χαιρώνδου Ἡγέμονος ἄρχοντος, Γαμηλιῶνος, ἕκτῃ ἀπιόντος, φυλῆς πρυτανευούσης Λεοντίδος, Ἀριστόνικος Φρεάῤῥιος εἶπεν. ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεὺς πολλὰς καὶ μεγάλας χρείας παρέσχηται τῷ δήμῳ τῷ Ἀθηναίων καὶ πολλοῖς τῶν συμμάχων καὶ πρότερον, καὶ ἐν τῷ παρόντι καιρῷ βεβοήθηκε διὰ τῶν ψηφισμάτων, καί τινας τῶν ἐν τῇ Εὐβοίᾳ πόλεων ἠλευθέρωκε, καὶ διατελεῖ εὔνους ὢν τῷ δήμῳ τῷ Ἀθηναίων, καὶ λέγει καὶ πράττει ὅ τι ἂν δύνηται ἀγαθὸν ὑπέρ τε αὐτῶν Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιέα, καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις, τραγῳδοῖς καινοῖς, τῆς δὲ ἀναγορεύσεως τοῦ στεφάνου ἐπιμεληθῆναι τὴν πρυτανεύουσαν φυλὴν καὶ τὸν ἀγωνοθέτην. εἶπεν Ἀριστόνικος Φρεάῤῥιος."

85. Ἔστιν οὖν ὅστις ὑμῶν οἶδέ τινα αἰσχύνην τῇ πόλει συμβᾶσαν διὰ τὸ ψήφισμα ἢ χλευασμὸν ἢ γέλωτα, ἃ νῦν οὗτος ἔφη συμβήσεσθαι, ἐὰν ἐγὼ στεφανῶμαι; καὶ μὴν ὅταν ᾖ νέα καὶ γνώριμα πᾶσι τὰ πράγματα, ἐάν τε καλῶς ἔχῃ, χάριτος τυγχάνει, ἐάν θ' ὡς ἑτέρως, τιμωρίας. φαίνομαι τοίνυν ἐγὼ χάριτος τετυχηκὼς τότε, καὶ οὐ μέμψεως οὐδὲ τιμωρίας.

86. Οὐκοῦν μέχρι μὲν τῶν χρόνων ἐκείνων, ἐν οἷς ταῦτ' ἐπράχθη, πάντας ἀνωμολόγημαι τοὺς χρόνους τὰ ἄριστα πράττειν τῇ πόλει, τῷ νικᾶν, ὅτ' ἐβουλεύεσθε, λέγων καὶ

---

84. *ἐπὶ Χαιρώνδου*] De Chæronda, quem ex hoc loco filium cognoscimus Hegemonis fuisse, jam sermo erat supra p. 243. *Gamelion* a 4. Jan. ad 3 Febr. *ἕκτη ἀπιόντος* dies 25.

*Φρεάῤῥιος*] *Φρέαῤῥοι δῆμος Ἀθήνησι τῆς Λεοντίδος φυλῆς, ἀπὸ Φρεάρου ἐπισήμου ἥρωος. ὁ δημότης Φρεάῤῥιος.*

*ἀγωνοθέτην*] decem erant *ἀγωνοθέται*, penes quos erat cura publicorum ludorum tum gymnicorum tum musicorum. Iidem dicuntur *ἀθλοθέται*: quod non diversæ significationis est cum altero, et jam optimis utrumque usitatum. Latini eos dixerunt *munerarios*, quo nomine primum Augustum usum esse testatur *Quint.* VIII. 3, 34, quum antea vel *domini* vel *editores* nominarentur.

85. *χλευασμός*] *χλευάζειν*, quod proprie significat *labia movere*, dein est *motis labiis illudere.*

*ἑτέρως*] Hic quidem ex oppositione intelligitur, quid sit *ἑτέρως*. Oppositum enim est *καλῶς*. Verum adhæsit significatio *male, perverse* etiam extra oppositionem vocabulo, ut satis ostendit *Wyttenbach.* ad Plat. Phæd. p. 321.

86. *τῷ νικᾶν—τῷ καταπραχθῆναι—τῷ θυσίας—πεποιῆσθαι*] Facile intelligitur per asyndeta scite pronuntiata orationem reddi fortiorem et attentionem moveri ad singula rerum momenta. Gravitatem

*γράφων, τῷ καταπραχθῆναι τὰ γραφέντα, καὶ στεφάνους ἐξ αὐτῶν τῇ πόλει καὶ ἐμοὶ καὶ πᾶσιν ὑμῖν γενέσθαι, τῷ θυσίας καὶ προσόδους τοῖς θεοῖς ὡς ἀγαθῶν τούτων ὄντων ὑμᾶς πεποιῆσθαι.*

87. *Ἐπειδὴ τοίνυν ἐκ τῆς Εὐβοίας ὁ Φίλιππος ἐξηλάθη, τοῖς μὲν ὅπλοις ὑφ' ὑμῶν, τῇ δὲ πολιτείᾳ καὶ τοῖς ψηφίσμασι, κἂν διαῤῥαγῶσί τινες τούτων, ὑπ' ἐμοῦ, ἕτερον κατὰ τῆς πόλεως ἐπιτειχισμὸν ἐζήτει. ὁρῶν δ', ὅτι σίτῳ πάντων ἀνθρώπων πλείστῳ χρώμεθ' ἐπεισάκτῳ, βουλόμενος τῆς σιτοπομπίας κύριος γενέσθαι, παρελθὼν ἐπὶ Θρᾴκης Βυζαντίους, συμμάχους ὄντας αὐτῷ, τὸ μὲν πρῶτον ἠξίου συμπολεμεῖν τὸν πρὸς ὑμᾶς πόλεμον, ὡς δ' οὐκ ἤθελον, οὐδ' ἐπὶ τούτοις ἔφασαν τὴν συμμαχίαν πεποιῆσθαι, λέγοντες ἀληθῆ, χαράκωμα βαλόμενος πρὸς τῇ πόλει καὶ μηχανήματ' ἐπιστήσας ἐπολιόρκει.* 88. *τούτων δὲ γιγνομένων, ὅ τι μὲν προσῆκε ποιεῖν ἡμᾶς*

quidem inesse oportet in rebus ipsis; tum ea insigniter augetur; sed si non adsit in rebus, ridicula fit ista tenuium rerum pompa.

*τῇ πόλει καὶ ἐμοὶ καὶ πᾶσιν ὑμῖν*] *τῇ πόλει* propius determinatur per sequentia *καὶ ἐμοί*, ut consultori, *καὶ πᾶσιν ὑμῖν*, ut iis, qui bene consulenti audientes erant p. 255. *τὸ δ' ὑμεῖς ὅταν εἴπω, τὴν πόλιν λέγω.*

*προσόδους*] Quas Latini dicunt *supplicationes*, sollemnia, quibus Diis gratiæ aguntur inprimis ob res bello feliciter gestas. Junguntur *θυσίαις, πομπαῖς, πανηγύρεσι* similibusque.

87. *διαῤῥαγῶσι*] Cf. supra § 21.—Quum sentiret, quam esset ad vulgus invidiosum tantas suæ *πολιτείᾳ* vindicare laudes, hanc invidiam minuit ipsarum laudum ab adversariorum malevolentia vindicatione, tanquam si invitus ac coactus se ipse laudaret. Ipsa autem verbi *διαῤῥαγῶσι* vis ea fuit, quæ tædii his laudibus excitati culpam ab oratore ad adversarium translatura esset.

*ἐπιτειχισμόν*] *Harpocration* s. v. *ἐπιτείχισμα*: *Ἐπιτείχισμα τὸ ἐπιτειχιζόμενον κατά τινων χωρίον, ὅθεν ὁρμώμενοι οἱ τειχίσαντες κακῶς δυνήσονται ποιεῖν τοὺς ἐπιτειχισθέντας. καὶ τὸ πρᾶγμα ἐπιτειχισμὸν ὀνομάζουσιν, ὥσπερ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.* *Ἐπιτείχισμα* habuimus supra p. 248.

*ἐπείσακτα* vel *ἐπεισαγώγιμα* dicuntur quæ aliunde, ex peregrina regione importantur. Si propria compositionis vis respiciatur, de ejusmodi rebus dicitur, quarum etiam proventus, sed non sufficiens, est in ea regione, in quam aliunde importantur.

*σιτοπομπία* vocabulum proprium de vectione frumenti ex Ponto per Hellespontum in Atticam, deductio navium frumentariarum per naves armatas, et jus aut potestas illam vectionem vel concedendi et tutandi vel negandi et turbandi. Hanc potestatem sibi arrogare potuisset Philippus, si Byzantii urbem vel ipsi tradidissent, vel ejus partes plane secuti essent; ex hac enim urbe arbitrium navium per Hellespontum vehendarum pendebat.

*ἐπὶ τούτοις*] *ἐπὶ* cum dat. *conditionem* vel *pactum* significat; negabant hoc spectatum fuisse per *συμμαχίαν*. Nempe *συμμαχία* hic est, quod *ἐπιμαχία*, *Defensive Alliance*, ut auxilia mittantur, si quis in sua ipsius regione invadatur, non si ipse velit alii bellum inferre.

*χαράκωμα* glossographi explicant *περίφραγμα*, *obsidionem*, qua cavetur, ne quis ex urbe exire, neve intrare in eam possit. *μηχανήματα* sunt machinæ bellicæ, quarum usus est in oppugnatione; *μηχανήματα ἐφιστάναι*, machinas instruere, parare, ut, quando libeat, oppugnare possis. *Cornelius Nep.* Milt. VII. 2. urbem operibus clausit, omnique commeatu privavit; deinde vineis ac testudinibus constitutis propius muros accessit.

οὐκέτ' ἐρωτήσω· δῆλον γάρ ἐστιν ἅπασιν. ἀλλὰ τίς ἦν ὁ βοηθήσας τοῖς Βυζαντίοις καὶ σώσας αὐτούς; τίς ὁ κωλύσας τὸν Ἑλλήσποντον ἀπαλλοτριωθῆναι κατ' ἐκείνους τοὺς χρόνους; ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι. τὸ δ' ὑμεῖς ὅταν εἴπω, τὴν πόλιν λέγω. τίς δ' ὁ τῇ πόλει λέγων καὶ γράφων καὶ πράττων, καὶ ἁπλῶς ἑαυτὸν εἰς τὰ πράγματα ἀφειδῶς διδούς; ἐγώ. 89. ἀλλὰ μὴν ἡλίκα ταῦτα ὠφέλησεν ἅπαντας, οὐκέτ' ἐκ λόγου δεῖ μαθεῖν ὑμᾶς, ἀλλ' ἔργῳ πεπείρασθε· ὁ γὰρ τότε ἐνστὰς πόλεμος ἄνευ τοῦ καλὴν δόξαν ἐνεγκεῖν ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀφθονωτέροις καὶ εὐωνοτέροις διήγαγεν ὑμᾶς τῆς νῦν εἰρήνης, ἣν οὗτοι κατὰ τῆς πατρίδος τηροῦσιν οἱ χρηστοὶ ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν, ὧν διαμάρτοιεν, καὶ μὴ μετάσχοιεν ὧν ὑμεῖς οἱ τὰ βέλτιστα βουλόμενοι τοὺς θεοὺς αἰτεῖτε, μηδὲ μεταδοῖεν ὑμῖν ὧν αὐτοὶ προῄρηνται. λέγε δ' αὐτοῖς καὶ τοὺς τῶν Βυζαντίων στεφάνους καὶ τοὺς τῶν Περινθίων, οἷς ἐστεφάνουν ἐκ τούτων τὴν πόλιν.

## ΨΗΦΙΣΜΑ ΒΥΖΑΝΤΙΩΝ.

90. "Ἐπὶ ἱερομνάμονος Βοσπορίχω Δαμάγητος ἐν τᾷ ἁλίᾳ

89. In Bekkeriana Berolinensi 1824. post *οἱ τὰ βέλτιστα* omissum est *βουλόμενοι*, quod quanquam necessarium non est, quum *αἰτοῦντες* e verbo finito facile aliquis suppleat, editore tamen invito omissum arbitror. Neque enim in var. lectt. aliquid notatur, et habet ipsa Bekkeri in usum schol. ed. Berol. 1825.

88. *ἑαυτὸν εἰς τὰ πράγματα ἀφειδῶς διδόναι*] summa virium contentione rebus studere, rebus se dedere, instare.

89. *ἄνευ τοῦ* cum infinitivo reddendum per *præterquam quod:* præterquam quod nobis bonam ferebat existimationem.

*ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀφθονωτέροις καὶ εὐωνοτέροις διήγαγεν ὑμᾶς*] in majore omnium rerum abundantia et vilitate traduxit vos.

*τῆς νῦν εἰρήνης*] Intelligit otium, quo fruebantur Athenienses, Alexandro imperante: quod metuendum erat ne exiret in servitutem. Si enim Alexander victor rediisset ex Oriente, Græci jamdudum Macedoniam reverentes magni viri ingenio se non potuissent non subjicere, quum videamus eos Alexandri successoribus, quamvis inter se discordibus, obsequium recusare non potuisse.

*ἣν—τηροῦσιν οἱ χρηστοὶ ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν*] *χρηστοὶ* ironice pro *πονηροί. ἐπὶ* cum dat. sæpe significat *ob, propter*, sive causam spectans sive finem. H. l. spe futuræ felicitatis, quam in suis ipsorum commodis, quæ sibi ab Alexandro pollicebantur, cernebant.

*ὧν αὐτοὶ προῄρηνται*] quæ isti sua sibi observantia contrahunt, servitutem, si vero eam nomine appellare velis.

*Περινθίων*] Perinthus erat urbs Thraciæ ad mare sita, in clivo peninsulæ formam habente.

90. *ἐπὶ ἱερομνάμονος*] Attici *ἱερομνήμονος*. Sed Byzantini Dorice loquebantur. *ἱερομνήμονας* novimus ex Amphictyonum collegio, in quod civitates Græciæ fœderis Amphictyonici participes duplex genus legatorum mittebant, quorum alterum appellabatur *πυλαγόρων*, alterum *ἱερομνημόνων*. *Ἱερομνημόνων* munus inprimis hoc videtur fuisse, ut sacra instituerent et acta collegii signarent et publicarent. Hic nomen est magistratus Byzantini.

ἔλεξεν, ἐκ τᾶς βωλᾶς λαβὼν ῥήτραν· ἐπειδὴ ὁ δᾶμος ὁ Ἀθηναίων ἔν τε τοῖς προγενομένοις καιροῖς εὐνοέων διατελεῖ Βυζαντίοις καὶ τοῖς συμμάχοις καὶ συγγενέσι Περινθίοις, καὶ πολλὰς καὶ μεγάλας χρείας παρέσχηται ἔν τε τῷ παρεστακότι καιρῷ, Φιλίππω τῶ Μακεδόνος ἐπιστρατεύσαντος ἐπὶ τὰν χώραν, καὶ τὰν πόλιν ἐπ' ἀναστάσει Βυζαντίων καὶ Περινθίων καὶ τὰν χώραν δαίοντος καὶ δενδροκοπέοντος, βοηθήσας πλοίοισιν ἑκατὸν καὶ εἴκοσι καὶ σίτῳ καὶ βέλεσι καὶ ὁπλίταις ἐξείλετο ἄμμε ἐκ τῶν μεγάλων κινδύνων, καὶ ἀποκατέστασε τὰν πάτριον πολιτείαν καὶ τὼς νόμως καὶ τὼς τάφως, 91. δεδόχθαι τῷ δάμῳ τῷ Βυζαντίων καὶ Περινθίων Ἀθηναίοις δόμεν ἐπιγαμίαν, πολιτείαν, ἔγκτασιν γᾶς καὶ οἰκιᾶν, προεδρίαν ἐν τοῖς ἀγῶσι, πόθοδον ποτὶ τὰν βωλὰν καὶ τὸν δᾶμον πράτοις μετὰ τὰ ἱερά, καὶ τοῖς κατοικεῖν ἐθέλουσι τὰν πόλιν ἀλειτουργήτοις ἦμεν πασᾶν προστακτᾶν λειτουργιᾶν· στᾶσαι δὲ καὶ εἰκόνας τρεῖς ἑκκαιδεκαπήχεις ἐν τῷ Βοσπορίχῳ, στεφανούμενον τὸν δᾶμον

cujus simile munus videtur fuisse cum archonte eponymo Atheniensi, ut ab ejus nomine annus et acta publica notarentur. Num etiam sacrorum curam habuerit, non liquet.

Βοσπορίχῳ] dorice pro Βοσπορίχου.

ἁλίᾳ] Cognatum hoc vocabulum est cum eo, quod apud Atticos Ἡλίαια nominabatur, quod nomen erat δικαστηρίου, cujus membra ad numerum sex millium assurgere poterant. ἁλία autem in civitatibus Dorensibus idem est, quod Atheniensibus ἐκκλησία, concio populi.

τᾶς βωλᾶς, i. e. τῆς βουλῆς.

ῥήτρα, quod vocabulum apud *Homerum* (Od. XIV. 393) significat *pactum*, h. l. *facultatem dicendi* denotare videtur, quo sensu legitur etiam in *Luciani* Philopatride cap. 22.

διατελεῖ] Tempus præsens mirum est, quum de præteritis sermo sit, multo etiam magis, quum aoristus ἐξείλετο sequatur jungendus cum vocabulis ἔν τε παρεστακότι καιρῷ. *Wunderlich.* scripsit διετέλει, quod significationem habere oporteret temporis diutius durantis. Si codd. lectio servetur, intelligendum est, Athenienses perseverare etiamnum in benevolentia erga Byzantinos.

ἐπ' ἀναστάσει Βυζαντίων] ut devastaret sibique subjiceret Byzantinos.

δαίειν Atticum est δηοῦν.

δενδροκοπεῖν partem devastationis significat, et apud Xenophontem cum alia parte jungitur, τὸν σῖτον τέμνειν.

βέλη, junctum cum ὁπλίταις, abstractum est pro concreto, *tela* pro *sagittariis*; ut apud antiquos armorum nomina sæpe ponuntur pro iis, qui arma gerunt.

ἄμμε] Doricum pro ἡμᾶς. Apud alios scriptores aliter scribitur. Primaria forma videtur ἀμὲ fuisse. Postea cœperunt Dores spiritum asperum mutare in lenem, et duplicata consona retrahere accentum. Sic tres formas invenimus accusativi pluralis, ἁμὲ, ἀμὲ et ἄμμε, sicut dativi tres, ἁμῖν, ἀμῖν, ἄμμιν.

91. ἐπιγαμίαν] Jus connubiorum, ut, si vir vel femina Atheniensis conjugium ineat cum Byzantino vel Perinthio, iisdem juribus fruatur, ut si natus esset Byzantinus.

ἔγκτασιν γᾶς καὶ οἰκιᾶν] Acquisitionem agrorum et ædificiorum, ita ut simul civitatis jure fruantur. [Cf. *Wachsmuth Hellen. Alterthumskunde* I. 1. p. 123 s.] Genitivum pluralem primæ declinationis Dores terminare solent in ᾶν, poetæ interdum in άων.

πόθοδον] ποτὶ dicunt Dores pro πρός.

πράτοις] Dorice pro πρώτοις.

ἦμεν] i. e. εἶναι. Infinitivi verbi substantivi has formas invenimus apud Dores, ἔμεν, ἔμμεν, ἔμεναι, ἔμμεναι, ἦμεν, ἤμεναι, ἦμες, εἶμεν, εἴμειν.

*τῶν Ἀθηναίων ὑπὸ τῶ δάμω τῶν Βυζαντίων καὶ Περινθίων. ἀποστεῖλαι δὲ καὶ θεωρίας ἐς τὰς ἐν τᾷ Ἑλλάδι πανηγύριας, Ἴσθμια καὶ Νέμεα καὶ Ὀλύμπια καὶ Πύθια, καὶ ἀνακαρῦξαι τὼς στεφάνως, ὣς ἐστεφάνωται ὁ δᾶμος ὁ Ἀθηναίων ὑφ᾽ ἡμῶν, ὅπως ἐπιστέωνται οἱ Ἕλλανες πάντες Ἀθηναίων ἀρετὰν καὶ τὰν Βυζαντίων καὶ Περινθίων εὐχαριστίαν."*

92. *Λέγε καὶ τοὺς παρὰ τῶν ἐν Χεῤῥονήσῳ στεφάνους.*

## ΨΗΦΙΣΜΑ ΧΕΡΡΟΝΗΣΙΤΩΝ.

*" Χεῤῥονησιτῶν οἱ κατοικοῦντες Σηστόν, Ἐλεοῦντα, Μάδυτον, Ἀλωπεκόννησον, στεφανοῦσιν Ἀθηναίων τὴν βουλὴν καὶ τὸν δῆμον χρυσῷ στεφάνῳ ἀπὸ ταλάντων ἑξήκοντα, καὶ Χάριτος βωμὸν ἱδρύονται καὶ Δήμου Ἀθηναίων, ὅτι πάντων μεγίστου ἀγαθῶν παραίτιος γέγονε Χεῤῥονησίταις, ἐξελόμενος ἐκ τῆς Φιλίππου, καὶ ἀποδοὺς τὰς πατρίδας, τοὺς νόμους, τὴν ἐλευθερίαν, τὰ ἱερά. καὶ ἐν τῷ μετὰ ταῦτα αἰῶνι παντὶ οὐκ*

91. *τὼς στεφάνως, ὣς ἐστεφάνωται*] Sic edidit Bekkerus de conjectura Reiskii. Verum codices *τῶ στεφάνω* plerique omnes, in quo dualem *τῶ στεφάνω* quis non agnoscit? Quam lectionem non male amplexus erat Taylorus; "duas, inquit, coronas, Byzantinorum unam, alteram Perinthiorum." Et profecto dualem quum res ipsa, tum urbis utriusque per totum *ψήφισμα* conjuncta commemoratio videtur suadere. Ubique enim *Βυζαντίοις καὶ Περινθίοις, Βυζαντίων καὶ Περινθίων.* Demosthenenes autem ipse verbis disertis § 89. *λέγε δ᾽ αὐτοῖς τοὺς τῶν Βυζαντίων στεφάνους καὶ τοὺς τῶν Περινθίων*, ut dubitari de binis coronis non possit. Deinde pro *ὣς ἐστεφάνωται* codd. fere omnes eo inclinant, ut legatur *ὧ συστεφάνωται* aut *ὣς συνεστεφάνωται*, etiam ii, qui habent *ὅσοι στεφάνωται*, ducunt eodem, quoniam hoc depravatum est ex illo. Mirere adeo hanc neminem ex editoribus arripuisse lectionem. In promptu est enim legere, quod ab *Y* præbeter *ὧ συνεστεφάνωται.* Sensus hic est: *et ut renuntientur coronæ binæ, quibus communiter* (et a Byzantinis et a Perinthiis) *coronatus est populus Atheniensium.*

92. *παραίτιος γέγονε*] Vere sic correxisse videtur Bekkerus. Libri sunt corrupti et pro *παραίτιος* plerique habent *πράττειν*, alii *πράττειν αἴτιος*, quod scripturæ compendio ex *παραίτιος* natum est.

92. *Σηστὸν* cet.] Hæ sunt urbes in Chersoneso Thracica, quarum *Ἀλωπεκόννησος* nomine suo memorabilis est, quod invenit secundum oraculum urbem ibi esse condendam, ubi catuli vulpini invenirentur.

*χρυσῷ στεφάνῳ ἀπὸ ταλάντων ἑξήκοντα*] Corona aurea quum ex auro constabat, talenta auri intelligenda sunt. Quando de pecunia sermo est, talentum auri par est decem talentis argenti. Verum quum de talentis sermo sit, quæ impendebantur in coronam auream, verisimile reddidit *Aug. Boeckhius* in libro eruditissimo *die Athenäische Staatshaushaltung*, talentum ejusmodi sex drachmas aureas fuisse, nostræ monetæ sex ducatos. Hæc igitur sexaginta talenta summam efficiunt 360 ducatorum: quæ summa satis ampla erat, si has urbes respicias non admodum opulentas.

*Χάριτος βωμὸν—καὶ Δήμου Ἀθηναίων*] Hæc locutio genus est *ἑνὸς διὰ δυοῖν*, aram constituunt Gratiæ propter populum Atheniensem; nisi malis *Δῆμον* h. l. de genio populari intelligere.

*ἐκ τῆς Φιλίππου*] Nos diceremus *ἐκ τῆς Φιλίππου δυνάμεως* vel *τυραννίδος.* Sed Græci substantivum omittunt, ut quisque pro lubitu cogitare possit quod velit. Librarii hunc euphemismum non capientes corruperunt *ἐκ τοῦ Φιλίππου.*

*ἐλλείψει εὐχαριστῶν καὶ ποιῶν ὅ τι ἂν δύνηται ἀγαθόν. ταῦτα ἐψηφίσαντο ἐν κοινῷ βουλευτηρίῳ."*

93. *Οὐκοῦν οὐ μόνον τὸ Χεῤῥόνησον καὶ Βυζάντιον σῶσαι, οὐδὲ τὸ κωλῦσαι τὸν Ἑλλήσποντον ὑπὸ Φιλίππῳ γενέσθαι τότε, οὐδὲ τὸ τιμᾶσθαι τὴν πόλιν ἐκ τούτων ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία διεπράξατο, ἀλλὰ καὶ πᾶσιν ἔδειξεν ἀνθρώποις τήν τε τῆς πόλεως καλοκἀγαθίαν καὶ τὴν Φιλίππου κακίαν. ὁ μέν γε φίλος καὶ σύμμαχος ὢν τοῖς Βυζαντίοις πολιορκῶν αὐτοὺς ἑωρᾶτο ὑπὸ πάντων· οὗ τί γένοιτ' ἂν αἴσχιον ἢ μιαρώτερον;* 94. *ὑμεῖς δ' οἱ καὶ μεμψάμενοι πολλὰ καὶ δίκαια ἂν ἐκείνοις εἰκότως περὶ ὧν ἠγνωμονήκεσαν εἰς ὑμᾶς ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐ μόνον οὐ μνησικακοῦντες οὐδὲ προϊέμενοι τοὺς ἀδικουμένους, ἀλλὰ καὶ σώζοντες ἐφαίνεσθε, ἐξ ὧν δόξαν, εὔνοιαν, τιμὴν παρὰ πάντων ἐκτᾶσθε. καὶ μὴν ὅτι πολλοὺς μὲν ἐστεφανώκατ' ἤδη τῶν πεπολιτευμένων, ἅπαντες ἴσασι· δι' ὅντινα δ' ἄλλον ἡ πόλις ἐστεφάνωται, σύμβουλον λέγω καὶ ῥήτορα, πλὴν δι' ἐμέ, οὐδ' ἂν εἷς εἰπεῖν ἔχοι.*

95. *Ἵνα τοίνυν καὶ τὰς βλασφημίας, ἃς κατὰ τῶν Εὐβοέων καὶ τῶν Βυζαντίων ἐποιήσατο, εἴ τι δυσχερὲς αὐτοῖς ἐπέπρακτο πρὸς ὑμᾶς ὑπομιμνήσκων, συκοφαντίας οὔσας ἐπιδείξω μὴ μόνον τῷ ψευδεῖς εἶναι (τοῦτο μὲν γὰρ ὑπάρχειν ὑμᾶς εἰδότας ἡγοῦμαι), ἀλλὰ καὶ τῷ, εἰ τὰ μάλιστ' ἦσαν ἀληθεῖς, οὕτως, ὡς*

94. *οὐδὲ προϊέμενοι τοὺς ἀδικουμένους*] Reiskius suspicatur *τοὺς ἀδικοῦντας ἀδικουμένους*. Neque offensione caret vulgata, articulus præsertim *τούς*. Malim ego *αὐτοὺς ἀδικουμένους*. Facile potuit *αυ* obliterari præcedente *οι* in *προϊέμενοι*.

*ἐλλείψει*] Ubique pluralis erat verbi in hoc psephismate, quoniam subjectum erat *Χεῤῥονησιτῶν οἱ κατοικοῦντες*, isque correctus in compluribus manuscriptis. Hic autem subita fit mutatio in singularem, ut assumendum sit ex præcedente *ὁ δῆμος τῶν Χεῤῥονησιτῶν*. In sequentibus iterum sequitur pluralis *ἐψηφίσαντο*.

*ἐν κοινῷ βουλευτηρίῳ*] i. e. in conventu, qui compositus erat ex legatis omnium earum urbium, quæ initio nominatæ erant.

93. *ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία*] Per *ἓν διὰ δυοῖν*, *ἡ προαίρεσις πολιτική*, partes quas sequor in republica administranda, *my political principles*.

*ὁ μέν γε*] Harum particularum conjunctio, quæ sæpe non librarios solum, sed etiam viros doctos offendit, haud rara apud optimos scriptores, inprimis frequens est apud Demosthenem. *Hermannus* ad Vig. p. 827. *γε*, inquit, refertur ad antecedentia confirmationis causa et reddi potest *certe*; particulæ *μὲν* autem respondet *δέ*.

94. *ἀγνωμονεῖν* est impie contra jus fasque agere, *to act against his better knowledge and conscience*.— *μνησικακεῖν*, meminisse malorum, injuriarum, et in omnibus linguis verba recordandi etiam notionem habent referendi, reddendi.

*σύμβουλον λέγω καὶ ῥήτορα*] Quod dicit, non vult negare de *στρατηγοῖς*, qui, si rem bene gesserant, interdum in causa fuerant, ut populo Atheniensi corona tribueretur.

95. *ὑπάρχειν ὑμας εἰδότας*] Periphrasis rarior pro *ὑμᾶς εἰδέναι*, per quam certa exprimitur eorum, ad quos loquitur, persuasio: hoc enim vos satis scire existimo.

*ἐγὼ κέχρημαι τοῖς πράγμασι, συμφέρειν χρήσασθαι, ἓν ἢ δύο βούλομαι τῶν καθ᾽ ὑμᾶς πεπραγμένων καλῶν τῇ πόλει διεξελθεῖν, καὶ ταῦτ᾽ ἐν βραχέσι· καὶ γὰρ ἄνδρα ἰδίᾳ καὶ πόλιν κοινῇ πρὸς τὰ κάλλιστα τῶν ὑπαρχόντων ἀεὶ δεῖ τὰ λοιπὰ πειρᾶσθαι πράττειν.* 96. *ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων, καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς,* Εὔβοιαν, Τάναγραν, *τὴν* Βοιωτίαν *ἅπασαν,* Μέγαρα, Αἴγιναν, Κλεωνάς, *τὰς ἄλλας νήσους, οὐ ναῦς, οὐ τείχη τῆς πόλεως τότε κεκτημένης, ἐξήλθετε εἰς* Ἁλίαρτον *καὶ πάλιν οὐ πολλαῖς ἡμέραις ὕστερον εἰς* Κόρινθον, *τῶν τότε* Ἀθηναίων *πολλὰ ἂν ἐχόντων μνησικακῆσαι καὶ* Κορινθίοις *καὶ* Θηβαίοις *τῶν περὶ τὸν* Δεκελεικὸν *πόλεμον πραχθέντων·* 97. *ἀλλ᾽ οὐκ ἐποίουν τοῦτο, οὐδ᾽ ἐγγύς. καίτοι τότε ταῦτα ἀμφότερα,* Αἰσχίνη, *οὔθ᾽ ὑπὲρ εὐεργετῶν ἐποίουν, οὔτ᾽ ἀκίνδυνα ἑώρων. ἀλλ᾽ οὐ διὰ ταῦτα προεῖντο τοὺς καταφεύγοντας ἐφ᾽ ἑαυτούς, ἀλλ᾽ ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἤθελον τοῖς δεινοῖς αὑτοὺς διδόναι, ὀρθῶς καὶ καλῶς βουλευόμενοι. πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου ὁ θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὑτὸν καθείρξας τηρῇ· δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν*

97. Pro *προεῖντο*, quod vulgo legitur, non displicet *προΐεντο*, quam lectionem exhibet Σ. liber optimus. Est enim *οὐ προΐεντο projicere nolebant.*

*ὡς ἐγὼ κέχρημαι τοῖς πράγμασι*] qua ratione ego usus sum in auxilio ferendo.

*καθ᾽ ὑμᾶς*] *κατὰ* cum accus. personæ interdum *ætatem* significat: *vestra ætate.*

*πρὸς τὰ κάλλιστα*] *πρὸς* h. l. *convenienter*, ad *exemplum*, convenienter præstantissimis, quæ adsunt, ad pulcherrime facta.

96. *ὑμεῖς τοίνυν*] Hoc patrum potius ætate accidebat. Sed oratores sæpe quæ patres fecerunt tanquam ipsorum tempore facta narrant.

*ἁρμοσταῖς*] *Harpocration: ἁρμοσταὶ οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι.* Iis adjuncti erant ex quaque civitate decem, quibus tamen nonnisi licebat ea facere, quæ jubebant Lacedæmonii: qua re Lacedæmoniorum *ἡγεμονία* brevi tempore invisa erat. Conf. *Morus* ad Isocr. Paneg. § 117.

*Τάναγρα*, urbs Bœotiæ major, versus Orientem ad ripam Asopi, in clivo haud procul ab Attica. Urbs florebat etiamnum post Christi tempora. Hodie ibi est vicus magnus, qui appellatur *Scamino.* Dicuntur superesse urbis rudera.

*Κλεωναί*, Cleonæ, urbs inter Argos et Corinthum, 120 stadia distans ab Argis, 80 a Corintho, sita in clivo.

*Ἁλίαρτος*, urbs Bœotiæ ad meridiem lacus Copaidis, de cujus reliquiis sibi contra dicunt itinerum scriptores.

*περὶ τὸν Δεκελεικὸν πόλεμον*] Hoc bellum si ita nominandum sit, est pars Peloponnesiaci. Incidit in annum 19. belli Peloponnesiaci. Tum nempe Lacedæmonii, vastata regione circa Deceleam, urbem Atticam, hanc urbem munire cœperunt, et aucti Thebanorum et Corinthiorum copiis, totam Atticam male tractarunt. Narrat quæ gesta sunt *Thucydides* L. VII. c. 19 ss.

97. *τοῖς δεινοῖς αὑτοὺς διδόναι*] Periculis se objicere, subire pericula.

ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δ' ὅ τι ἂν ὁ θεὸς διδῷ γενναίως. 98. ταῦτ' ἐποίουν οἱ ὑμέτεροι πρόγονοι, ταῦθ' ὑμῶν οἱ πρεσβύτεροι, οἳ Λακεδαιμονίους, οὐ φίλους ὄντας οὐδ' εὐεργέτας, ἀλλὰ πολλὰ τὴν πόλιν ἡμῶν ἠδικηκότας καὶ μεγάλα, ἐπειδὴ Θηβαῖοι κρατήσαντες ἐν Λεύκτροις ἀνελεῖν ἐπεχείρουν, διεκωλύσατε, οὐ φοβηθέντες τὴν τότε Θηβαίοις ῥώμην καὶ δόξαν ὑπάρχουσαν, οὐδ' ὑπὲρ οἷα πεποιηκότων ἀνθρώπων κινδυνεύσετε διαλογισάμενοι· 99. καὶ γάρ τοι πᾶσι τοῖς Ἕλλησιν ἐδείξατε ἐκ τούτων, ὅτι κἂν ὁτιοῦν τις εἰς ὑμᾶς ἐξαμάρτῃ, τούτῳ τὴν ὀργὴν εἰς τἄλλα ἔχετε, ἂν δ' ὑπὲρ σωτηρίας ἢ ἐλευθερίας κίνδυνός τις αὐτοὺς καταλαμβάνῃ, οὔτε μνησικακήσετε οὔθ' ὑπολογιεῖσθε. καὶ οὐκ ἐπὶ τούτων μόνον οὕτως ἐσχήκατε, ἀλλὰ πάλιν σφετεριζομένων Θηβαίων τὴν Εὔβοιαν, οὐ περιείδετε· οὐδ' ὧν ὑπὸ Θεμίσωνος καὶ Θεοδώρου περὶ Ὠρωπὸν ἠδίκησθε ἀνεμνήσθητε, ἀλλ' ἐβοηθήσατε καὶ τούτοις, τῶν ἐθελοντῶν τότε τριηράρχων πρῶτον γενομένων τῇ πόλει, ὧν εἷς ἦν ἐγώ. ἀλλ' οὔπω περὶ τούτων. 100. καίτοι καλὸν μὲν ἐποιήσατε καὶ τὸ σῶσαι τὴν νῆσον, πολλῷ δ' ἔτι τούτου κάλλιον τὸ καταστάντες κύριοι καὶ τῶν σωμάτων καὶ τῶν πόλεων ἀποδοῦναι ταῦτα δικαίως αὐτοῖς τοῖς ἐξημαρτηκόσιν εἰς ὑμᾶς,

*τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα*] Bona se spe consolantes, in melius rerum conditionem iri restitutum, præsertim si quis æquo animo, fortiter ferat quæ Deus mittit, tandem bonum futurum esse eventum.

99. *τις — τούτῳ — αὐτούς*] Post pronomen *τις* sæpe sequitur pluralis, quoniam in pronomine indefinito inest indefinita multitudo. Cf. *Matthiæ* Gr. Gr. § 434.

*Θηβαίων*] Res hæc est. Themison et Theodorus Eubœenses insidiantes Oropo, urbi Bœoticæ, ad mare exadversus Eretriam sitæ, quæ sub Atheniensium ditione erat, eam quidem occuparunt. Quum vero Athenienses in eo essent, ut cum exercitu eos expellerent, convenit inter illos, ut judicio permitteretur, cujusnam hæc urbs esset, et Thebani nomine custodum urbem acceperunt. Quam quum accepissent, eam sibi ipsis vindicarunt, donec Philippus, dux Græciæ adversus Persas creatus, eam Atheniensibus redderet. [Cf. *Mülleri* Gesch. der Hellen. Stamme. I. S. 411 s. *Winiewski* Commentar, p. 26 s.]

*ἐθελονταὶ τριήραρχοι*] Qui sponte sua munus trierarchorum susceperunt. Primum hoc fiebat in hac expeditione Euboica, ut trierarchæ sponte munus susciperent ob penuriam ærarii publici. Publice enim erat navis danda, interdum etiam instrumenta navalia. Ad stipendia etiam plerumque suppeditabatur pecunia. Veruntamen etiam si hæc præstabantur, multum tamen impendere oportebat trierarchum. Ceterum Bekkerus in priore editione ubique, etiam contra libros, scripsit ad terminationem primæ declinationis. Sed codd. plurimi, optimi et antiquissimi alteram præbent, et monui ad Æschinis *Ctes.* 5. *τριήραρχοι* antiquiorem esse formam, *τριηράρχαι* et similia recentioribus esse usitatum.

*ἀλλ' οὔπω περὶ τούτων*] Elliptica locutio, cujus similes in omnibus linguis. Supplendum *καιρὸς λέγειν* aut simile.

100. *δικαίως*] Hoc verbum posuit re in se spectata, non ut vulgus hominum de his judicare solet. Plurimi enim dicerent *stulte*, et qui prudenter judicarent, dicerent *generoso animo, benigne*.

*μηδὲν ὧν ἠδίκησθε ἐν οἷς ἐπιστεύθητε ὑπολογισάμενοι. μυρία τοίνυν ἕτερα εἰπεῖν ἔχων παραλείπω, ναυμαχίας, ἐξόδους πεζάς, στρατείας, καὶ πάλαι γεγονυίας καὶ νῦν ἐφ' ὑμῶν αὐτῶν, ἃς ἁπάσας ἡ πόλις τῆς τῶν ἄλλων ἕνεχ' Ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας πεποίηται.* 101. *εἶτ' ἐγὼ τεθεωρηκὼς ἐν τοσούτοις καὶ τοιούτοις τὴν πόλιν ὑπὲρ τῶν τοῖς ἄλλοις συμφερόντων ἐθέλουσαν ἀγωνίζεσθαι, ὑπὲρ αὐτῆς τρόπον τινὰ τῆς συμβουλῆς οὔσης, τί ἔμελλον κελεύσειν ἢ τί συμβουλεύσειν αὐτῇ ποιεῖν; μνησικακεῖν νὴ Δία πρὸς τοὺς βουλομένους σώζεσθαι, καὶ προφάσεις ζητεῖν, δι' ἃς ἅπαντα προησόμεθα. καὶ τίς οὐκ ἂν ἀπέκτεινέ με δικαίως, εἴ τι τῶν ὑπαρχόντων τῇ πόλει καλῶν λόγῳ μόνον καταισχύνειν ἐπεχείρησα; ἐπεὶ τό γε ἔργον οὐκ ἂν ἐποιήσατε ὑμεῖς, ἀκριβῶς οἶδα ἐγώ· εἰ γὰρ ἠβούλεσθε, τί ἦν ἐμποδών; οὐκ ἐξῆν; οὐχ ὑπῆρχον οἱ ταῦτ' ἐροῦντες οὗτοι;*

102. *Βούλομαι τοίνυν ἐπανελθεῖν ἐφ' ἃ τούτων ἑξῆς ἐπολιτευόμην· καὶ σκοπεῖτε ἐν τούτοις πάλιν αὖ, τί τὸ τῇ πόλει βέλτιστον ἦν. ὁρῶν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ναυτικὸν ὑμῶν καταλυόμενον, καὶ τοὺς μὲν πλουσίους ἀτελεῖς ἀπὸ*

101. *ἐπεχείρησα*] Ante Bekkerum vulgabatur *ἐπεχείρησα ἄν.* Sed in plurimis codd. *ἂν* deest. Negari quidem non potest, *εἰ ἂν* in eodem membro interdum juncta inveniri, et hunc usum a quibusdam viris pro solœco habitum satis vindicavit *Hermannus* ad Viger. p. 830. Verum non memini me *εἰ ἂν* legere cum aoristo indicativi, ubi in apodosi item sit *ἂν* cum aoristo, et quum utriusque membri sententiam non evenisse significetur.

Magnanimus autem Demosthenes vere hoc appellavit *juste.*

*ὑπολογισάμενοι*] *ὑπολογίζεσθαι*, meminisse in malam partem, ut, quum tempus ferat, malum malo reddatur.

*ἐξόδους*] Sæpe dicitur in genere de expeditione militari. Hic autem quum statim sequatur *στρατεία*, per *ἐξόδους πεζὰς* significari videntur subitæ excursiones, sive repentinum hostium impetum repressuræ, sive alia de causa.

101. *ἐθέλουσαν ἀγωνίζεσθαι*] *ἐθέλειν* interdum cum emphasi, *libenter et studiose aliquid facere.*

*τί ἔμελλον κελεύσειν*] *κελεύειν* sæpe non est *jubere, imperare, sed instare, precum perseverantia et persuasionis vi efficere.*

102. *πάλιν αὖ*] Parallelismus Græcis frequens, ut duæ particulæ ejusdem significationis conjungantur; vix autem duæ frequentius junguntur quam *πάλιν αὖ.* Quid? quod adeo tres jungantur? *αὖ πάλιν αὖθις*, quod annotavi ad *Æschinis* Ctes. 49.

*ἀτελεῖς*] *ἀτέλεια* erat præmium, quod civibus bene de republica meritis tribuebatur, ut scilicet immunes essent a tributis et liturgiis, præter trierarchiæ. Hic autem dicuntur divites se ipsi *ἀτελεῖς* fecisse *ἀπὸ σμικρῶν ἀναλωμάτων*, ut non tantum impenderent, quantum eos pro opibus oportebat, sed majores impensas in pauperes devolverent. Ceterum *Bekkerus*, qui in priore editione *σμικρῶν* scripserat, recte in altera librorum lectionem revocavit *μικρῶν.* Antiqui Grammatici, qui tradunt *Ἀττικῶς* dici *σμικρός*, *Ἑλληνικῶς μικρός*, non ita sunt intelligendi, quasi negaverint oratores Atticos scripsisse *μικρός*, sed ad certum Aristophanis locum respicientes ita locuti sunt, quasi generalem regulam traderent.

μικρῶν ἀναλωμάτων γενομένους, τοὺς δὲ μέτρια ἢ μικρὰ κεκτημένους τῶν πολιτῶν τὰ ὄντα ἀπολλύντας, ἔτι δ' ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν τῶν καιρῶν, ἔθηκα νόμον, καθ' ὃν τοὺς μὲν τὰ δίκαια ποιεῖν ἠνάγκασα, τοὺς πλουσίους, τοὺς δὲ πένητας ἔπαυσα ἀδικουμένους, τῇ πόλει δ' ὅπερ ἦν χρησιμώτατον, ἐν καιρῷ γίγνεσθαι τὰς ναυτικὰς παρασκευὰς ἐποίησα. 103. *καὶ γραφεὶς τὸν ἀγῶνα τοῦτον παρανόμων εἰς ὑμᾶς εἰσῆλθον καὶ ἀπέφυγον, καὶ τὸ μέρος τῶν ψήφων ὁ διώκων οὐκ ἔλαβε. καίτοι πόσα χρήματα τοὺς ἡγεμόνας τῶν συμμοριῶν ἢ τοὺς δευτέρους καὶ τρίτους οἴεσθέ μοι διδόναι, ὥστε μάλιστα μὲν μὴ θεῖναι τὸν νόμον τοῦτον, εἰ δὲ

*μεθημερινοὶ γάμοι*] Euphemismus, quo meretricum vita indicatur. Auctor ad Herenn. lib. IV. c. 34. *Translatione utimur*, inquit, *obscœnitatis vitandæ causa, sic: Cujus mater* QUOTIDIANIS NUPTIIS *delectatur.*

*κλίσιον* est stabulum, in quo vel pecus servabatur, vel servi habitabant. De *Καλαμίτῃ ἥρωϊ* nihil traditur vel in mythis vel in historicis, ita ut *Petitus* Legg. Att. p. 575. pro *Καλαμίτῃ* conjecerit *Κυαμίτῃ*, cujus *ναὸν οὐ μέγαν* Athenis memorat *Pausanias* L. I. 37, 3, ubi *Facius* plura. Sed *Καλαμίτῃ* jam antiqui Grammatici in hoc loco invenerunt. Sic *Bekkeri*, Anecdd. p. 269. l. 7. *Καλαμίτην: ἥρωά τινά φασιν εἶναι τιμώμενον Ἀθήνησιν.* Nomen habent etiam *Suidas* et *Hesychius*, et *Apollonius Περὶ Αἰσχίνου ῥήτορος*, ut contra codices nihil sit audendum.

*ἀνδριάς*, homo specie quidem insignis, sed mente stupidus. Corporis decorem et venustatem denegare Æschini non poterat. [Appellatio *τοῦ ἀνδριάντος* fortasse referenda ad comparationem supra § 122.

*τριταγωνιστής*, tertiarum, i. e. humillimarum partium actor. Antiquissima tragœdia nonnisi unum habebat actorem; postea accessit per Æschylum alter; interdum adhibebatur etiam tertius et quartus. Primus appellabatur *πρωταγωνιστής*, secundus *δευτεραγωνιστής*. Primus erat tragœdiæ heros; nec alter contemtus: sed tertio partes nonnisi humiles tribuebantur. Hinc epitheton *ἄκρον* acerbe ironicum.

*τριηραύλης*, *tibicen in triremi*, qui erat vilioris notæ, unde Dionysodorus, nobilis tibicen, gloriatus est nunquam se *τριηραύλην* egisse.

*ἀνέστησεν*] *abduxit eam ab hoc opificio.* Videtur significare Phormionem servum eam duxisse uxorem.

130. *οὐδὲ γὰρ ὧν ἔτυχεν ἦν, ἀλλ' οἷς ὁ δῆμος καταρᾶται*] Hæc verba præter *Reiskium*, qui scribere voluit *ὡς ἔτυχεν* (i. e. *non fuit homo, ut fert*, i. e. *plebeius*,) omnes fere *H. Wolfio* præeunte interpretati sunt ita, ac si legeretur: *οὐδὲ γὰρ τῶν τυχόντων εἷς ἦν.* *Rutilius Lupus* de sent. fig. liberius paullo verba Græca Latine ita reddiderat p. 56. ed. *Ruhnk.*: *Nam dum opus est, parentes appellat, quos scitis non ignotos fuisse, sed hujusmodi, ut omnes hos exsecrarentur*, probante *Ruhnkenio.* Consentit autem *Schæferus* hunc in modum vertens: *Nam ne in fæce plebis quidem parentes habuit, sed natus est talibus homi-*

καταρᾶται· ὀψὲ γάρ ποτε, ὀψὲ λέγω; χθὲς μὲν οὖν καὶ πρώην ἅμ᾽ Ἀθηναῖος καὶ ῥήτωρ γέγονε· καὶ δύο συλλαβὰς προσθεὶς τὸν μὲν πατέρα ἀντὶ Τρόμητος ἐποίησεν Ἀτρόμητον, τὴν δὲ μητέρα σεμνῶς πάνυ Γλαυκοθέαν ὠνόμασεν, ἣν Ἔμπουσαν ἅπαντες ἴσασι καλουμένην, ἐκ τοῦ πάντα ποιεῖν καὶ πάσχειν δηλονότι ταύτης τῆς ἐπωνυμίας τυχοῦσαν· 131. πόθεν γὰρ ἄλλοθεν; ἀλλ᾽ ὅμως οὕτως ἀχάριστος εἶ καὶ πονηρὸς φύσει, ὥστ᾽ ἐλεύθερος ἐκ δούλου καὶ πλούσιος ἐκ πτωχοῦ διὰ τουτουσὶ γεγονὼς οὐχ ὅπως χάριν αὐτοῖς ἔχεις, ἀλλὰ καὶ μισθώσας σαυτὸν κατὰ τουτωνὶ πολιτεύῃ. καὶ περὶ ὧν μέν ἐστί τις

post ὀψὲ ad ἄρξομαι." Ita Schæferus. Mihi vero re diligenter pensitata vulgata sententiarum collocatio præstare videtur. Transpositio enim incommodi hoc habet, quod quum verbis ὀκνῶ, μὴ περὶ σοῦ τὰ προσήκοντα λέγων—λόγους Æschinem ipsum allocutus esset ut personam secundam, rationem, cur hoc facturus sit non ut de secunda sed de tertia persona adjungit orator: οὐδὲ γὰρ ὧν ἔτυχεν ἦν. Necessaria autem secunda persona etiam in his verbis esset propterea, quod tum hoc argumento de stirpe relicto transiret orator ad aliud argumentum de adversarii vita verbis **ταῦτα μὲν οὖν** sqq. In collocatione vero vulgata sententiarum nexus hic est: *Si parentum tuorum vitam turpissimam enarrare pergam, opus me ipso indignissimum faciam. Hoc igitur prætermittam; de Æschinis autem ipsius vita agere incipiam.* (Jam vero alteram, secundariam illam quasi ἐν παρόδῳ at vero acerbissimæ irrisionis plenam subjungit rationem, cur de Æschinis origine plura non dicat.) *Non enim fuit eorum parentum Æschines, quorum se esse profitetur, sed e genere servili.* (Nunc autem hujus fictæ originis simul rationem habens, et orationem de tractanda Æschinis vita quam interruperat ratione illa in parenthesi posita [οὐδὲ γὰρ ἂν—καταρᾶται], iterum suscipiens particula γὰρ post ὀψέ, quod particulæ γὰρ officium est notissimum, vid. Stallb. ad Plat. Apol. p. 25, pergit hoc modo:) *Namque sero aliquando—sero dico? immo vero heri aut nudius tertius simul et Atheniensis et orator factus est.*

*nibus, quos populus diris devovet.* Verum hoc quomodo interpretatione grammatica effici possit, equidem non video.—Nam etiam sic puto desiderari: οὐ γὰρ τῶν τυχόντων ἦν sive ἐγένετο (τοκέων). Nisi forte ita solvere vis attractionem: οὐδὲ γὰρ τούτων ἦν, ἃ ἔτυχεν. Nec tamen in tot librorum consensu — consentiunt autem omnes, de mutatione cogitandum videtur. Quare, dum meliora edocear, dicam, quomodo locum expedire mihi visus sim. Unum enim *Phil. Melanchthonem* proxime abesse a veritate puto, qui sic reddidit: *Non enim erat ex eo genere, cui se ingerit, sed ex talibus, quos exsecratur populus.* Ludit orator in verbis ἔτυχεν et ἦν. ἦν originem Æschinis significat veram, ὧν ἔτυχεν ab ipso Æschine fictam. Est enim: *quos nactus est*, i. e. quales suos parentes ut profiteretur per fortunam ei concessum est, quia parentes pro ingenuis habebantur, quum essent servi ac per fraudem in civium catalogum illati, quibus ipsis populus diras imprecari solebat.

ὀψὲ λέγω; cet.] Hunc locum Rutilius Lupus de figura sententiarum et elocutionis L. 1. fig. 16. laudat et vertit tanquam exemplum *metanœæ*. Hoc schema, inquit, fieri solet, quum ipse se qui loquitur reprehendit, et id, quod prius dixit, posteriori sententia commutat. Alii hanc figuram ἐπανόρθωσιν vel ἐπιδιόρθωσιν appellant.

τὴν δὲ μητέρα—ἐπωνυμίας τυχοῦσαν] Non puto literularum quodam lusu satis frigido propter ποιεῖν καὶ πάσχειν mulierem ab eo vocatam esse Ἔμπουσαν. Cur ita vocari potuerit, docet Schol. ad Aristoph. Ran. v. 296. Ἔμπουσα—φάντασμα—ὃ δοκεῖ πολλὰς μορφὰς ἀλλάσσειν. Alterum ejus pedem æneum aiunt fuisse, alterum stercoreum.

131. διὰ τουτουσί] Intelligit judices et circumstantes Athenienses, totum omnino populum Atheniensem. Quanquam ejus, inquit, clementiæ debes civitatem, non tua legibus est, tamen in eorum ipsorum, qui eam tibi clementer concesserunt, perniciem agis.

ἀμφισβήτησις, ὡς ἄρα ὑπὲρ τῆς πόλεως εἴρηκεν, ἐάσω· ἃ δ' ὑπὲρ τῶν ἐχθρῶν καθαρῶς ἀπεδείχθη πράττων, ταῦτα ἀναμνήσω.

132. Τίς γὰρ ὑμῶν οὐκ οἶδε τὸν ἀποψηφισθέντα Ἀντιφῶντα, ὃς ἐπαγγειλάμενος Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν τὰ ὑμέτερα εἰς τὴν πόλιν ἦλθεν· ὅν, λαβόντος ἐμοῦ κεκρυμμένον ἐν Πειραιεῖ καὶ καταστήσαντος εἰς τὴν ἐκκλησίαν, βοῶν ὁ βάσκανος οὗτος καὶ κεκραγὼς, ὡς ἐν δημοκρατίᾳ δεινὰ ποιῶ τοὺς ἠτυχηκότας τῶν πολιτῶν ὑβρίζων καὶ ἐπ' οἰκίας βαδίζων ἄνευ ψηφίσματος, ἀφεθῆναι ἐποίησε. 133. καὶ εἰ μὴ ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τὸ πρᾶγμα αἰσθομένη καὶ τὴν ὑμετέραν ἄγνοιαν ἐν οὐ δέοντι συμβεβηκυῖαν ἰδοῦσα ἐπεζήτησε τὸν ἄνθρωπον καὶ συλλαβοῦσα ἐπανήγαγεν ὡς ὑμᾶς, ἐξήρπαστ' ἂν ὁ τοιοῦτος, καὶ τὸ δίκην δοῦναι διαδὺς ἐξεπέμπετ' ἂν ὑπὸ τοῦ σεμνολόγου τουτουί· νῦν δ' ὑμεῖς στρεβλώσαντες αὐτὸν ἀπεκτείνατε, ὡς ἔδει γε καὶ τοῦτον. 134. τοιγαροῦν εἰδυῖα ταῦτα ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τούτῳ τότε πεπραγμένα, χειροτονησάντων αὐτὸν ὑμῶν σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ ἀπὸ τῆς αὐτῆς ἀγνοίας, ἀφ' ἧσπερ πολλὰ προΐεσθε τῶν κοινῶν, ὡς προείλεσθε κἀκείνην καὶ τοῦ πράγματος κυρίαν

131. ἀπεδείχθη πράττων] Reiskiana lectione ἐπεδείχθη multo præstat ea, quam ex optimis libris recepit Bekk. ἀπεδείχθη. Hoc enim coarguendi perfectionem significat.

132. Ἀντιφῶντα] *Plutarchus* in Vita Demosthenis p. 852. d. appellat hoc Demosthenis σφόδρα ἀριστοκρατικὸν πολίτευμα περὶ τοῦ Ἀντιφῶντος, quod eum a populo in concione liberatum ad consilium rapuerit Areopagi, contemptaque populi offensione docuerit eum pollicitum Philippo inflammaturum se navalia: de cujus consilii sententia sit necatus. Si vera est Plutarchi narratio, magis improbo subdolam Demosthenis hoc loco narrationem, quam quod fecit. Fortis enim animi est populum falsis verborum blanditiis seductum a condonatione rerum reipublicæ perniciosarum vel invitum abducere, et eum, qui peccaverit, legitimo judicio tradere.

ἐπ' οἰκίας βαδίζων ἄνευ ψηφίσματος] Non licebat privato sine populiscito liberum hominem vi domo abstrahere, sed magistratus adeundus erat, ut reus legibus evocaretur.

133. ἐν οὐ δέοντι] οὐ fortem oppositionem tribuit vocabulo opposito *ad summam perniciem.*

ἐξαρπάζεσθαι] vi eripi ex pœna, quam merebatur ob facinora ex legibus.

διαδῦναι cum accus., *elabi, subterfugere.*

134. ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ] Tum temporis agitata fuit controversia inter Athenienses et Delios, non de proprietate insulæ, sed utris templi præfectura et administratio competeret. Hoc Pseudo-Plutarchus in vita Hyperidis his verbis confirmat: συστάντος δὲ πρὸς Δηλίους ἀμφισβητήματος, ποτέρους δεῖ προΐστασθαι τοῦ ἱεροῦ, αἱρεθέντος Αἰσχίνου συνειπεῖν, ἡ ἐξ Ἀρείου πάγου βουλὴ Ὑπερίδην ἐχειροτόνησε.

ὡς προείλεσθε κἀκείνην] προαιρεῖσθαί τινα, aliquem in consilium vocare, adhibere, consultatore aliquo uti. κύριον ποιεῖν, arbitrium alicui permittere, plenam potestatem rei judicandi ἀπήλασεν ὡς προδότην rhetorica est hyperbole, ut ex testimonio, quod nomine Areopagi

ἐποιήσατε, τοῦτον μὲν εὐθὺς ἀπήλασεν ὡς προδότην, Ὑπερίδῃ δὲ λέγειν προσέταξε· καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα τὴν ψῆφον ἔπραξε. καὶ οὐδεμία ψῆφος ἠνέχθη τῷ μιαρῷ τούτῳ. 135. καὶ ὅτι ταῦτ᾽ ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

## ΜΑΡΤΥΡΕΣ.

"Μαρτυροῦσι Δημοσθένει ὑπὲρ ἁπάντων οἵδε· Καλλίας Σουνιεύς, Ζήνων Φλυεύς, Κλέων Φαληρεύς, Δημόνικος Μαραθώνιος, ὅτι, τοῦ δήμου ποτὲ χειροτονήσαντος Αἰσχίνην σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ εἰς τοὺς Ἀμφικτύονας, συνεδρεύσαντες ἡμεῖς ἐκρίναμεν Ὑπερίδην ἄξιον εἶναι μᾶλλον ὑπὲρ τῆς πόλεως λέγειν· καὶ ἀπεστάλη Ὑπερίδης."

profertur, apparet. Non enim *προδότην* declararunt Æschinem, sed prætulerunt Hyperidem. Sic jam antiqui rhetores judicarunt.

*ἀπὸ τοῦ βωμοῦ*] i. e. jurati, jurejurando interposito. Jurantes enim accedebant ad aram, aramque tenentes jusjurandum præstabant, vel certe, si numerus esset major, aram circumstantes.

135. *ὑπὲρ ἁπάντων*] *omnium nomine.* Verba *μαρτυρίας* sunt mitiora Demosthenis narratione.

*ὑπὲρ τοῦ ἱεροῦ*] Ad Æschinem de Amphictyonica legatione de syndicis *ὑπὲρ τοῦ ἱεροῦ* lectores ablegat *H. Wolfius*, ad orationem puta adv. Ctes. § 114. sqq. Fuit autem hæc non Delphica, sed Cycladum insularum Amphictyonia, cujus sedes fuit Delus insula, in quo conventu plurimum valebant Athenienses. Vid. *Broenstedt* iter in Græciam. Præterea consulendi loci illi, quos laudat *Wachsmuth.* in Antiquitatibus Hell. T. I. p. 406. Insignis de hac Ionum panegyri locus exstat in hymno Homerico *εἰς Ἀπόλλωνα Δήλιον* v. 146—164. Quod ex hoc priscam magnificamque in illo populo animi alacritatem tam integram tam recentem ex triginta fere sæculis referente loco intelligitur, antiquissimis jam temporibus in hac Deliaca celebritate hominum inter alia populi vitæ cultusque venustate excellentis tum læta tum pia negotia factitatam esse etiam mercaturam, idem ad posteriora tempora pertinuit adeo, ut deleta a Mummio Corintho Delum transmigrarent negotiatores vel sacrorum immunitate vel situs inter Italiam Asiamque opportunitate ducti, ut auctor est *Strabo* X. 5. § 2. Verum jam diu ante Corinthum excisam, hac ipsa oratorum nostrorum ætate puta Athenienses, horum commodorum existimatores callidissimes, studiose sibi vindicasse sacrorum cum mercaturæ administratione conjunctam procurationem, teste eodem Strabone l. l. Quod quum propter dignitatem, qua ex hoc Ionicæ gentis quasi principatu accedere videretur Atheniensibus, et propter ipsius rei utilitatem ad invidiam excitandam esset insigne, fieri facile potuit, ut Delii antiquis sibi sacræ sedis accolis jus inique ereptum quererentur, idque vindicaturi Atheniensibus litem intenderent apud Amphictyoniam, sive concionem illam populi universam, sive, id quod magis placet, senatum qualemcunque delectum. Apud quem qui causam ageret delectus Athenis est, ut Demosthenes ait, aliquis *σύνδικος ὑπὲρ τοῦ ἱεροῦ*, idque munus secus ac populo placuerat, ab Areopago demandatum Hyperidæ. Quam rationem egregie confirmat locus auctoris vitarum decem oratt. T. XII. p. 27[illegible]. ed. Hutten. [T. II. p. 850. A.] *συστάντος δὲ πρὸς Δηλίους ἀμφισβητήματος, ποτέρους δεῖ προΐστασθαι τοῦ ἱεροῦ, αἱρεθέντος Αἰσχίνου συνειπεῖν, ἡ ἐξ Ἀρείου πάγου βουλὴ Ὑπερίδην ἐχειροτόνησεν. καὶ ἔστιν ὁ λόγος Δηλιακὸς ἐπιγεγραμμένος.* De Hyperidis Deliaco plura habet *Casaub.* ad Athen. lib. X. cap. 6. p. 718 sq. (ap. *Schweigh.* Vol. V. p. 371.), ex quibus afferam unum locum huc pertinentem a Scholiasta ad Hermogenem de ideis adservatum: *Βουλόμενος γὰρ ἐκεῖνος* (Hyperides) *ἐξ ἀρχαίου δεῖξαι τοῖς Ἀθηναίοις τὰ ἐν Δήλῳ ἱερὰ προσήκοντα, πολλῷ κέχρηται τῷ μύθῳ, λέγων κ. τ. λ.*

*Οὐκοῦν ὅτε, τούτου μέλλοντος λέγειν, ἀπήλασεν αὐτὸν ἡ βουλὴ καὶ προσέταξεν ἑτέρῳ, τότε καὶ προδότην εἶναι καὶ κακόνουν ὑμῖν ἀπέφηνεν.*

136. *Ἓν μὲν τοίνυν τοῦτο τοιοῦτο πολίτευμα τοῦ νεανίου τούτου, ὅμοιόν γε — οὐ γάρ; — οἷς ἐμοῦ κατηγορεῖ· ἕτερον δὲ ἀναμιμνήσκεσθε. ὅτε γὰρ Πύθωνα Φίλιππος ἔπεμψε τὸν Βυζάντιον, καὶ παρὰ τῶν αὑτοῦ συμμάχων πάντων συνέπεμψε πρέσβεις, ὡς ἐν αἰσχύνῃ ποιήσων τὴν πόλιν καὶ δείξων ἀδικοῦσαν, τότε ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐκ εἶξα οὐδ' ὑπεχώρησα, ἀλλ' ἀναστὰς ἀντεῖπον, καὶ τὰ τῆς πόλεως δίκαια οὐχὶ προὔδωκα, ἀλλ' ἀδικοῦντα Φίλιππον ἐξήλεγξα φανερῶς οὕτως, ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμένους ὁμολογεῖν· οὗτος δὲ συνηγωνίζετο, καὶ τἀναντία ἐμαρτύρει τῇ πατρίδι, καὶ ταῦτα ψευδῆ.*

137. *Καὶ οὐκ ἀπέχρη ταῦτα, ἀλλὰ καὶ πάλιν μετὰ ταῦθ' ὕστερον Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. καίτοι ὅστις τῷ ὑπὸ τῶν πολεμίων πεμφθέντι μόνος μόνῳ συνῄει καὶ ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος καὶ πολέμιος τῇ πατρίδι. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.*

## ΜΑΡΤΥΡΕΣ.

" Τελέδημος Κλέωνος, Ὑπερίδης Καλλαίσχρου, Νικόμαχος

*τούτου μέλλοντος λέγειν, ἀπήλασεν αὐτόν*] Interdum Attici scriptores ponunt participium absolutum, ubi vel accusativus vel alius casus ad verbum finitum annecti posset. Id tum faciunt, quum sententiam participio absoluto expressam tanquam gravem nec aliunde pendentem enuntiare volunt. Vide *Rost.* Gr. § 131. annot. 2.

136. *ὅμοιόν γε—οὐ γάρ;*] *γε* habet acerbam ironiam, sequente interjecta interrogatione *οὐ γάρ*; formula satis frequente in Demosthene. Similis est interjecta *πῶς γάρ οὔ*; § 139.

*Πύθωνα*] Hunc hominem disertum ea de causa miserat Athenas Philippus, quod Atheniensibus prius haud levia officia præstiterat; hinc eum sperabat Athenienses facile in suas partes perducturum.

*πολλῷ ῥέοντι καθ' ὑμῶν*] *πολὺς* jam absolutum dicitur de eo, qui multus est in sermone. Demosthenes, ut notionem augeret, addidit ei participium *ῥέων*, quod item de homine diserto ponitur, et post Demosthenem alii haud raro hac conjunctione usi sunt, quanquam interdum viri docti proni erant ad correctionem. Eam vero satis firmavit *Wesselingius* ad Diod. Sic. XVI. 85. [*Wyttenb.* ad Plut. VI. 1. p. 347. s.]

137. *Ἀναξίνῳ*] Oreo, urbe Eubœæ oriundum, ut speculatorem a Philippo missum et a se judicio traditum ait Demosthenes. Æschines autem in Ctes. c. 76. multa opprobria jecit in Demosthe-

Διοφάντου μαρτυροῦσι Δημοσθένει καὶ ἐπωμόσαντο ἐπὶ τῶν στρατηγῶν εἰδέναι Αἰσχίνην Ἀτρομήτου Κοθωκίδην συνερχόμενον νυκτὸς εἰς τὴν Θράσωνος οἰκίαν καὶ κοινολογούμενον Ἀναξίνῳ, ὃς ἐκρίθη εἶναι κατάσκοπος παρὰ Φιλίππου. αὗται ἀπεδόθησαν αἱ μαρτυρίαι ἐπὶ Νικίου, Ἑκατομβαιῶνος τρίτῃ ἱσταμένου."

138. Μυρία τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ παραλείπω. καὶ γὰρ οὕτω πως ἔχει· πολλὰ ἂν ἐγὼ νῦν ἔτι τούτων ἔχοιμι δεῖξαι, ὧν οὗτος κατ' ἐκείνους τοὺς χρόνους τοῖς μὲν ἐχθροῖς ὑπηρετῶν, ἐμοὶ δ' ἐπηρεάζων εὑρέθη. ἀλλ' οὐ τίθεται ταῦτα παρ' ὑμῖν εἰς ἀκριβῆ μνήμην οὐδ' ἣν προσῆκεν ὀργήν, ἀλλὰ δεδώκατε ἔθει τινὶ φαύλῳ πολλὴν ἐξουσίαν τῷ βουλομένῳ τὸν λέγοντά τι περὶ τῶν ὑμῖν συμφερόντων ὑποσκελίζειν καὶ συκοφαντεῖν, τῆς ἐπὶ ταῖς λοιδορίαις ἡδονῆς καὶ χάριτος τὸ τῆς πόλεως συμφέρον ἀντικαταλλαττόμενοι· διόπερ ῥᾷόν ἐστι καὶ ἀσφαλέστερον ἀεὶ τοῖς ἐχθροῖς ὑπηρετοῦντα μισθαρνεῖν ἢ τὴν ὑπὲρ ὑμῶν ἑλόμενον τάξιν πολιτεύεσθαι.

139. Καὶ τὸ μὲν δὴ πρὸ τοῦ πολεμεῖν φανερῶς συναγωνίζεσθαι Φιλίππῳ δεινὸν μέν, ὦ γῆ καὶ θεοί,—πῶς γὰρ οὔ;—κατὰ τῆς πατρίδος· δότε δ', εἰ βούλεσθε, δότε αὐτῷ τοῦτο. ἀλλ' ἐπειδὴ φανερῶς ἤδη τὰ πλοῖα ἐσεσύλητο, Χερρόνησος

nem ob crudelitatem in hospitem exercitam.

*ἐπωμόσαντο*] Cognoscimus ex hoc loco testes testimonium jurejurando confirmasse. Quanquam id non semper fiebat, tamen, si vel judices vel reus id postulabant, præstandum erat.

*ἐπὶ τῶν στρατηγῶν*] *στρατηγοί*, quorum Demosthenis ætate plerumque octo domi manebant, varia judicia exercebant, eorum inprimis, quæ ad rem bellicam pertinebant. *ἐπὶ* c. gen. interdum *coram*, junctum magistratui, qui alicui rei præpositus est.

138. *νῦν ἔτι τούτων*] *Marklandus*, probante *Reiskio*, δεινότερα addendum censet. Sed Demosthenes nonnisi vult fore, ut posset multa addere, quæ ex mera nocendi cupiditate Æschines in ipsum patraverit. Qualia fuerint, cujusque judicio relinquit. Id autem culpæ vertit, quod quæ in singulos cives patriæ amantes commissa sint, minoris a civitate æstimentur.

*ἐπηρεάζειν* ex Aristotelis definitione est *ἐμποδίζειν τὰς βουλήσεις, οὐχ ἵνα τι αὐτῷ, ἀλλ' ἵνα μὴ ἐκείνῳ, obtrectare.*

*ἔθει τινὶ φαύλῳ*] dativum *moris* appellem, qui mos tanquam causa spectatur.

*ὑποσκελίζειν*] est verbum ex lucta petitum proprie de eo, qui alterum, quem complexus est, subjecto crure evertit et supplantat. Tropice Demosthenes adhibet de eo, qui fraude et calumnia impedit, quo minus alter consilia sua assequatur. *ὑποσκελίζειν καὶ συκοφαντεῖν* per *ἓν διὰ δυοῖν* dictum est *συκοφαντικῶς ὑποσκελίζειν.*

*τὸ τῆς πόλεως συμφέρον*] Notandum, quod participium *τὸ συμφέρον* modo substantive construatur cum genitivo, ut h. l., modo ut pars verbi cum dativo, ut paullo post §139. *περὶ τῶν συμφερόντων τῇ πόλει.* Cf. ad *Æschinis* Orat. in Ctes. c. 24.

*ὑπὲρ ὑμῶν—τάξιν*] *vestras partes* eas partes, quæ vestram volunt salutem.

139. *τὰ πλοῖα*] Verisimile est eas Demosthenem naves intelligere, quarum mentionem facit Philipp. I. 49. *Πρὸς Γεραιστῷ* (ad promontorium Eubœæ) *τὰ*

ἐπορθεῖτο, ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετ' ἄνθρωπος, οὐκέτ' ἐν ἀμφισβητησίμῳ τὰ πράγματα ἦν, ἀλλ' ἐνειστήκει πόλεμος, ὅ τι μὲν ἐν τῷ τότ' ἔπραξεν ὑπὲρ ὑμῶν ὁ βάσκανος οὑτοσὶ ἰαμβειοφάγος, οὐκ ἂν ἔχοι δεῖξαι· οὐδ' ἔστιν οὔτε μεῖζον οὔτ' ἔλαττον ψήφισμα οὐδὲν Αἰσχίνῃ περὶ τῶν συμφερόντων τῇ πόλει. εἰ δέ φησι, νῦν δειξάτω ἐν τῷ ἐμῷ ὕδατι. ἀλλ' οὐκ ἔστιν οὐδέν. καίτοι δυοῖν αὐτὸν ἀνάγκη θάτερον, ἢ μηδὲν τοῖς πραττομένοις ὑπ' ἐμοῦ τότ' ἔχοντ' ἐγκαλεῖν μὴ γράφειν παρὰ ταῦθ' ἕτερα, ἢ τὸ τῶν ἐχθρῶν συμφέρον ζητοῦντα μὴ φέρειν εἰς μέσον τὰ τούτων ἀμείνω.

140. Ἆρ' οὖν οὐδ' ἔλεγεν, ὥσπερ οὐδ' ἔγραφεν, ἡνίκα ἐργάσασθαί τι δέοι κακὸν ὑμᾶς; οὐ μὲν οὖν ἦν εἰπεῖν ἑτέρῳ. καὶ τὰ μὲν ἄλλα καὶ φέρειν ἠδύναθ', ὡς ἔοικεν, ἡ πόλις, καὶ ποιῶν οὗτος λανθάνειν· ἓν δ' ἐπεξειργάσατο, ὦ ἄνδρες Ἀθηναῖοι, τοιοῦτον, ὃ πᾶσι τοῖς προτέροις ἐπέθηκε τέλος· περὶ

139. [ἐνειστήκει] ἐνεστήκει Bekk. ex solo præstantissimo cod. Σ reposuit. V. C. F. R.]
[ἐν τῷ τότ'] sc. χρόνῳ Reiskius de suo dedit pro vulgata πώποτ', quam revocavit Bekk. τῷ ποτ' August. prim. exhibet. V. C. F. R.]

*πλοῖα συλλαβὼν ἀμύθητα χρήματ' ἐξέλεξε.* Sed historia nil amplius de ea re docet, nisi quod oratorem videmus hanc rem Philippo ut magnum crimen objecisse.

*ἀμφισβητήσιμον*, de quo disceptatur, vel disceptari potest, ambiguum, dubium, *οὐκέτ' ἐν ἀμφισβητησίμῳ τὰ πράγματα ἦν*, non amplius disceptari de rebus poterat, res jam certæ, extra omnem dubitationem positæ erant.

*ἰαμβειοφάγος*] Apud Grammaticos laudatum invenio *ἰαμβοφάγος*. *Bekkeri* Anec. p. 265. *ἰαμβοφάγος: λοίδορος, ἐπειδὴ ἴαμβος ἔμμετρός ἐστι λοιδορία. ὁ φαγὼν οὖν τοὺς ἰάμβους τουτέστιν ὁ ἔχων ἐν τῷ στόματι τὴν φιλολοιδορίαν.* Idem legitur in *Etym. M.*, qui addit *μέμνηται Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου, τάχα καὶ παραπαίζων εἰς τὸν Αἰσχίνην, ὅτι τὰ ἰαμβεῖα τῆς τραγῳδίας ἔλεγεν ὑποκριτὴς ὤν.* MSS. tamen sequendos existimo, quum in utriusque vocabuli compositione et significatione nihil insit quod damnari possit. *ἴαμβος* enim est pes iambicus, et *ἰαμβεῖον* versus iambicus. Utrumque compositum recte dici non negat *Lobeck.* ad Phrynich. p. 643.

*οὔτε μεῖζον οὔτ' ἔλαττον*] Formula quæ significat nullum. Interdum etiam additur *οὐδέν*. Etiam positivus legitur: *οὐδὲν οὔτε μέγα οὔτε μικρόν*. Conf. *Hermann.* ad Vig. p. 724.

*ἐν τῷ ἐμῷ ὕδατι*] *κλεψύδρα* (*Water ewer*) utebantur in causis dicendis, et pro varietate causarum plus minusve aquæ seu temporis singulis partibus assignabatur. Hinc formula *ἐν τῷ ἐμῷ ὕδατι*, tempore mihi ad causam dicendam assignato. Hac formula utebantur litigantes, quum adversarium invitabant argumenta afferre, quæ eum afferre non posse sciebant.

*θάτερον*] Affirmat Demosthenes id, quod Æschines temporis discrimine nullum psephisma tulerit, ex alterutra causa fieri oportuisse, aut quod ipse agnoverit ea tanquam optima, quæ Demosthenes tulerit, aut quod in hostium utilitatem, si noverit meliora, ea non suaserit.

140. *οὐ μὲν οὖν ἦν εἰπεῖν ἑτέρῳ*] Profecto alteri non licebat quidquam dicere, i. e. Æschines sic omnia, quæ ad vestrum damnum dici poterant, exhauriebat, ut nemo alius quicquam addere potuisset.

*καὶ ποιῶν οὗτος λανθάνειν*] *et clam ista perpetrare poterat*, tam callidus erat, ut nemo id sentiret, aut alii id imputaret.

οὗ τοὺς πολλοὺς ἀνάλωσε λόγους, τὰ τῶν Ἀμφισσέων τῶν Λοκρῶν διεξιὼν δόγματα, ὡς διαστρέψων τἀληθές. τὸ δ' οὐ τοιοῦτόν ἐστι· πόθεν; πολλοῦ γε καὶ δεῖ. οὐδέποτ' ἐκνίψῃ σὺ τἀκεῖ πεπραγμένα σαυτῷ· οὐχ οὕτω πολλὰ ἐρεῖς.

141. Καλῶ δ' ἐναντίον ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς θεοὺς ἅπαντας καὶ πάσας, ὅσοι τὴν χώραν ἔχουσι τὴν Ἀττικήν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον, ὃς πατρῷός ἐστι τῇ πόλει, καὶ ἐπεύχομαι πᾶσι τούτοις, εἰ μὲν ἀληθῆ πρὸς ὑμᾶς εἴποιμι καὶ εἶπον τότ' εὐθὺς ἐν τῷ δήμῳ, ὅτε πρῶτον εἶδον τουτονὶ τὸν μιαρὸν τούτου τοῦ πράγματος ἁπτόμενον (ἔγνων γάρ, εὐθέως ἔγνων), εὐτυχίαν μοι δοῦναι καὶ σωτηρίαν, εἰ δὲ πρὸς ἔχθραν ἢ φιλονεικίας ἰδίας ἕνεκ' αἰτίαν ἐπάγω τούτῳ ψευδῆ, πάντων τῶν ἀγαθῶν ἀνόνητόν με ποιῆσαι.

*τὰ τῶν Ἀμφισσέων τῶν Λοκρῶν*] Sunt Locri Ozolæ dicti, qui occidentalem Parnassi regionem incolebant. Antiqua eorum urbs princeps erat Amphissa, proxima Phocidi. Hinc appellabantur Amphissenses Locri. Accusabantur hi *Κιρραῖον πεδίον*, Apollini sacrum, laborasse, et Amphictyones, auctore inprimis Æschine, bello eos petierunt. Quum autem eos debellare non valerent, tandem Philippum ducem crearunt, cui sic aditus in Græciam aperiebatur. Rem narrat item *Æschines* in Ctes. c. 35. ss., ita ut ipse pietatem in Deum et patriam tuitus esse videatur, longe aliter in sequentibus Demosthenes. Veritas videtur in medio posita, et uterque oratorum nimium rem auxisse, alter in laudem, alter in opprobrium. *Δόγματα Ἀμφισσέων* ea intelligit, quæ Locri Amphissenses contra civitatem Athenarum Amphictyonum collegio proponebant, ut ea quinquaginta talentis multaretur, quod dedicaverint in templo Delphico aurea scuta epigrammate scripto *Ἀθηναῖοι ἀπὸ Μήδων καὶ Θηβαίων, ὅτε τἀναντία τοῖς Ἕλλησιν ἐμάχοντο.* Æschines c. 36.

*πόθεν;*] Elliptice ponitur: *πόθεν τοῦτο δυνατὸν τοιοῦτον εἶναι.* Pro hac forma recentiores linguæ negationem ponunt. Hinc explicant *οὐδαμῶς* scholiastæ. Vide ad Æschinem in Tim. c. 45. Ad augendam negationem additur *πολλοῦ γε καὶ δεῖ*, *multum sane abest*, quæ verba, quum non legantur in optimis codd. omisit *Bekker*.

*ἐκνίπτειν* vel medium *ἐκνίπτεσθαι* proprie dicitur ratione macularum, quæ extinguuntur. Tropice autem de eo dicitur, qui vult purgare piaculum, *μίασμα ἐκνίψασθαι*, *Pollux* I. 33. [*Plato* Ep. VIII. p. 352. C. de *ἀνοσιουργοῖς· ταῦτα γὰρ ἀνίατα καὶ οὐκ ἄν ποτέ τις αὐτὰ ἐκνίψειε.* Not. crit. ad Anthol. Pal. XIV. 74. p. 804. F. 1.]

141. *ὃς πατρῷός ἐστι τῇ πόλει*] Frequenter ab Atheniensibus Apollon. appellabatur *πατρῷος* ut generis auctor, quatenus Ion, a quo Athenienses Iones olim dicti, Apollinis ex Creusa filius erat, de qua re exstat Euripidis tragœdia Ion. [Cf. *Heindorf.* ad Platon. T. III. p. 404. 72.] Alii eum *πάτριον* appellant. *Ἀπόλλω* autem est accusativus, quem Grammatici dicunt Atticum, pro *Ἀπόλλωνα*: quem oratores ubique usurpant. *Πύθιον* cognomen habet a dracone Pythone, qui oraculi Delphici custos erat, interfecto.

*τούτου τοῦ πράγματος*] Intelligit res Amphictyonicas. Postquam *πυλαγόρας* erat delectus. Duo nempe erant genera legatorum a civitatibus Amphictyonicis ad conventus missorum, *πυλαγόραι* et *ἱερομνήμονες*. Quomodo fuerint diversi, ex certis ipsorum scriptorum locis non patet. Si verba in se spectamus, *πυλαγόραι* inprimis oratorum munere fungebantur, *ἱερομνήμονες* sacrorum apud hos conventus habitorum curam habebant. Bis quotannis legati congregabantur, veris et auctumni tempore, vere Delphis, auctumno Thermopylis. Ab hoc loco nomen venit Pylagoras. Accuratum libellum conscripsit *Fr. Guil. Tittmann* Ueber den Bund der Amphiktyonen. eine von der koniglichen Akademie der Wissenschaften in Berlin gekrönte Preisschrift. Berlin 1812.

*ἀνόνητος*] Ab *ὀνίνημι*, *juvo, prosum.* Qui aliqua re non juvatur, qui nihil inde opis habet, hinc *privatus*.

142. Τί οὖν ταῦτ' ἐπήραμαι καὶ διετεινάμην οὑτωσὶ σφοδρῶς; ὅτι καὶ γράμματ' ἔχων ἐν τῷ δημοσίῳ κείμενα, ἐξ ὧν ταῦτ' ἐπιδείξω σαφῶς, καὶ ὑμᾶς εἰδὼς τὰ πεπραγμένα μνημονεύοντας, ἐκεῖνο φοβοῦμαι, μὴ τῶν εἰργασμένων αὐτῷ κακῶν ὑποληφθῇ οὗτος ἐλάττων· ὅπερ πρότερον συνέβη, ὅτε τοὺς ταλαιπώρους Φωκέας ἐποίησεν ἀπολέσθαι τὰ ψευδῆ δεῦρ' ἀπαγγείλας. 143. τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν ἦλθε Φίλιππος καὶ δι' ὃν ᾑρέθη τῶν Ἀμφικτυόνων ἡγεμών, ὃς ἅπαντ' ἀνέτρεψε τὰ τῶν Ἑλλήνων πράγματα, οὗτός ἐστιν ὁ συγκατασκευάσας καὶ πάντων εἷς ἀνὴρ τῶν μεγίστων αἴτιος κακῶν γεγενημένος. καὶ τότ' εὐθὺς ἐμοῦ διαμαρτυρομένου καὶ βοῶντος ἐν τῇ ἐκκλησίᾳ "πόλεμον εἰς τὴν Ἀττικὴν εἰσάγεις, Αἰσχίνη, πόλεμον Ἀμφικτυονικόν," οἱ μὲν ἐκ παρακλήσεως συγκαθήμενοι οὐκ εἴων με λέγειν, οἱ δ' ἐθαύμαζον καὶ κενὴν αἰτίαν διὰ τὴν ἰδίαν ἔχθραν ἐπάγειν με ὑπελάμβανον αὐτῷ. 144. ἥτις δ' ἡ φύσις, ὦ ἄνδρες Ἀθηναῖοι, γέγονε τούτων τῶν πραγμάτων, καὶ τίνος ἕνεκα ταῦτα συνεσκευάσθη, καὶ πῶς ἐπράχθη, νῦν ἀκούσατε, ἐπειδὴ τότε ἐκωλύθητε· καὶ γὰρ εὖ πρᾶγμα συντεθὲν ὄψεσθε, καὶ μεγάλα

142. *ὑποληφθῇ οὗτος ἐλάττων*] Ita Bekk. contra librorum MSS. ut videtur auctoritatem. Illi enim omnes ut vulgo editur *οὗτος ἐλάττων ὑποληφθῇ*, præter Σ, qui habet *ὑποληφθῇ οὗτος ἐλάττων*. Hoc ipsum commovit fortasse Bekkerum, ut putaret *οὗτος* suo loco exemtum esse, eique assignaret locum postremum: quo loco positum, credo, vocabulum *οὗτος* obtineret aliquam vim contemtus et indignationis. Mihi autem hæc ipsa contemtionis vis videtur inesse in *ἐλάττων*, quod Schæfero interprete h. l. significat *minorem, quam qui publice tam noxia perpetrare possit*. Itaque contemtum quidem, sed multo magis audacem ac facinorosum esse Æschinem significat. Quare lectioni codicis Σ accedo.

142. *ἐπήραμαι καὶ διετεινάμην*] Per ἓν διὰ δυοῖν, tum gravia mihi imprecatus sum. *ἐπήραμαι* in perfecto, quoniam ea, quæ consequuntur imprecationem, per longius tempus durant.

*τὸ δημόσιον*] ædes, ubi asservabantur acta publica.

*τοὺς ταλαιπώρους Φωκέας*] Æschini culpam tribuit Phocensium deletorum, quoniam a legatione ad Philippum reversus falsa narratione causa fuerit, quod Philippus in Phocidem intrare potuerit sub prætextu Thebanos se puniturum.

143. *τὸν γὰρ ἐν — Ἐλάτειαν*] Hæc verba efficiunt versum hexametrum. Licet enim prosa oratio ita numerosa esse debeat, ut versus vitentur; tamen etiam diligentissimis scriptoribus interdum versus excidunt. Conf. *Ciceronem* de hac re disputantem in Oratore cap. 56.

*Ἐλάτεια* urbs maxima Phocidis in valle satis ampla et fructuosa, fluminis Cephissi a sinistra parte. Subito hac urbe patitus sperabat inopinato se Athenienses oppressurum. Id tamen Demosthenis fortitudine et consilio impeditum.

*διαμαρτύρεσθαι*] Latinorum *contestari*, *obtestari*, deos hominesque testes vocare. *διαμαρτυρομένου καὶ βοῶντος* per ἓν διὰ δυοῖν *alta voce contestantis*.

*ἐκ παρακλήσεως*] *ex composito*. *παρακαλεῖν* est verbum proprium de iis, qui advocant alios, ut iis adsint in re juvanda, vel ut testes, vel alia ratione.

ὠφελήσεσθε πρὸς ἱστορίαν τῶν κοινῶν, καὶ ὅση δεινότης ἦν ἐν τῷ Φιλίππῳ, θεάσασθε.

145. Οὐκ ἦν τοῦ πρὸς ὑμᾶς πολέμου πέρας οὐδ' ἀπαλλαγὴ Φιλίππῳ, εἰ μὴ Θηβαίους καὶ Θετταλοὺς ἐχθροὺς ποιήσειε τῇ πόλει, ἀλλὰ καίπερ ἀθλίως καὶ κακῶς τῶν στρατηγῶν τῶν ὑμετέρων πολεμούντων αὐτῷ, ὅμως ὑπ' αὐτοῦ τοῦ πολέμου καὶ τῶν λῃστῶν μυρία ἔπασχε κακά· οὔτε γὰρ ἐξήγετο τῶν ἐκ τῆς χώρας γιγνομένων οὐδὲν οὔτ' εἰσήγετο ὧν ἐδεῖτ' αὐτῷ· 146. ἦν δὲ οὔτ' ἐν τῇ θαλάττῃ τότε κρείττων ὑμῶν, οὔτ' εἰς τὴν Ἀττικὴν ἐλθεῖν δυνατός, μήτε Θετταλῶν ἀκολουθούντων, μήτε Θηβαίων διιέντων· συνέβαινε δὲ αὐτῷ τῷ πολέμῳ κρατοῦντι τοὺς ὁποιουσδήποθ' ὑμεῖς ἐξεπέμπετε στρατηγοὺς (ἐῶ γὰρ τοῦτό γε) αὐτῇ τῇ φύσει τοῦ τόπου καὶ τῶν ὑπαρχόντων ἑκατέροις κακοπαθεῖν. 147. εἰ μὲν οὖν τῆς ἰδίας ἕνεκεν ἔχθρας ἢ τοὺς Θετταλοὺς ἢ τοὺς Θηβαίους συμπείθοι βαδίζειν ἐφ' ὑμᾶς, οὐδένʼ ἂν ἡγεῖτο προσέξειν αὐτῷ τὸν νοῦν· ἂν δὲ τὰς ἐκείνων κοινὰς προφάσεις λαβὼν ἡγεμὼν αἱρεθῇ, ῥᾷον ἤλπιζε τὰ μὲν παρακρούσεσθαι, τὰ δὲ πείσειν. τί οὖν; ἐπιχειρεῖ, θεάσασθ' ὡς εὖ, πόλεμον ποιῆσαι τοῖς Ἀμφικτύοσι καὶ περὶ τὴν Πυλαίαν ταραχήν· εἰς γὰρ ταῦτ' εὐθὺς αὐτοὺς ὑπελάμβανεν αὐτοῦ δεήσεσθαι. 148. εἰ μὲν τοίνυν τοῦτον ἢ τῶν παρ' ἑαυτοῦ πεμπομένων ἱερομνημόνων ἢ τῶν ἐκείνου συμμάχων εἰσηγοῖτό τις, ὑπόψεσθαι τὸ πρᾶγμα ἐνόμιζε καὶ τοὺς Θηβαίους καὶ τοὺς Θετταλούς, καὶ πάντας φυλάξεσθαι· ἂν δ' Ἀθηναῖος

145. *καὶ τῶν λῃστῶν*] Videntur inprimis piratæ intelligendi, qui oras Macedoniæ maritimas infestabant. Sic Philippus Haloneso, quæ erat insula Ægæi maris Macedoniæ vicina, piratas ejecit, et insulam Atheniensibus propriam occupavit.

*αὐτῷ* jungendum cum *εἰσήγετο*. Piratæ scilicet, qui tanquam eam illam insulam tenebant, vel naves Atheniensium diripiebant, quæcunque evehebantur ex Macedonia et importari oportebant.

146. *διιέντων*] Rarius verbum, de iis, qui transitum per fines suos concedunt.

*καὶ τῶν ὑπαρχόντων ἑκατέροις*] et opum, virium, quæ utrisque erant, Thessalis et Thebanis.

147. *τὰς ἐκείνων κοινὰς προφάσεις*] eas res, quas ipsi querebantur injuste sibi fieri ab Atheniensibus.

*παρακρούσεσθαι*] *Harpocration*: παρακρούεσθαι ἀντὶ τοῦ ἐξαπατᾶν, πολὺ δέ ἐστιν παρὰ τοῖς ἄλλοις Ἀττικοῖς καὶ παρὰ τῷ Δημοσθένει ἐν τοῖς Φιλιππικοῖς. μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱστάντας τι ἢ μετροῦντας κρούειν τὰ μέτρα καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν. Alii tradunt esse vocabulum athleticum, supplantare. Significat igitur: decipere fraude et dolo. *πείσειν* autem spectat preces, adulationes et pollicitationes.

*πόλεμον ποιῆσαι τοῖς Ἀμφ.*] bellum excitare contra Amphictyones.

*καὶ περὶ τὴν Πυλαίαν ταραχήν*] et tumultum circa id tempus, quo habebatur Amphictyonum senatus.

148. *εἰσηγεῖσθαι* est verbum proprium de eo, qui auctor fit alicujus rei faciendæ, qui consilio præit.

ἢ καὶ παρ' ὑμῶν, τῶν ὑπεναντίων, ὁ τοῦτο ποιῶν, εὐπόρως λήσειν· ὅπερ συνέβη. 149. πῶς οὖν ταῦτ' ἐποίησε; μισθοῦται τουτονί. οὐδενὸς δὲ προειδότος, οἶμαι, τὸ πρᾶγμα οὐδὲ φυλάττοντος, ὥσπερ εἴωθε τὰ τοιαῦτα παρ' ὑμῖν γίγνεσθαι, προβληθεὶς πυλαγόρας οὗτος καὶ, τριῶν ἢ τεττάρων χειροτονησάντων αὐτὸν, ἀνεῤῥήθη. ὡς δὲ τὸ τῆς πόλεως ἀξίωμα λαβὼν ἀφίκετο εἰς τοὺς Ἀμφικτύονας, πάντα τἄλλ' ἀφεὶς καὶ παριδὼν ἐπέραινεν ἐφ' οἷς ἐμισθώθη, καὶ λόγους εὐπροσώπους καὶ μύθους, ὅθεν ἡ Κιῤῥαία χώρα καθιερώθη, συνθεὶς καὶ διεξελθὼν ἀνθρώπους, ἀπείρους λόγων καὶ τὸ μέλλον οὐ προορωμένους, 150. τοὺς ἱερομνήμονας, πείθει ψηφίσασθαι περιελθεῖν τὴν χώραν, ἣν οἱ μὲν Ἀμφισσεῖς σφῶν αὐτῶν οὖσαν γεωργεῖν ἔφασαν, οὗτος δὲ τῆς ἱερᾶς χώρας ᾐτιᾶτο εἶναι, οὐδεμίαν δίκην τῶν Λοκρῶν ἐπαγόντων ἡμῖν, οὐδ' ἃ νῦν προφασίζεται οὗτος, λέγων οὐκ ἀληθῆ. γνώσεσθε δ' ἐκεῖθεν· οὐκ ἐνῆν ἄνευ τοῦ προσκαλέσασθαι δήπου τοῖς Λοκροῖς δίκην κατὰ τῆς πόλεως τελέσασθαι. τίς οὖν ἐκλήτευσεν ὑμᾶς; ἐπὶ ποίας ἀρχῆς; εἰπὲ τὸν εἰδότα, δεῖξον. ἀλλ' οὐκ

150. προσκαλέσασθαι] Bekk. προκαλέσασθαι scripsit in priore editione: in altera revocavit προσκαλέσασθαι. Utrumque vocabulum est forense. προσκαλεῖσθαι *est in jus vocare, litem denuntiare:* quod actionis erat principium et fundamentum. προκαλεῖσθαι est invitare ad litem finiendam. Suidas ait προσκλήσεις esse πρὸς ἃς καλεῖ τις εἰς δικαστήριον ἢ βουλήν· πρόκλησις δὲ ἐπὶ διαιτητήν. Facile patet hic προσκαλεῖσθαι verum esse. Causa erat inquirenda ante quam multa Atheniensibus imponenda.

τελέσασθαι] pro vulg. συντελέσασθαι Bekker. in recentissima editione scripsit τελέσασθαι. Recte. δίκην τελεῖσθαι est v. pr. de diremtione litis, *conficere litem.*

149. προβληθεὶς] vox propria de eo, qui designatur eligendus. In iis nempe muneribus, quæ peti et ambiri a candidatis non poterant, a quocunque cive vel hic vel ille commendari poterat. In ordinariis vero magistratibus eorum nomina, qui professi erant, ab Archontibus ad populum ferebantur, isque rogabatur, quem ex iis magistratum fieri populus juberet.

τριῶν ἢ τεττάρων χειροτονησάντων αὐτόν] Videtur innuere concione jam dimissa ex compacto nonnullos mansisse et psephisma tulisse, quo crearetur Æschines πυλαγόρας: qua ratione multa fiebant in libera scilicet Atheniensi civitate.

ἀνεῤῥήθη] Hoc verbum vel ἀνηγορεύθη proprium est de eo, qui ad munus est electus. Coram concione enim per præconem renuntiabatur.

λόγους εὐπροσώπους καὶ μύθους] Novimus hæc ex oratione in Ctesiphontem.

καθιερώθη] Docent Grammatici ἱερῶσαι καὶ καθιερῶσαι dici ἐπὶ τῶν ἀνατιθεμένων, ἱερεῦσαι καὶ καθιερεῦσαι ἐπὶ τῶν θυομένων ἱερείων. *Phavorinus* nos insuper docet καθιερῶσαι Atticorum esse, ἀφιερῶσαι recentiorum.

150. ἱερομνήμονας] Hic universe positum videtur de legatis civitatum Amphictyonicarum, quum πυλαγόραις tum ἱερομνήμοσι. Non enim opinor jus decretorum alterutri tantum generi obtigisse, sed utrisque conjunctis, quanquam modo nomen πυλαγορῶν legatur, modo ἱερομνημόνων. Cf. *Tittmann* über den Bund der Amphiktyonen, p. 85. ss.

κλητεύειν est verbum forense, et dicitur tum de iis, qui in jus vocant, tum de iis, qui testes adsunt agentibus.

ἐπὶ ποίας ἀρχῆς] apud quemnam ma-

ἂν ἔχοις, ἀλλὰ κενῇ προφάσει ταύτῃ κατεχρῶ καὶ ψευδεῖ. 151. περιιόντων τοίνυν τὴν χώραν τῶν Ἀμφικτυόνων κατὰ τὴν ὑφήγησιν τὴν τούτου, προσπεσόντες οἱ Λοκροὶ μικροῦ μὲν ἅπαντας κατηκόντισαν, τινὰς δὲ καὶ συνήρπασαν τῶν ἱερομνημόνων. ὡς δ' ἅπαξ ἐκ τούτων ἐγκλήματα καὶ πόλεμος πρὸς τοὺς Ἀμφισσεῖς ἐταράχθη, τὸ μὲν πρῶτον ὁ Κόττυφος αὐτῶν τῶν Ἀμφικτυόνων ἤγαγε στρατιάν. ὡς δ' οἱ μὲν οὐκ ἦλθον, οἱ δ' ἐλθόντες οὐδὲν ἐποίουν, εἰς τὴν ἐπιοῦσαν Πυλαίαν ἐπὶ τὸν Φίλιππον εὐθὺς ἡγεμόνα ἦγον οἱ κατεσκευασμένοι καὶ πάλαι πονηροὶ τῶν Θετταλῶν καὶ τῶν ἐν ταῖς ἄλλαις πόλεσι. καὶ προφάσεις εὐλόγους εἰλήφεσαν· 152. ἢ γὰρ αὐτοὺς εἰσφέρειν καὶ ξένους τρέφειν ἔφασαν δεῖν καὶ ζημιοῦν τοὺς μὴ ταῦτα ποιοῦντας, ἢ ἐκεῖνον αἱρεῖσθαι. τί δεῖ τὰ πολλὰ λέγειν; ᾑρέθη γὰρ ἐκ τούτων ἡγεμών. καὶ μετὰ ταῦτ' εὐθὺς ὁ Φίλιππος δύναμιν συλλέξας καὶ παρελθὼν ὡς ἐπὶ τὴν Κιρραίαν, ἐρρῶσθαι φράσας πολλὰ καὶ Κιρραίοις καὶ Λοκροῖς, τὴν Ἐλάτειαν καταλαμβάνει 153. εἰ μὲν οὖν μὴ μετέγνωσαν εὐθύς, ὡς τοῦτ' εἶδον, οἱ Θηβαῖοι καὶ μεθ' ἡμῶν ἐγένοντο, ὥσπερ χειμάῤῥους ἂν ἅπαν τοῦτο τὸ πρᾶγμα εἰς τὴν πόλιν

152. *καὶ Κιῤῥαίοις*] *καὶ* lectum vulgo ante *Κιῤῥ.* uncis incluserat Reisk., iis autem liberavit Bekk. in prima editione, in altera delevit particulam. Videtur autem retinenda, tum quod plurimi libri eam habent, tum quod ita per partes effertur cuncta Philippum parvi fecisse præ Elatea.

gistratum, penes quem erat *ἡγεμονία δικαστηρίου*, i. e. qui judices vocare judicioque præesse debebat.

151. *ὑφήγησιν*] *Bekk.* Anecd. p. 312. *ὑφήγησις δίκη ἐστὶν κατὰ τῶν ὑποδεξαμένων τὸν εἰργόμενον ὑπὸ τῶν νόμων ἐπιβαίνειν τῆς χώρας, ἢ ὅταν τῶν δημοσίων τι κατέχειν δοκῇ τις κρύφα.* Hic dicitur de eorum accusatione, qui contra leges sacras fanum colerent.

*πόλεμος—ἐταράχθη*] *bellum cum turba commotum est.*

*Κόττυφος*] In secundo, quod sequitur, decreto *Ἀρκὰς* appellatur, ab Æschine *Ctes.* c. 40. *Φαρσάλιος.* Quod si non est ex contra dictis, quorum multa in hac causa solvi non possunt, ille natus fortasse erat in Arcadia, postero vero tempore domicilium constituit Pharsali in Thessalia. [Vid. *Winiewski*, l. c. p. 212.]

*ἐπὶ τὸν Φίλιππον εὐθὺς ἡγεμόνα ἦγον*] sc. *τὸν πόλεμον*, bellum mandare Philippo ut summo duci studuerunt.

152. *ξένους τρέφειν*, conducere peregrinos. *εἰσφέρειν* vidimus generaliter positum de contributione ad res bellicas, inprimis ut stipendia militibus conductis dari possint.

*ζημιοῦν*] inprimis adhibetur de multa, quæ imponitur ei, qui officio non satisfecit nec præstitit quod oportebat.

*ἐῤῥῶσθαι φράσας* est proverbialis quasi locutio, *valedicere alicui*, i. e. parvi habere aliquid, non curare, contemnere.

153. *ὥσπερ χειμάῤῥους*] *Aristides* rhetor T. II. p. 445. Jebb. hunc locum laudans ut exemplum *σεμνότητος* habet *ὥσπερ σκηπτὸς ἢ χειμάῤῥους ἅπαν τοῦτο τὸ πρᾶγμα εἰς τὴν πόλιν εἰσέπεσεν*, eamque lectionem Demostheni reddendam censet *Toupius* ad Longin. p. 308. *Σκηπτὸς* est vel *turbo* vel *fulmen*, tropice de eo, quod vel urat vel disjiciat. *Χειμάῤῥους* autem est *torrens*, tropice quod cum impetu inundet, et ita devastet; utrumque tropum oratoribus usitatum fuisse non negamus,

εἰσέπεσε· νῦν δὲ τό γ' ἐξαίφνης ἐπέσχον αὐτὸν ἐκεῖνοι, μάλιστα μέν, ὦ ἄνδρες Ἀθηναῖοι, θεῶν τινος εὐνοίᾳ πρὸς ὑμᾶς, εἶτα μέντοι, καὶ ὅσον καθ' ἕνα ἄνδρα, καὶ δι' ἐμέ. δὸς δέ μοι τὰ δόγματα ταῦτα καὶ τοὺς χρόνους, ἐν οἷς ἕκαστα πέπρακται, ἵν' εἰδῆτε, ἡλίκα πράγματα ἡ μιαρὰ κεφαλὴ ταράξασα αὕτη δίκην οὐκ ἔδωκε.⊥ 154. λέγε μοι τὰ δόγματα.

## ΔΟΓΜΑ ΑΜΦΙΚΤΥΟΝΩΝ.

"Ἐπὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς Πυλαίας, ἔδοξε τοῖς πυλαγόραις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων καὶ τῷ κοινῷ τῶν Ἀμφικτυόνων, ἐπειδὴ Ἀμφισσεῖς ἐπιβαίνουσιν ἐπὶ τὴν ἱερὰν χώραν καὶ σπείρουσι καὶ βοσκήμασι κατανέμουσιν, ἐπελθεῖν τοὺς πυλαγόρας καὶ τοὺς συνέδρους, καὶ στήλαις διαλαβεῖν τοὺς ὅρους, καὶ ἀπειπεῖν τοῖς Ἀμφισσεῦσι τοῦ λοιποῦ μὴ ἐπιβαίνειν."

## ἝΤΕΡΟΝ ΔΟΓΜΑ.

155. "Ἐπὶ ἱερέως Κλειταγόρου, ἐαρινῆς Πυλαίας, ἔδοξε τοῖς πυλαγόραις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων καὶ τῷ κοινῷ τῶν Ἀμφικτυόνων, ἐπειδὴ οἱ ἐξ Ἀμφίσσης τὴν ἱερὰν χώραν κατανειμάμενοι γεωργοῦσι καὶ βοσκήματα νέμουσι, καὶ κωλυόμενοι τοῦτο ποιεῖν ἐν τοῖς ὅπλοις παραγενόμενοι τὸ

[155. ἐαρινῆς. ὀπωρινῆς corrigit *Reisk.* probante Winiewskio in Comment. histor. p. 215, ubi totus hic locus illustratur.]

sed utrumque conjunctum hoc præsertim loco onerosum est et nimium distrahit. Alterutrum autem graviter animum commovet et implet terrore. [Cf. infra § 194. p. 292. ed. R., ubi vulgo: *ὁ συμβὰς σκηπτὸς ἢ χειμών.*]

*καὶ ὅσον καθ' ἕνα ἄνδρα*] *quantum per unum hominem fieri poterat.* Demosthenes nempe legatus Thebas missus tantum apud Thebanos eloquentia valebat, ut non minus in Thebanorum quam in Atheniensium concionibus dominaretur.

154. *ἐπὶ ἱερέως*] Utrique dogmati eadem est inscriptio. Hoc videtur singulare munus apud Amphictyones fuisse, qui præerat sacrificiis, ritibus sacris et similibus: cujus nomen etiam decretis inscribebatur Amphictyonum nomine scriptis. [Cf. *Boeckh.* in Corp. Inscr. Vol. I. p. 808. a.]

*ἐαρινῆς Πυλαίας*] Hic conventus vere habitus agebatur Delphis, quod patet ex rerum historia.

*σύνεδροι* videntur dici legati minorum civitatum, quæ fœderi Amphictyonico adhærebant. Negari tamen nequit etiam *ἱερομνήμονας* hoc nomine insigniri. Sic Scholiastes a Reiskio e cod. Aug. editus p. 187. *ὁ ἱερομνήμων ἐκαλεῖτο ὁ πεμπόμενος σύνεδρος εἰς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς πόλεως.* Totum autem collegium appellabatur *τὸ συνέδριον, τὸ κοινὸν συνέδριον, τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον.* Quid? quod etiam *ἐκκλησίας* mentio fit: quæ videtur concio fuisse eorum omnium ex Amphictyonibus civitatibus, qui forte fortuna aderant, quum sacra agerentur: et magna videtur multitudo huc confluxisse.

*στήλαις διαλαβεῖν τοὺς ὅρους*] *columnis discernere fines*, terminos constituere locorum, qui Deo sacri sint, quæ fana dicuntur.

κοινὸν τῶν Ἑλλήνων συνέδριον κεκωλύκασι μετὰ βίας, τινὰς δὲ καὶ τετραυματίκασι, [καὶ] τὸν στρατηγὸν τὸν ᾑρημένον τῶν Ἀμφικτυόνων Κόττυφον τὸν Ἀρκάδα πρεσβεῦσαι πρὸς Φίλιππον τὸν Μακεδόνα καὶ ἀξιοῦν, ἵνα βοηθήσῃ τῷ τε Ἀπόλλωνι καὶ τοῖς Ἀμφικτύοσιν, ὅπως μὴ περιίδῃ ὑπὸ τῶν ἀσεβῶν Ἀμφισσέων τὸν θεὸν πλημμελούμενον. καὶ διότι αὐτὸν στρατηγὸν αὐτοκράτορα αἱροῦνται οἱ Ἕλληνες οἱ μετέχοντες τοῦ συνεδρίου τῶν Ἀμφικτυόνων."

Λέγε δὴ καὶ τοὺς χρόνους, ἐν οἷς ταῦτ' ἐγίγνετο· εἰσὶ γὰρ καθ' οὓς ἐπυλαγόρησεν οὗτος. λέγε.

## ΧΡΟΝΟΙ.

"Ἄρχων Μνησιθείδης, μηνὸς Ἀνθεστηριῶνος ἕκτῃ ἐπὶ δεκάτῃ."

156. Δός δή μοι τὴν ἐπιστολὴν, ἥν, ὡς οὐχ ὑπήκουον οἱ Θηβαῖοι, πέμπει πρὸς τοὺς ἐν Πελοποννήσῳ συμμάχους ὁ Φίλιππος, ἵν' εἰδῆτε καὶ ἐκ ταύτης σαφῶς, ὅτι τὴν μὲν ἀληθῆ πρόφασιν τῶν πραγμάτων, τὸ ταῦτ' ἐπὶ τὴν Ἑλλάδα καὶ τοὺς Θηβαίους καὶ ὑμᾶς πράττειν, ἀπεκρύπτετο, κοινὰ δὲ καὶ τοῖς Ἀμφικτύοσι δόξαντα ποιεῖν προσεποιεῖτο· ὁ δὲ τὰς ἀφορμὰς ταύτας καὶ τὰς προφάσεις παρασχὼν αὐτῷ οὗτος ἦν. λέγε.

## ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

157. "Βασιλεὺς Μακεδόνων Φίλιππος Πελοποννησίων τῶν ἐν τῇ συμμαχίᾳ τοῖς δημιουργοῖς καὶ τοῖς συνέδροις καὶ τοῖς ἄλλοις συμμάχοις πᾶσι χαίρειν. ἐπειδὴ Λοκροὶ οἱ καλούμενοι Ὀζόλαι, κατοικοῦντες ἐν Ἀμφίσσῃ, πλημμελοῦσιν εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν Δελφοῖς καὶ τὴν ἱερὰν χώραν ἐρχόμενοι μεθ' ὅπλων λεηλατοῦσι, βούλομαι τῷ θεῷ

155. *πλημμελεῖν*, piaculum admittere; *θεὸς πλημμελούμενος* igitur est Deus, in quem piaculum admittitur.

*Ἄρχων Μνησιθείδης*] Res hæ acciderunt Ol. CX. 2, in quo anno traditur Lysimachides ut archon eponymus.

*Ἀνθεστηριών*, octavus anni Attici mensis, a tertio die Februarii ad quartum Martii.

157. *τοῖς δημιουργοῖς*] *Hesychius* s. v. *δημιουργός, παρὰ τοῖς Δωριεῦσιν οἱ ἄρχοντες, ὥσπερ Ἀθήνησιν οἱ Δήμαρχοι λέγονται.* Scholiastes autem ad Thucyd. I. 56. eos comparat *φυλάρχοις*. Videntur tamen primi magistratus Doriensium *δημιουργοὶ* appellati fuisse eorum instar, qui *πρυτάνεις* erant apud Athenienses, apud Lacedæmonios v. c. *γέροντες*. *σύνεδροι*, qui præterea senatui aderant, ut vates, augures et alii. [Vid. *K. O. Müller.* in Doriensibus. Tom. II. p. 141.] *καὶ τοῖς ἄλλοις συμμάχοις* sunt socii in genere scilicet ii, qui populi concionem constituebant.

μεθ᾽ ὑμῶν βοηθεῖν καὶ ἀμύνασθαι τοὺς παραβαίνοντάς τι τῶν ἐν ἀνθρώποις εὐσεβῶν· ὥστε συναντᾶτε μετὰ τῶν ὅπλων εἰς τὴν Φωκίδα ἔχοντες ἐπισιτισμὸν ἡμερῶν τετταράκοντα, τοῦ ἐνεστῶτος μηνὸς Λῴου, ὡς ἡμεῖς ἄγομεν, ὡς δὲ Ἀθηναῖοι, Βοηδρομιῶνος, ὡς δὲ Κορίνθιοι, Πανέμου. τοῖς δὲ μὴ συναντήσασι πανδημεὶ χρησόμεθα, τοῖς δὲ συμβούλοις ἡμῖν μὴ κειμένοις ἐπιζημίοις. Εὐτυχεῖτε."

158. Ὁρᾶθ᾽, ὅτι φεύγει μὲν τὰς ἰδίας προφάσεις, εἰς δὲ τὰς Ἀμφικτυονικὰς καταφεύγει· τίς οὖν ὁ ταῦτα συμπαρασκευάσας αὐτῷ; τίς ὁ τὰς προφάσεις ταύτας ἐνδούς; τίς ὁ τῶν κακῶν τῶν γεγενημένων μάλιστα αἴτιος; οὐχ οὗτος; μὴ τοίνυν λέγετε, ὦ ἄνδρες Ἀθηναῖοι, περιιόντες, ὡς ὑφ᾽ ἑνὸς τοιαῦτα πέπονθεν ἡ Ἑλλὰς ἀνθρώπου. οὐχ ὑφ᾽ ἑνός, ἀλλ᾽ ὑπὸ πολλῶν καὶ πονηρῶν τῶν παρ᾽ ἑκάστοις, ὦ γῆ καὶ θεοί, 159. ὧν εἷς οὗτός ἐστιν, ὅν, εἰ μηδὲν εὐλαβηθέντα τἀληθὲς εἰπεῖν δέοι, οὐκ ἂν ὀκνήσαιμι ἔγωγε κοινὸν ἀλιτήριον τῶν μετὰ

157. *τοῖς δὲ μὴ συναντήσασι πανδημεὶ χρησόμεθα, τοῖς δὲ συμβούλοις ἡμῖν μὴ κειμένοις ἐπιζημίοις*] Huic loco desperatissimo Schæferus ejectis verbis illis, quæ plurimam afferunt difficultatem, *τοῖς δὲ συμβούλοις ἡμῖν κειμένοις*, mederi voluit. Nec profecto sine emendatione locus videtur intelligi posse, qui verbis forte nescio qua omissis potius quam aliunde illatis laborare videtur. Existimaveram olim sententiam desiderari hujusmodi: *τοῖς μὲν ἡμῖν συναντήσασι πανδημεὶ χρησόμεθα συμβούλοις, τοῖς δ᾽ ἡμῖν μὴ προσκειμένοις ἐπιζημίοις*. Hoc tamen postea abjeci, edoctus ab Hier. Wolfio, cui in emendatione Scrimgeri nostræ simillima *συμβούλοις* recte displicuit et *πανδημεί*. Atque enuntiatum totum continet nescio quid languidi et alieni. Nunc igitur hanc propono emendationem et ad literarum mutationem lenem et ad sensum satis expeditam: *τοῖς δὲ μὴ συναντήσασι πανδημεὶ χρησόμεθα τοῖς διὰ συμβουλῆς* (aut si hæc displicet substantivi forma, *συμβουλίας*) *ἡμῖν κειμένοις ἐπιζημίοις*, hoc sensu: *qui autem non venerint, eos omnibus copiis persequemur, pœnis eos afficientes iis, de quibus in communi consilio* (Amphictyonico) *inter nos convenerat*. *ἐπιζήμιος* nunc non est *mulctæ obnoxius*, ut Schaeferus interpretatus est, sed neutr. plur., *τὰ ἐπιζήμια*, *pœna*. Voculam *μή*, lectam vulgo ante *κειμένοις*, optimorum codd. auctoritati parens omisit Bekker.

159. *οὗτός ἐστιν*] Sic codd. excepto præstantissimo Σ, qui *οὑτοσὶ* exhibit, receptum a Bekkero. V. C. F. R.

*ἐπισιτισμός*, *commeatus*, copiæ frumentariæ et cuncta, quæ ad bellum gerendum sunt necessaria.

*Βοηδρομιών*, tertius mensis anni Attici a 10. Septembris ad 9. Octobris. Decretum autem, quo Philippus imperator Amphictyonum creabatur, erat Anthesterionis 16. Ol. CX. 2. Ergo demum ad sequentis anni mensem tertium armatos adesse jubet socios in Phocide. Sic videtur tempus constituendum, si nulla vis facienda sit vel verbis vel factis.

158. *φεύγει — καταφεύγει*] Consulto opposita. *φεύγειν* est fugere, diligenter celare, nolle videri se uti. *καταφεύγειν* confugere aliquo, velle videri commotum esse aliqua re.

*ἐνδιδόναι*, suppeditare, quasi in manus tradere.

*τῶν παρ᾽ ἑκάστοις*] In singulis enim Græciæ civitatibus erant viri patriæ quidem amantes, qui probe tamen intelligebant populum a demagogis decipi, hinc a Macedonum partibus non alieni.

159. *ἀλιτήριον*] Ita vocabant hominem nefarium, qui facinoribus in Deum vel in patriam patratis auctor erat perniciei multorum. Qui crimen in Deos

ταῦτα ἀπολωλότων ἁπάντων εἰπεῖν, ἀνθρώπων, τόπων, πόλεων. ὁ γὰρ τὸ σπέρμα παρασχών, οὗτος ἦν τῶν φύντων κακῶν αἴτιος, ὃν ὅπως ποτὲ οὐκ εὐθὺς ἰδόντες ἀπεστράφητε, θαυμάζω· πλὴν πολύ τι σκότος, ὡς ἔοικεν, ἐστι παρ' ὑμῖν πρὸ τῆς ἀληθείας.

160. Συμβέβηκε τοίνυν μοι τῶν κατὰ τῆς πατρίδος τούτῳ πεπραγμένων ἁψαμένῳ εἰς ἃ τούτοις ἐναντιούμενος αὐτὸς πεπολίτευμαι ἀφῖχθαι· ἃ πολλῶν μὲν ἕνεκ' ἂν εἰκότως ἀκούσαιτέ μου, μάλιστα δ' ὅτι αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ μὲν τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν πόνων ὑπέμεινα, ὑμεῖς δὲ μηδὲ τοὺς λόγους αὐτῶν ἀνέξεσθε. 161. ὁρῶν γὰρ ἐγὼ Θηβαίους, σχεδὸν δὲ καὶ ὑμᾶς ὑπὸ τῶν τὰ Φιλίππου φρονούντων καὶ διεφθαρμένων παρ' ἑκατέροις, ὃ μὲν ἦν ἀμφοτέροις φοβερὸν καὶ φυλακῆς πολλῆς δεόμενον, τὸ τὸν Φίλιππον ἐᾶν αὐξάνεσθαι, παρορῶντας καὶ οὐδὲ καθ' ἓν φυλαττομένους, εἰς ἔχθραν δὲ καὶ τὸ προσκρούειν ἀλλήλοις ἑτοίμως ἔχοντας, ὅπως τοῦτο μὴ γένοιτο παρατηρῶν διετέλουν, 162. οὐκ ἀπὸ τῆς ἐμαυτοῦ γνώμης μόνον ταῦτα συμφέρειν ὑπολαμβάνων, ἀλλ' εἰδὼς καὶ Ἀριστοφῶντα καὶ πάλιν Εὔβουλον πάντα τὸν χρόνον βουλομένους πρᾶξαι ταύτην τὴν φιλίαν καὶ περὶ τῶν ἄλλων πολλάκις ἀντιλέγοντας ἑαυτοῖς εἰς τοῦθ' ὁμογνωμονοῦντας ἀεί. οὓς σὺ ζῶντας μέν, ὦ κίναδος, κολακεύων παρηκολούθεις, τεθνεώτων δ' οὐκ αἰσθάνει κατηγορῶν· ἃ γὰρ περὶ Θηβαίων

162. *αἰσθάνει*] Bekker. pro vulg. *αἰσχύνῃ* e cod. Σ receperat. Schæferus autem: "vulgata tamen mihi videtur præstabilior," in quo a viro docto dissentio. Nam impudentiæ an imprudentiæ hic locus sit, si quæras, impudentis quidem esse reperies, quem vivum aliquis coluerit, eundem proscindere mortuum conviciis, ut locum habeat non ineptum *αἰσχύνῃ*, multo tamen plura complecti ideoque gravius esse videbis *αἰσθάνει*. Tam cæco enim furore, modo adversario noceat, grassari significat Æschinem, ut oblitus veritatis obliviscatur simul, quantopere viri, quem adulatione olim prosecutus esset, tecte quidem manibus nunc insultet, et mendacii impudentiæ-

commiserat, *θεῶν ἀλιτήριος* dicebatur, qui in civitatem, *τῆς πόλεως ἀλιτήριος*.

*τόποι* inter *ἀνθρώπους* et *πόλεις* videntur esse quæ dicuntur etiam *χωρία*, *fastness*, ubi præsidia habebant Græci tempore belli.

160. *τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν πόνων*] *labores pro vestra salute re ipsa toleratos.* *τοὺς λόγους αὐτῶν*, sc. *τῶν ἔργων*.

161. *σχεδὸν δὲ*] Formula modestiæ: *prope dixerim.*

*παρορᾶν*, negligere, parvi quid facere.

*οὐδὲ καθ' ἕν*, fortis negatio: *nequaquam.*

*ἀλλήλοις*] Thebanis et Atheniensibus, qui inter se simultates exercebant.

*ἀπὸ τῆς ἐμαυτοῦ γνώμης*, mea unius sententia nixus.

162. *κίναδος*] *τό, οὐδετέρως, θηρίον τι, οὗ τὸ δέρμα εἰς περικεφαλαίας κατασκευὴν ἐπεποίητο. Σικελιῶται δὲ τὸ κίναδος ἀλώπεκα ἐκάλουν.* Græcis est convicium usitatum: *improbe, vafer.*

*κολακεύων*] Aristophontis scriba dicitur fuisse Æschines, et ubique a partibus

ἐπιτιμᾷς ἐμοὶ ἐκείνων πολὺ μᾶλλον ἢ ἐμοῦ κατηγορεῖς, τῶν πρότερον ἢ ἐγὼ ταύτην τὴν συμμαχίαν δοκιμασάντων. 163. ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι τὸν ἐν Ἀμφίσσῃ πόλεμον, τούτου μὲν ποιήσαντος, συμπεραναμένων δὲ τῶν ἄλλων τῶν συνεργῶν αὐτῷ τὴν πρὸς Θηβαίους ἔχθραν, συνέβη τὸν Φίλιππον ἐλθεῖν ἐφ' ἡμᾶς, οὗπερ ἕνεκα τὰς πόλεις οὗτοι συνέκρουον· καὶ εἰ μὴ προεξανέστημεν μικρόν, οὐδ' ἀναλαβεῖν αὑτοὺς ἂν ἠδυνήθημεν· οὕτω μέχρι πόῤῥω προήγαγον οὗτοι τὸ πρᾶγμα. ἐν οἷς δ' ἦτε ἤδη τὰ πρὸς ἀλλήλους, τουτωνὶ τῶν ψηφισμάτων ἀκούσαντες καὶ τῶν ἀποκρίσεων εἴσεσθε. καί μοι λέγε ταῦτα λαβών.

## ΨΗΦΙΣΜΑ.

164. "Ἐπὶ ἄρχοντος Ἡροπύθου, μηνὸς Ἐλαφηβολιῶνος ἕκτῃ φθίνοντος, φυλῆς πρυτανευούσης Ἐρεχθηΐδος, βουλῆς καὶ στρατηγῶν γνώμη, ἐπειδὴ Φίλιππος ἃς μὲν κατείληφε πόλεις τῶν ἀστυγειτόνων, τινὰς δὲ πορθεῖ, κεφαλαίῳ δὲ ἐπὶ τὴν

que duplici suscepto opprobrio judicum mentes a se ipse sit abalienaturus. Probabiliorem etiam dixeris Bekkeri lectionem, si inspecto Æschine adv. Ctes. § 138 sqq. Eubulum ne nominatum quidem, Aristophontem autem Azenieum ita commemoratum videris, ut hujus viri, quanquam *πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείναντα αἰτίαν* dicat, verecunde tamen et honorifice Æschines meminerit.

163. *μικρὸν*] *σμικρὸν* in priore editione dedit Bekkerus, in altera codd. lectionem *μικρὸν* recte revocavit. Quanquam res levis sit, quo levior, eo magis sunt codd. sequendi. Non ignoro Grammaticos nonnullos docuisse *σμικρὸν* esse *Ἀττικόν, μικρὸν κοινόν.* Parum accurate, *σμικρὸν* est dialecti Ionicæ, et ex hac transiit in Atticam antiquam, et sic scripsit Thucydides, Aristophanes. Apud Atticos vero oratores jam desiit esse in usu.

Eubuli stabat, cujus auctoritate eum accusatum a Demosthene Περὶ Παραπρεσβείας liberatum tradunt.—*παρακολουθεῖν* c. accus. rarum et dubium est; *περιακολουθεῖν* c. accus. melius videtur, quod fortasse hic restituendum esse opinatur *Lobeck.* ad Phryn. p. 354. not.*). *οὓς* tamen jungi potest cum *κολακεύων*, et tum *παρακολουθεῖν* sine casu positum est, quemadmodum sæpe antiqui semel tantum nomen aut pronomen duobus verbis jungunt, quæ singula per se diversam habent constructionem.

163. *ἀναλαβεῖν αὑτούς*] reflexivum tertiæ personæ h. l. est pro prima persona *ἡμᾶς αὐτούς.* Hunc usum pronominis a quibusdam etiam recentioribus rejectum vindicavi ad *Æschinem* in Tim. § 34.

164. *Ἡροπύθου*] Hunc oportet fuisse pseudeponymum. Elaphebolion est nonus mensis anni Attici, a 4. Mart. ad 3. April; Thargelion autem undecimus, noster Maius. [In Locridem irrupit Philippus Ol. 110, 2, quo anno Lysimachides erat eponymus, non Heropythes. Vid. *Boeckh.* de Archont. Pseudep. p. 141. 150. Res, de quibus agitur, illustrat *Winiewski* l. c. p. 227 ss. F. I.]

*βουλῆς καὶ στρατηγῶν γνώμῃ*] *στρατηγῶν* mentio ea de causa fit, quia *στρατηγοὶ* una cum senatu populi convocandi et legatorum mittendorum auctores fuerant.

*πόλεις τῶν ἀστυγειτόνων*] Non video quidem, cur quicquam in hac constructione damnandum sit; non dissimulandum tamen, frequentiorem apud oratores esse constructionem *πόλεις ἀστυγείτονας*

Ἀττικὴν παρασκευάζεται παραγίγνεσθαι, παρ' οὐδὲν ἡγούμενος τὰς ἡμετέρας συνθήκας, καὶ τοὺς ὅρκους λύειν ἐπιβάλλεται καὶ τὴν εἰρήνην, παραβαίνων τὰς κοινὰς πίστεις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ πέμπειν πρὸς αὐτὸν πρέσβεις, οἵτινες αὐτῷ διαλέξονται, καὶ παρακαλέσουσιν αὐτὸν μάλιστα μὲν τὴν πρὸς ἡμᾶς ὁμόνοιαν διατηρεῖν καὶ τὰς συνθήκας, εἰ δὲ μή, πρὸς τὸ βουλεύσασθαι δοῦναι χρόνον τῇ πόλει, καὶ τὰς ἀνοχὰς ποιήσασθαι μέχρι τοῦ Θαργηλιῶνος μηνός. ᾑρέθησαν ἐκ τῆς βουλῆς Σῖμος Ἀναγυράσιος, Εὐθύδημος Φλυάσιος, Βουλαγόρας Ἀλωπεκῆθεν."

## ἝΤΕΡΟΝ ΨΗΦΙΣΜΑ.

165. "Ἐπὶ ἄρχοντος Ἡροπύθου, μηνὸς Μουνυχιῶνος ἕνῃ καὶ νέᾳ, πολεμάρχου γνώμῃ, ἐπειδὴ Φίλιππος εἰς ἀλλοτριότητα Θηβαίους πρὸς ἡμᾶς ἐπιβάλλεται καταστῆσαι, παρεσκεύασται δὲ καὶ παντὶ τῷ στρατεύματι πρὸς τοὺς ἔγγιστα τῆς Ἀττικῆς παραγίγνεσθαι τόπους, παραβαίνων τὰς πρὸς ἡμᾶς ὑπαρχούσας αὐτῷ συνθήκας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ πέμψαι πρὸς αὐτὸν κήρυκα καὶ πρέσβεις, οἵτινες ἀξιώσουσι καὶ παρακαλέσουσιν αὐτὸν ποιήσασθαι τὰς ἀνοχάς, ὅπως ἐνδεχομένως ὁ δῆμος βουλεύσηται· καὶ γὰρ νῦν οὐ κέκρικε βοηθεῖν ἐν οὐδενὶ τῶν μετρίων. ᾑρέθησαν ἐκ τῆς βουλῆς

165. *βουλεύσηται*] *βουλεύσεται* Bekker. in priore editione, in altera restituit codd. et edd. lectionem *βουλεύσηται*. Et guademus virum doctissimum vanæ recentiori tempore invectæ opinioni valedixisse, *ὅπως* finale cum aoristo 1. conjunctivi formæ activæ et mediæ ab Atticis constructum non fuisse. Ego quidem nunquam idoneam rationem invenire potui, cur huic aoristo hæc venia denegetur. Cur enim aoristus primus formæ passivæ veniam impetravit, ceterarum formarum non item? Nimirum quia ille correctioni non improbabili prorsus resistebat. Plura dixi in notis ad *Demosth.* Sect. I. p. 74. s.

*παρ' οὐδὲν ἡγούμενος*] *παρα* cum acc. inservit *comparationi*. Hinc *παρ' οὐδὲν ἡγεῖσθαι* est *nihilo æquiparare*, vel quod dici solet *nihili æstimare*.

*ἐπιβάλλεσθαι* in medio est *aggredi, conari*, sive corpore sive animo; hoc tamen frequentius.

*διαλέγεσθαι* sæpe dicitur de amica et blanda compellatione ejus, qui præsertim n rebus publicis aliquid efficere studet.

165. *Μουνυχιὼν* est decimus mensis anni Attici, a 2. Apr. ad 1. Maii.

*πολεμάρχου γνώμῃ*] Archon tertius, qui Polemarchi titulum habebat, ferebat ad populum de legatis mittendis.

*ἐνδεχομένως*] rarum apud Atticos adverbium derivatum ab *ἐνδέχεσθαι*, et quidem ea significatione, quam habet impersonale *ἐνδέχεται*, *fieri potest, licet*. Ergo *ἐνδεχομένως*, *pro rerum conditione, quantum fieri potest*.

*καὶ γὰρ νῦν οὐ κέκρικε βοηθεῖν ἐν οὐδενὶ τῶν μετρίων*] Quum Philippus excisis Phocensium oppidis prope jam Atticis finibus imminere videretur, priusquam Elateam cepisset, oratores ad eum ab Atheniensibus missi sunt postulantes, ut amicitiam et fœdera cum Atheniensibus juncta servaret: sin minus, deliberandi spatium daret induciasque faceret. Quod

Νέαρχος Σωσινόμου, Πολυκράτης Ἐπίφρονος, καὶ κῆρυξ Εὔνομος Ἀναφλύστιος ἐκ τοῦ δήμου."

166. Λέγε δὴ καὶ τὰς ἀποκρίσεις.

## ΑΠΟΚΡΙΣΙΣ ΑΘΗΝΑΙΟΙΣ.

"Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἣν μὲν ἀπ' ἀρχῆς εἴχετε πρὸς ἡμᾶς αἵρεσιν, οὐκ ἀγνοῶ, καὶ τίνα σπουδὴν ποιεῖσθε προσκαλέσασθαι βουλόμενοι Θετταλοὺς καὶ Θηβαίους, ἔτι δὲ καὶ Βοιωτούς· βέλτιον δ' αὐτῶν φρονούντων καὶ μὴ βουλομένων ἐφ' ὑμῖν ποιήσασθαι τὴν ἑαυτῶν αἵρεσιν, ἀλλὰ κατὰ τὸ συμφέρον ἱσταμένων, νῦν ἐξ ὑποστροφῆς ἀποστείλαντες ὑμεῖς πρός με πρέσβεις καὶ κήρυκα συνθηκῶν μνημονεύετε, καὶ τὰς ἀνοχὰς

166. πρός με] Notandum hoc, quod recentissima ætate viri quidam docti ex Atticis scriptoribus ejicere studuerunt, ubique scribentes πρὸς ἐμέ, quod dedit etiam Bekk. in priore editione contra libros.

quum rex minus videretur ex Atheniensium voluntate administrasse, legatio altera missa est cum iisdem fere postulatis, addito tamen ad rei gravitatem indicandam præcone, qui juberent regem inducias facere, ὅπως ἐνδεχομένως ὁ δῆμος βουλεύσηται, *ut populus, quoad ejus fieri posset, deliberaret*, καὶ γὰρ νῦν κ. τ. λ. Quem locum, quum *Taylorus* deploratum pronuntiasset, *Reiskius* de verbo Latine ita reddidit: *nunc enim decrevit populus Ath. non succurrere, in re id quidem ulla de tolerabilibus*, eumque interpretatus est hoc modo: "Pop. Ath. adhuc quidem, quicquid agat instituatque Philippus, quod quidem tolerabile sit, in eo non adversari, neque id missis copiis disturbare. Vel potest quoque sic accipi: decrevisse P. Ath. nullum capere consilium, quo suæ saluti tutelæque finium suorum provideat, dummodo tolerabiles sint quas Philippus ferat conditiones." Reiskio adstipulatur *Schæferus* addens: "vide autem, quantopere et quam brevi tempore spiritus civitatis subsederint." Liceat autem fateri hinc inprimis dubitationem mihi esse subortam. Non enim credibile est Athenienses a decertando cum Philippo tum quidem, ut eventus docuit, non ita prorsus abhorrentes tam submisse tamque desperanter esse locutos, ut a summis conatibus regem minus avocaturi quam ad eosdem fuissent invitaturi. Deinde vide, ne melius conveniant Reiskianæ sententiæ hæc verba: καὶ γὰρ νῦν ἐψήφισται μὴ βοηθεῖν ἐν μηδενὶ τῶν μετρίων. Dicam, quod sentio. Nam quum rex ad primam legationem responsum dedisset aut nullum aut mite quidem placatumque, cui tamen contraria essent ea, quæ gererentur, verisimile est, ut Athenienses altera legatione accuratius cum rege agere voluerint et hujusmodi aliquid significarint, rem opinione ulterius progredi; deliberandi tempus se postulare, sentire enim sese non leve esse id, cujus causa nunc opem laturi essent. Hæc autem ipsa sententia inesse videtur in verbis καὶ γὰρ νῦν οὐ κέκρικε—μετρίων, quæ hoc modo interpretamur: *etenim nunc non exploratum habet populus in aliqua re ex mediocribus se ferre opem.* Βοηθεῖν autem quum non sit dubium, quin aliquis possit aut armis aut pactionibus, utrum velint in ambiguo relinquunt, ut minæ illæ quædam temperatæ pacis amicitiæque jactatione videantur. Quantum autem diligentiæ verborum electioni in scriptis publicis tribuerint Athenienses, cognosci potest ex *Æschine* adv. Ctes. § 142. Bekk.

166. αἵρεσιν] ut vocabulum civile, significat *rationem rerum civilium, political party or principles.*

ἐφ' ὑμῖν ποιήσασθαι τὴν ἑαυτῶν αἵρεσιν] vobis subjicere suam rationem, eam accommodare ad vestrum arbitrium.

ἐξ ὑποστροφῆς] In ὑποστρέφειν et derivatis inest plerumque callida et dolosa consilii mutatio.

αἰτεῖσθε, κατ' οὐδὲν ὑφ' ἡμῶν πεπλημμελημένοι. ἐγὼ μέντοι ἀκούσας τῶν πρεσβευτῶν συγκατατίθεμαι τοῖς παρακαλουμένοις, καὶ ἕτοιμός εἰμι ποιεῖσθαι τὰς ἀνοχάς, ἄνπερ τοὺς οὐκ ὀρθῶς συμβουλεύοντας ὑμῖν παραπέμψαντες τῆς προσηκούσης ἀτιμίας ἀξιώσητε. ἔρρωσθε."

## ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΟΙΣ.

167. "Βασιλεὺς Μακεδόνων Φίλιππος Θηβαίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἐκομισάμην τὴν παρ' ὑμῶν ἐπιστολήν, δι' ἧς μοι τὴν ὁμόνοιαν καὶ τὴν εἰρήνην ἀνανεοῦσθε. πυνθάνομαι μέντοι, διότι πᾶσαν ὑμῖν Ἀθηναῖοι προσφέρονται φιλοτιμίαν βουλόμενοι ὑμᾶς συγκαταίνους γενέσθαι τοῖς ὑπ' αὐτῶν παρακαλουμένοις. πρότερον μὲν οὖν ὑμῶν κατεγίγνωσκον ἐπὶ τῷ μέλλειν πείθεσθαι ταῖς ἐκείνων ἐλπίσι καὶ ἐπακολουθεῖν αὐτῶν τῇ προαιρέσει. νῦν δ' ἐπιγνοὺς ὑμᾶς τὴν πρὸς ἡμᾶς ἐζητηκότας ἔχειν εἰρήνην μᾶλλον ἢ ταῖς ἑτέρων ἐπακολουθεῖν γνώμαις, ἥσθην· καὶ μᾶλλον ὑμᾶς ἐπαινῶ κατὰ πολλά, μάλιστα δ' ἐπὶ τῷ βουλεύσασθαι περὶ τούτων ἀσφαλέστερον, καὶ τὰ πρὸς ἡμᾶς ἔχειν ἐν εὐνοίᾳ· ὅπερ οὐ μικρὰν ὑμῖν οἴσειν ἐλπίζω ῥοπήν, ἐάνπερ ἐπὶ ταύτης μένητε τῆς προθέσεως. ἔρρωσθε."

168. Οὕτω διαθεὶς ὁ Φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσιν, ἧκεν ἔχων τὴν δύναμιν, καὶ τὴν Ἐλάτειαν κατέλαβεν, ὡς οὐδ' ἄν, εἴ τι γένοιτο, ἔτι συμπνευσόντων ὑμῶν καὶ

*τῶν πρεσβευτῶν*] Notandum hunc pluralem esse in epistola Philippi, nec inde concludi posse Atticis eum scriptoribus esse usitatum: apud quos pluralis *πρέσβεις* est frequentissimus, quum singularis sit *πρεσβευτής*.

167. *φιλοτιμία*] H. l. studium, contentio.

*συγκαταίνους*] Vocabulum rarum nec tamen dubiæ significationis, *qui assentitur, adjuvat*.

*καταγιγνώσκειν* plerumque in malam partem dicitur, ut hic: vos reprehendens vobis indignans, inique judicabam. *κατὰ* in compositione sæpe notionem vituperii habet, alienam ab aliquo.

*τὰ πρὸς ἡμᾶς*] accusativus, *κατὰ τὰ πρὸς ἡμᾶς*, ratione rerum nostrarum, *in relation to our affairs*. *Reiskius* ex aliquot codd. dedit *τὴν* pro *τά*, relatum ad *εἰρήνην*, quæ est correctio grammatici.

*ῥοπή*] *ῥέπειν* proprie dicitur de lance, vel quod ei impositum est, *vergere, præponderare*; tropice est *propensum esse*. *ῥοπὴ* proprie est devergentia lancis, tum pondus, quod facit, ut lanx devergat; tropice *momentum, utilitas*.

*πρόθεσις*, quod aliquis sequendum et in agendo tenendum sibi proposuit, ratio.

168. *ὡς οὐδ' ἂν εἴ τι γένοιτο ἔτι συμπνευσόντων ἡμῶν καὶ τῶν Θηβαίων*] Οὐδ' ἂν *εἴ τι γένοιτο* est formula absolute negans, in qua *εἴ τι γένοιτο* euphemisticum est: ne tum quidem, si vel gravissimum accidisset, i. e. *nequaquam, nullo modo*. *ἂν* post *συμπνευσόντων* delevit cum plurimis codd. Bekker. et in hac re obtemperandum est optimis libris. Alias hæc particulæ repetitio ejusmodi foret, quæ sæpissime legitur apud optimos Græcos scriptores. Nempe negationi ab initio

τῶν Θηβαίων. ἀλλὰ μὴν τὸν τότε συμβάντα ἐν τῇ πόλει θόρυβον ἴστε μὲν ἅπαντες, μικρὰ δ' ἀκούσατε ὅμως, αὐτὰ τἀναγκαιότατα.

169. Ἑσπέρα μὲν γὰρ ἦν· ἧκε δ' ἀγγέλλων τις ὡς τοὺς πρυτάνεις, ὡς Ἐλάτεια κατείληπται. καὶ μετὰ ταῦτα οἱ μὲν εὐθὺς ἐξαναστάντες μεταξὺ δειπνοῦντες τούς τ' ἐκ τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον καὶ τὰ γέῤῥα ἐνεπίμπρασαν, οἱ δὲ τοὺς στρατηγοὺς μετεπέμποντο, καὶ τὸν σαλπιγκτὴν ἐκάλουν, καὶ θορύβου πλήρης ἦν ἡ πόλις. τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ οἱ μὲν πρυτάνεις τὴν βουλὴν ἐκάλουν εἰς τὸ βουλευτήριον, ὑμεῖς δ' εἰς τὴν ἐκκλησίαν ἐπορεύεσθε, καὶ πρὶν ἐκείνην χρηματίσαι καὶ προβουλεῦσαι, πᾶς ὁ δῆμος ἄνω καθῆτο. 170. καὶ μετὰ ταῦτα ὡς εἰσῆλθεν ἡ βουλή, καὶ ἀπήγγειλαν οἱ πρυτάνεις τὰ προσηγγελμένα ἑαυτοῖς καὶ τὸν ἥκοντα παρήγαγον, κἀκεῖνος εἶπεν, ἠρώτα μὲν ὁ κήρυξ "τίς ἀγορεύειν βούλεται;" παρῄει δ' οὐδείς. πολλάκις δὲ τοῦ κήρυκος ἐρω-

169. σαλπιγκτήν] Variant codd. inter hoc et σαλπικτήν. Phrynichus p. 191. σαλπικτὴς, inquit, τὸ δόκιμον διὰ τοῦ κ. οὐχὶ δὲ διὰ τοῦ σ. καὶ τὸ σαλπίσαι διὰ τοῦ σ. παραιτοῦ, ἀδόκιμον γάρ. διὰ τοῦ ξ δὲ λέγε; ubi docet Lobeck, formam διὰ τοῦ γ κ maximam ab exemplorum multitudine et vetustate auctoritatem habere. σαλπισταὶ recentiorum est, legiturque etiam in libris sacris.

positæ additur ἄν, ut statim intelligatur, qualis secutura sit enuntiatio; tum post enuntiationem interjectam repetita particula adhæret verbo enuntiationis jam ante per particulam annuntiatæ. Ceterum notandum ἂν cum futuro: quam constructionem defendens *F. A. Wolfius* ad Leptin. p. 343: "Sunt in Atticis quoque, inquit, exempla particulæ ἂν cum futuro junctæ, atque erunt plura, quo correctius id genus scriptorum editum erit."

αὐτὰ τἀναγκαιότατα] αὐτά, *sola*, nonnisi ea, quæ sunt maxime necessaria. Ceterum quæ sequitur narratio ob simplicitatem et gravitatem merito laudata, atque etiam ab historicis in usum conversa est. Summa ejus præstantia ex eo ab omnibus intelligitur, quod se quisque opinetur hæc ita narraturum fuisse, nec alia ratione narrari posse.

169. ἐκ τῶν σκηνῶν] σκηναὶ sunt tentoria, in quibus merces expositæ vendebantur. Videntur ex tempore constructa fuisse ex tabulis plerumque ligneis. Γέῤῥα sunt proprie clypei viminei Persarum; deinde tegumenta quævis, ad rem cooperiendam et tutandam apta. Poterant vel ex pelle vel ex vimine vel ex alia simili materia facta esse. *Harpocration* s. v. γέῤῥα: ἅπαν σκέπασμα εἴτε δερμάτινον εἴη εἴτε ἄλλης τινὸς ὕλης. Quum seriæ res essent in foro agendæ, tentoria hæc cum tegumentis erant tollenda. Causam combustionis hanc affert *Harpocration*: ὑπὲρ τοῦ μὴ συνεστάναι περὶ τὰ ὤνια ἐπὶ τῆς ἀγορᾶς μηδὲ πρὸς ἄλλοις τισὶ τὰς διατριβὰς ἔχειν.

τὸ βουλευτήριον] Prope ἀκρόπολιν curia fuisse dicitur.

χρηματίσαι καὶ προβουλεῦσαι] χρηματίζειν verbum esse proprium de ratione res ad populum referendi monuimus ad § 75. Id fiebat per προβούλευμα. Hinc h. l. χρηματίσαι καὶ προβουλεῦσαι conjuncta.

ἄνω καθῆτο] ἄνω, scil. in Pnyce, qui erat locus comitiorum: quem locum in clivo fuisse monuimus ad § 55. Hinc propria est locutio ἀναβαίνειν εἰς ἐκκλησίαν.

170. οἱ πρυτάνεις] toti collegio tribuitur quod erat præsidis, ἐπιστάτου.

τίς ἀγορεύειν βούλεται;] Quum ἐπιστάτης dicendi potestatem in concione faciebat, præco interrogabat: τίς ἀγορεύειν βούλεται; Sed ex vetere Solonis

τῶντος, οὐδὲν μᾶλλον ἀνίστατ᾽ οὐδείς, ἁπάντων μὲν τῶν στρατηγῶν παρόντων, ἁπάντων δὲ τῶν ῥητόρων, καλούσης δὲ τῇ κοινῇ τῆς πατρίδος φωνῇ τὸν ἐροῦνθ᾽ ὑπὲρ σωτηρίας· ἣν γὰρ ὁ κῆρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν τῆς πατρίδος δίκαιόν ἐστιν ἡγεῖσθαι. 171. καίτοι εἰ μὲν τοὺς σωθῆναι τὴν πόλιν βουλομένους παρελθεῖν ἔδει, πάντες ἂν ὑμεῖς καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἀναστάντες ἐπὶ τὸ βῆμα ἐβαδίζετε· πάντες γάρ, οἶδ᾽ ὅτι, σωθῆναι αὐτὴν ἠβούλεσθε· εἰ δὲ τοὺς πλουσιωτάτους, οἱ τριακόσιοι· εἰ δὲ τοὺς ἀμφότερα ταῦτα, καὶ εὔνους τῇ πόλει καὶ πλουσίους, οἱ μετὰ ταῦτα τὰς μεγάλας ἐπιδόσεις ἐπιδόντες· καὶ γὰρ εὐνοίᾳ καὶ πλούτῳ τοῦτ᾽ ἐποίησαν. 172. ἀλλ᾽, ὡς ἔοικεν, ἐκεῖνος ὁ καιρὸς καὶ ἡ ἡμέρα ἐκείνη οὐ μόνον εὔνουν καὶ πλούσιον ἄνδρα ἐκάλει, ἀλλὰ καὶ παρηκολουθηκότα τοῖς πράγμασιν ἐξ ἀρχῆς καὶ συλλελογισμένον ὀρθῶς, τίνος ἕνεκα ταῦτ᾽ ἔπραττεν ὁ Φίλιππος καὶ τί βουλόμενος· ὁ γὰρ μὴ ταῦτ᾽ εἰδὼς μηδ᾽ ἐξητακὼς πόρρωθεν ἐπιμελῶς, οὔτ᾽ εἰ εὔνους ἦν οὔτ᾽ εἰ πλούσιος, οὐδὲν μᾶλλον ἤμελλεν, ὅ τι χρὴ ποιεῖν εἴσεσθαι οὐδ᾽ ὑμῖν ἕξειν

171. *πάντες γὰρ οἶδ᾽ ὅτι*] Bekker. cum uno, sed optimo cod. in recentissima editione *εὖ* ante *οἶδ᾽* delevit: in quo Reiskium sane, si viveret, non assentientem haberet. Is enim tantopere abhorrebat ab emphatico verborum usu, inprimis verbi *οἶδα*, ut sæpe contra libros ex sola conjectura *εὖ* adderet, donec aliquando tamen eo intelligentiæ pervenerit, ut ad p. 717. l. 8, ubi legitur *οἶδ᾽ ὅτι φήσαιτ᾽ ἄν*, dicat: pro *εὖ οἶδ᾽ ut sæpe noster.*

instituto primo loco provocandi erant *οἱ ὑπὲρ πεντήκοντα ἔτη γεγονότες*, post eos demum e reliquis omnes, quibus dicere liceret, *οἷς ἔξεστι βουλομένοις*. Dudum autem illud institutum neglectum et obliteratum erat, et homines sæpe adolescentuli, vix epheborum numero egressi, prudentia exigua, temeritate autem et loquacitate magna, de maximis rebus primi disserebant et soli nonnunquam occupabant suggestum.

*οὐδὲν μᾶλλον*] ut fortem negationem Atticam Grammatici notarunt. Invenitur autem *οὐδὲν τι μάλλον*. Respondet Latinorum *[illegible]*. Multa habent interpretes ad *Gregor. Corinthium* p. 60.

*τῶν ῥητόρων*] *ῥήτορες* dicuntur *κατ᾽ ἐξοχὴν* qui in comitiis verba faciunt, et sua sponte, eloquentia et rerum peritia confisi, rempublicam capessebant. Appellantur etiam *δημήγοροι*, aut, si eximia apud populum auctoritate florent, *δημαγωγοί*.

171. *ἔδει—ἂν—ἐβαδίζετε*] Notandum quod h. l. imperfecta in protasi cum *εἰ* et in apodosi cum *ἂν* vim habent plusquamperfecti conjunctivi Latinorum: qua quidem significatione Græci plerumque ponere solent aoristum, imperfectum autem tum, quum Latine utendum sit imperfecto conjunctivi. Interdum tamen, ut h. l., imperfectum ponunt pro aoristo.

*οἱ τριακόσιοι*] Hi trecenti, ditissimi ex symmoriis (vide § 102), principes erant in conferendo, et urgente bello pecuniam repræsentabant, quam deinde minus iniquo tempore a tenuioribus redigerent.

*ἐπιδόσεις* sunt voluntariæ collationes, quibus pro suis quisque facultatibus cives patriæ amantes reipublicæ subveniebant, si majoribus pecuniis opus erat, quam ærarium præstare poterat. Ad *ἐπίδοσιν* nemo invitus cogebatur. Sed ut turpe *μὴ ἐπιδιδόναι*, sic *ἐπίδοσις* laudis erat.

*συμβουλεύειν.* 173. *ἐφάνην τοίνυν οὗτος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγώ, καὶ παρελθὼν εἶπον εἰς ὑμᾶς ἅ μου δυοῖν ἕνεκ᾽ ἀκούσατε προσέχοντες τὸν νοῦν, ἑνὸς μέν, ἵν᾽ εἰδῆτε, ὅτι μόνος τῶν λεγόντων καὶ πολιτευομένων ἐγὼ τὴν τῆς εὐνοίας τάξιν ἐν τοῖς δεινοῖς οὐκ ἔλιπον, ἀλλὰ καὶ λέγων καὶ γράφων ἐξηταζόμην τὰ δέονθ᾽ ὑπὲρ ὑμῶν ἐν αὐτοῖς τοῖς φοβεροῖς, ἑτέρου δέ, ὅτι μικρὸν ἀναλώσαντες χρόνον πολλῷ πρὸς τὰ λοιπὰ τῆς πάσης πολιτείας ἔσεσθ᾽ ἐμπειρότεροι.* 174. *εἶπον τοίνυν, ὅτι τοὺς μέν, ὡς ὑπαρχόντων Θηβαίων Φιλίππῳ φίλων, λίαν θορυβουμένους ἀγνοεῖν τὰ παρόντα πράγματα ἡγοῦμαι· εὖ γὰρ οἶδ᾽, ὅτι, εἰ τοῦθ᾽ οὕτως ἐτύγχανεν ἔχον, οὐκ ἂν αὐτὸν ἠκούομεν ἐν Ἐλατείᾳ νῦν ὄντα, ἀλλ᾽ ἐπὶ τοῖς ἡμετέροις ὁρίοις· ὅτι μέντοι, ἵν᾽ ἕτοιμα ποιήσηται τὰ ἐν Θήβαις, ἥκει, σαφῶς ἐπίσταμαι. ὡς δ᾽ ἔχει, ἔφην, ταῦτα, ἀκούσατέ μου.* 175. *ἐκεῖνος ὅσους ἢ πεῖσαι χρήμασι Θηβαίων ἢ ἐξαπατῆσαι ἐνῆν, ἅπαντας ηὐτρέπισται, τοὺς δ᾽ ἀπ᾽ ἀρχῆς ἀνθεστηκότας αὐτῷ καὶ νῦν*

173. *δυοῖν ἕνεκ᾽*] In recentissima editione Bekk. scripsit *δυοῖν* ex omnibus codd. præter duos, e quibus notatur *δυεῖν*, quod vulgo fertur. Fuerunt Grammatici, qui hoc *δυεῖν* ut elegantiam Atticam ubique obtruderent. Verius, opinor, ii, qui docuerunt *δυεῖν ἐπὶ μόνης γενικῆς τίθεσθαι, οὐχὶ δὲ δοτικῆς.* In Demosthene autem ubique ab optimis libris offertur *δυοῖν*, a paucis et deterioribus fere *δυεῖν.* In tragicis plerumque *δυοῖν*, raro *δυεῖν.* Videntur antiquiores Attici, v. c. Thucydides, *δυεῖν* in genitivo amasse. Postea evanuit: recentioribus autem Græcis iterum in deliciis erat.

174. *Φιλίππῳ φίλων*] Scholiastes, qui in suo codice invenerat, quod est in multis aliis, *φίλων Φιλίππῳ*, appellat *παρίσωσιν κατὰ τὴν ἀρχήν*, hoc est: opinatur Demosthenem consulto propter æqualitatem soni ab initio vocabulorum ea conjunxisse. Sed hanc figuram, qua Demosthenes raro et caute utitur, non videtur in tam gravi momento adhibuisse. Lusus enim esset inanis soni, quum nulla vis sit in ipsa conjunctione vocabulorum. Hinc plane assentior Bekkero, qui ex optimo codice *φίλων* delevit: quod vocabulum adjectum a glossatoribus fuisse, qui *ὑπαρχόντων* pro *ὄντων* dictum judicabant, etiam ex eo fit probabile, quod in aliis codd. ante, in aliis post *Φιλίππῳ* positum sit. *ὑπάρχειν τινὶ* autem absolute interdum dicitur vel amicum esse alicui, vel alicui subjectum. Περὶ Παραπρ. p. 384. *καὶ ὅλην δὲ τὴν πόλιν οὕτω καὶ σφᾶς ὑπάρξειν αὐτῷ*—et sæpius in eadem oratione. Quid? quod Tiberius rhetor, qui hunc locum laudat p. 63. Boiss. hoc vocabulum in suo codice non invenit. Hunc enim locum, ut exemplum *ἐλλείψεως* affert, et ait *ἐλλείπειν τὸ φίλων καὶ συμμάχων*: quæ notio inest in ipso verbo *ὑπάρχειν.*

175. *ηὐτρέπισται*] Bekk. in recentissima editione hanc codd. omnium (præter unum Σ. qui *εὐτρέπισται* exhibet) scripturam servavit. Jam antiqui Grammatici in diversa abierunt de augmento verborum ab *εὐ* incipientium. Nec recentiores consentiunt. Germani v. c. in tragicorum cdd. augmentum horum verborum omittere solent, Angli addere. Tutissimum videtor sine ira et studio codd. adhærere, et si quando omnium Græcorum scriptorum editiones habebimus ad fidem codd. MSS. accurate expressas, tum forsitan poterimus constituere regulas, quibus in verbis et quibus sub rationibus Græci in his verbis augmentum et addiderint et omiserint.

173. *ἐξετάζεσθαι* de eo, qui in rebus dubiis et periculosis vel animum vel fidem exploratus et spectatus est, *to be proved.*

*ἐν αὐτοῖς τοῖς φοβεροῖς*] *in ipsis terroribus*, discriminibus.

ἐναντιουμένους οὐδαμῶς πεῖσαι δύναται. τί οὖν βούλεται, καὶ τίνος ἕνεκα τὴν Ἐλάτειαν κατείληφε; πλησίον δύναμιν δείξας καὶ παραστήσας τὰ ὅπλα, τοὺς μὲν ἑαυτοῦ φίλους ἐπᾶραι καὶ θρασεῖς ποιῆσαι, τοὺς δ' ἐναντιουμένους καταπλῆξαι, ἵν' ἢ συγχωρήσωσι φοβηθέντες ἃ νῦν οὐκ ἐθέλουσιν, ἢ βιασθῶσιν. 176. εἰ μὲν οὖν προαιρησόμεθ' ἡμεῖς, ἔφην, ἐν τῷ παρόντι, εἴ τι δύσκολον πέπρακται Θηβαίοις πρὸς ἡμᾶς, τούτου μεμνῆσθαι καὶ ἀπιστεῖν αὐτοῖς ὡς ἐν τῇ τῶν ἐχθρῶν οὖσι μερίδι, πρῶτον μέν, ἃ ἂν εὔξαιτο Φίλιππος, ποιήσομεν, εἶτα φοβοῦμαι, μή, προσδεξαμένων τῶν νῦν ἀνθεστηκότων αὐτῷ καὶ μιᾷ γνώμῃ πάντων φιλιππισάντων, εἰς τὴν Ἀττικὴν ἔλθωσιν ἀμφότεροι. ἂν μέντοι πεισθῆτ' ἐμοί, καὶ πρὸς τῷ σκοπεῖν, ἀλλὰ μὴ φιλονεικεῖν, περὶ ὧν ἂν λέγω, γένησθε, οἴομαι καὶ τὰ δέοντα λέγειν δόξειν, καὶ τὸν ἐφεστηκότα τῇ πόλει κίνδυνον διαλύσειν. 177. τί οὖν φημι δεῖν; πρῶτον μὲν τὸν παρόντα ἐπανεῖναι φόβον, εἶτα μεταθέσθαι καὶ φοβεῖσθαι πάντας ὑπὲρ Θηβαίων· πολὺ γὰρ τῶν δεινῶν εἰσιν ἡμῶν ἐγγυτέρω, καὶ προτέροις αὐτοῖς ἔστιν ὁ κίνδυνος· ἔπειτ' ἐξελθόντας Ἐλευσίναδε τοὺς ἐν ἡλικίᾳ καὶ τοὺς ἱππέας δεῖξαι πᾶσιν ὑμᾶς αὐτοὺς ἐν τοῖς ὅπλοις ὄντας, ἵνα τοῖς ἐν Θήβαις φρονοῦσι τὰ ὑμέτερα ἐξ ἴσου γένηται τὸ παῤῥησιάζεσθαι περὶ τῶν δικαίων, εἰδόσιν, ὅτι, ὥσπερ τοῖς πωλοῦσι Φιλίππῳ τὴν πατρίδα πάρεσθ' ἡ

*ἐπᾶραι καὶ θρασεῖς ποιῆσαι*] In recentissima editione ex aliquot codd. Bekk. adscivit, quod Reisk. dederat, *ἐπᾶραι καὶ θρασεῖς ποιῆσαι* [pro lectione plurimorum librorum et editt. *θρασεῖς ποιῆσαι καὶ ἐπᾶραι*]. Reisk. addidit rationem, quia *ἐπαίρειν* debilius, *θρασεῖς ποιεῖν* fortius sit, et infirmiora præmitti, robustiora submitti soleant: quem canonem rhetoricum etsi in genere verum esse concedo, tamen ut optimi scriptores, sic etiam Demosthenes eum neglexerunt, ut ostendi in *Demosth.* Sect. 1. p. 62. s. Quum tamen codd., ex quibus Bekk. recepit, inter optimos sint, eorum auctoritati h. l. facile cedo.

176. *φιλιππίζειν*] Cf. ad *Æsch.* in Ctes. § 140.

*φιλονεικεῖν*] Cf. Exc. I. ad *Isocr.* Orat. Tom. XIV. p 195.

177. *τί οὖν φημι δεῖν;*] Ad *δεῖ*, *χρὴ* et similia sæpe infinitivus ex contextu supplendus; plerumque apta est generalis notio *ποιεῖν*, *γίγνεσθαι*, ut h. l.

*μεταθέσθαι*] Supplendus qui antecessit accusativus *τὸν φόβον*, quanquam paullum diversa significatione ab ea, qua *φόβος* nunc erat in animis Atheniensium. In iis enim dominabatur terror et tremor, eoque ut ipsi solverentur, necesse erat. Contra cura Thebanorum iis erat suscipienda. Hoc vult verbo *μεταθέσθαι*, cujus significatio satis constituitur iis, quæ sequuntur, *καὶ φοβεῖσθαι πάντας ὑπὲρ Θηβαίων*.

*ἐν ἡλικίᾳ*] sc. *στρατευσίμῳ*, eos, qui ætatem militarem agebant. Hæc ætas incipiebat ab anno 19. et per 42 annos extendebatur.

*περὶ τῶν δικαίων*] *τὰ δίκαια* h. l. sunt libertas, ea conditio, qua quis sui juris est nec alius voluntati subjectus.

βοηθήσουσα δύναμις ἐν Ἐλατείᾳ, οὕτω τοῖς ὑπὲρ τῆς ἐλευθερίας ἀγωνίζεσθαι βουλομένοις ὑπάρχεθ' ὑμεῖς ἕτοιμοι καὶ βοηθήσετ', ἄν τις ἐπ' αὐτοὺς ἴῃ. 178. μετὰ ταῦτα χειροτονῆσαι κελεύω δέκα πρέσβεις, καὶ ποιῆσαι τούτους κυρίους μετὰ τῶν στρατηγῶν καὶ τοῦ πότε δεῖ ἐκεῖσε βαδίζειν καὶ τῆς ἐξόδου. ἐπειδὰν δ' ἔλθωσιν οἱ πρέσβεις εἰς Θήβας, πῶς χρήσασθαι τῷ πράγματι παραινῶ; τούτῳ πάνυ μοι προσέχετε τὸν νοῦν. μὴ δεῖσθε Θηβαίων μηδὲν (αἰσχρὸς γὰρ ὁ καιρός), ἀλλ' ἐπαγγέλλεσθε βοηθήσειν, ἐὰν κελεύωσιν, ὡς ἐκείνων μὲν ὄντων ἐν τοῖς ἐσχάτοις κινδύνοις, ἡμῶν δὲ ἄμεινον ἢ ἐκεῖνοι τὸ μέλλον προορωμένων, ἵν', ἐὰν μὲν δέξωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καί, ἃ βουλόμεθα, ὦμεν διῳκημένοι, καὶ μετὰ προσχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν, ἐὰν δ' ἄρα μὴ συμβῇ κατατυχεῖν, ἐκεῖνοι μὲν ἑαυτοῖς ἐγκαλῶσιν, ἄν τι νῦν ἐξαμαρτάνωσιν, ἡμῖν δὲ μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ᾖ

178. *ἐξαμαρτάνωσιν*] Sic Σ., ceteri *ἐξαμάρτωσιν*. Aoristum præfert Schæferus vertens: *si quid nunc deliquerint*. Quod quum de pristina quæ intercedebat inter Thebanos et Athenienses simultate intelligi non possit—non enim per *ἐξαμαρτάνειν* hoc erat exprimendum—opus est, ut de hac ipsa societatis fœderisque conditione intelligatur, quam Thebani ab Atheniensibus latam fortasse non erant accepturi. Et hoc quidem dupliciter potest proponi, aut ita, ut aliquis futuro tempore tum, quum *ἐγκαλῶσιν*, quasi retro spectet ad ea, quæ nunc sunt, tunc autem erant præterita, ubi opus est aoristo; aut ita, ut aliquis prospiciat ad ea, quæ quum maxime geruntur, ubi desideratur *ἐξαμαρτάνωσιν*. Hoc autem, quum eventus totus sit in incerto, præsertim addita, particula *νῦν* et simplicius et verius videtur. Quare in *ἐξαμαρτάνωσιν*, quod Bekkerus recepit, acquiesco, quum sciam præterea, quantum imposuerit in his rebus librariis consuetudo, ut, si sit in apodosi futurum aut contineatur consilii significatio, *ἐὰν* c. aor. conj. poni soleat in protasi.—Ibidem paullo ante Bekk. *κεῖνοι* recepit ex codd. ΣΦ. *ἐκεῖνο:* habent ks., ceteri aut *κείνων* aut *ἐκείνων*. Schæferus: "vide ne verius sit *ἐκείνων*, genitivo posito per schema attractionis latissime regnans." Loci illi, in quibus *ἢ* post comparativum *πλεοναστικῶς* genitivo additum esse dicebatur, paucissimi facti sunt, ex quo præeunte Hermanno et Ulr. Fæsio ad Soph. Antig. v. 1266. grammatici hos genitivos plerosque partitivus esse docuerunt. *Matt.* Gr. Gr. § 450. annot. 2. Bernhardy Synt. p. 437. Revocari possunt reliqua exempla ad attractionis genera duo, quorum alterum facile expeditum est ab iisdem

178. *τῆς ἐξόδου*] Omnia quæ ad expeditionem spectant complectitur præter tempus, quod propria, quæ antecessit, enuntiatione exprimitur, qualis et quanta, quomodo instructa expeditio esse debeat.

*αἰσχρὸς γὰρ ὁ καιρός*] Videtur id dicere, neutris partibus convenire confidere, sed utrisque oportere persuasum esse de utrarumque salute agi. Si enim Athenienses se non conjungant cum Thebanis, Thebanorum perniciem brevissimo tempore fore certam, ex Thebanorum autem pernicie Atheniensium esse mox orituram; ita utrorumque et salutem et perniciem esse conjunctam.

*ἃ βουλόμεθα ὦμεν διῳκημένοι*] Participium passivum, ut sæpe, habet vim mediam. *διοικεῖσθαι* autem in medio est: ex animi sententia aliquid gerere et finem assequi, sive prudenti rerum gerendarum ratione, sive machinatione et calliditate, sive dolis et fraude.

*κατατυχεῖν* videtur significationem intransitivam habere, *succedere, successum habere: Si hæc non succedere contigerit.* Si ad *συμβῇ* additum fuerit *ἡμῖν*, *κατατυχεῖν* erit *assequi: Si nobis non contigerit hæc assequi.*

*πεπραγμένον.* 179. *ταῦτα καὶ παραπλήσια τούτοις εἰπὼν κατέβην. συνεπαινεσάντων δὲ πάντων, καὶ οὐδενὸς εἰπόντος ἐναντίον οὐδέν, οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ, οὐδ' ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ, οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους, ἀλλ' ἀπὸ τῆς ἀρχῆς διὰ πάντων ἄχρι τῆς τελευτῆς διεξῆλθον, καὶ ἔδωκα ἐμαυτὸν ὑμῖν ἁπλῶς εἰς τοὺς περιεστηκότας τῇ πόλει κινδύνους. καί μοι φέρε τὸ ψήφισμα τὸ τότε γενόμενον.*

180. *Καίτοι τίνα βούλει σέ, Αἰσχίνη, καὶ τίνα ἐμαυτὸν ἐκείνην τὴν ἡμέραν εἶναι θῶ; βούλει ἐμαυτὸν μέν, ὃν ἂν σὺ λοιδορούμενος καὶ διασύρων καλέσαις, Βάταλον; σὲ δὲ μηδ' ἥρω τὸν τυχόντα, ἀλλὰ τούτων τινὰ τῶν ἀπὸ τῆς σκηνῆς,*

grammaticis, velut Thucyd. VII. 77. *ἐκ δεινοτέρων ἢ τοιῶνδε ἐσώθησαν*, ubi per attractionem genitivus ab *ἐκ* pendet, alterum difficilius, cujus exemplum est apud Plat. Legg. X. 892. p. 81. ed. Rip. *οὔσης ταύτης [τῆς ψυχῆς] πρεσβυτέρας ἢ σώματος.* Cui loco simillimus est hic Demosthenis, qui quidem, si consentirent in genitivo libri omnes, ad Platonici loci similitudinem esset accipiendus. Nunc vero, quum inter alios optimus liber Σ præbeat nominativum, hic videtur præferendus, quum præsertim genitivo admodum obscuretur oratio.

180. *ἥρω τὸν τυχόντα*] Plurimi et optimi codd. habent *ἥρωα*. Grammatici tamen *ἥρω* perhibent Atticum esse. Per *ἥρω τὸν τυχόντα* intelligit virum fortem recen-

179. *κατέβην*] vocabulum proprium de oratore, qui absoluta oratione de suggestu descendit.

*οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ*] Audiamus *Quintilianum* Institt. L. IX. 3. 54. "*Coacervatio* est duplex, vel per *ἀσύνδετον* dissoluta, vel per *πολυσύνδετον* juncta. Omnibus scriptores sua nomina dederunt, sed varia et ut cuique fingenti placuit. Fons quidem unus, quia acriora facit et instantiora quæ dicimus et vim quandam præ se ferentia, velut sæpius erumpentis affectus. *Gradatio*, quæ dicitur *κλῖμαξ*, apertiorem habet artem et magis affectatam, ideoque esse rarior debet. Est autem ipsa quoque adjectionis; repetit enim quæ dicta sunt, et, priusquam ad aliud descendat, in prioribus resistit." *Aquila* Rom. p. 181 s. accurate "Est figura, inquit, perquam decora, — in qua postremum quodque verbum in priore membro aut parte aliqua elocutionis positum, in superiorem rursus assumtum injicitur, atque ita velut gradibus quibusdam connectitur oratio." "Ejus exemplum, pergit *Quintilianus*, ex Græco notissimo transferatur: Non enim dixi quidem, sed non scripsi, nec scripsi quidem, sed non obii legationem; nec obii quidem, sed non persuasi Thebanis." "Hæc autem, addit *Aquila*, animadvertis quanto elatius dicta sint, quam si simpliciter enuntiasset; et dixi hæc et scripsi, et in legationem profectus sum et persuasi Thebanis." Non negamus hanc figuram suo loco esse præclaram, sed cautissime adhibendam, eamque difficillimam visam esse cuique oratori probabili vel ex eo patet, quod apud recentiores ejusmodi, quale hoc est Demosthenis exemplum, vix appareat vestigium. Nimirum singula membra non solum brevia et rotunda, sed et gravia esse oportet, in quorum repetitione mens inhæreat libenter et jucunde, nexum intimum et necessarium, ita ut pro rerum natura nihil neque addi possit neque demi. Quæ si non omnia rite concurrant, figura est inepta, pinguis, et risum movet auditoribus vel lectoribus.

*ἁπλῶς*] sine ulla tergiversatione aut metu periculi.

180. *τίνα—θῶ;*] Quo nomine appellem? quo ordine habeam?

*Βάταλον*] *Bekkeri* Anecdd. p. 221. *ἐπωνύμιόν ἐστι Δημοσθένους. ὁ δὲ Βάταλος παρὰ τοῖς παλαιοῖς ἐκαλεῖτο μαλακὸς ἀπὸ Βατάλου τινός, αὐλητοῦ μαλακοῦ, ὃς καὶ Βατάλεια ταῦτα ἐξεῦρεν.* Demosthenes autem ipse, ut narrat *Æschines* in Tim.

Κρεσφόντην ἢ Κρέοντα ἢ ὃν ἐν Κολυττῷ ποτε Οἰνόμαον κακὸς κακῶς ὑποκρινόμενος ἐπέτριψας; τότε τοίνυν κατ' ἐκεῖνον τὸν καιρὸν ὁ Παιανιεὺς ἐγὼ Βάταλος Οἰνομάου τοῦ Κοθωκίδου σοῦ πλείονος ἄξιος ὢν ἐφάνην τῇ πατρίδι. σὺ μέν γε οὐδὲν οὐδαμοῦ χρήσιμος ἦσθα· ἐγὼ δὲ πάντα, ὅσα προσῆκε τὸν ἀγαθὸν πολίτην, ἔπραττον. λέγε τὸ ψήφισμα.

## ΨΗΦΙΣΜΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

181. "Ἐπὶ ἄρχοντος Ναυσικλέους, φυλῆς πρυτανευούσης Αἰαντίδος, Σκιροφοριῶνος ἕκτῃ ἐπὶ δέκα, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν, 'πειδὴ Φίλιππος ὁ Μακεδόνων βασιλεὺς ἔν τε τῷ παρεληλυθότι χρόνῳ παραβαίνων φαίνεται τὰς γεγενημένας αὐτῷ συνθήκας πρὸς τὸν Ἀθηναίων δῆμον περὶ τῆς εἰρήνης, ὑπεριδὼν τοὺς ὅρκους καὶ τὰ παρὰ πᾶσι τοῖς Ἕλλησι νομιζόμενα εἶναι δίκαια, καὶ πόλεις παρῄρηται οὐδὲν αὐτῷ προσηκούσας. τινὰς δὲ καὶ Ἀθηναίων οὔσας δοριαλώτους πεποίηκεν, οὐδὲν προαδικηθεὶς ὑπὸ τοῦ δήμου τοῦ Ἀθηναίων, ἔν τε τῷ παρόντι ἐπὶ πολὺ προάγει τῇ τε βίᾳ καὶ τῇ ὠμότητι·

tioris ætatis, qui in omnium ore ferebatur, ut Miltiades, Themistocles, in oppositione cum heroibus mythicæ ætatis, quales sunt quos paullo post nominat.

181. δοριαλώτους] Sic Bekker. in recentissima editione dedit ex optimis codd. pro vulg. δορυαλώτους. Facile intelligitur hæc vocabula in libris ubique permutata esse; sed difficile est discernere, utrum utri præferendum sit. Inter antiquos grammaticos nullum inveni, qui de varietate moneret: variant autem ipsi in usu, sed præponderat δοριάλωτος. Si similia composita consideramus, eandem videmus varietatem obtinere; in optimis tamen codd. et grammaticorum citationibus ι prævalet: δορίληπτος, δορίκτητος, δοριπετής cet. Atque etiam idem firmatur vocabuli significatione: δορὶ enim, i. e. δόρατι, est dativus instrumenti, δοριάλωτος, hasta captus.

c. 40, affirmabat hoc cognomen se accepisse ἐξ ὑποκορίσματος nutricis.

Κρεσφόντην] Cresphontes Heraclidarum unus, cui cum fratribus successit, ut Peloponnesum occuparet. Tragœdiam ejus nomine inscriptam docuit Euripides, cujus nonnisi pauca supersunt fragmenta. Κρέων, Thebarum rex, famosus inprimis duabus Sophoclis fabulis, Œdipo rege et Antigone, in quibus partes habet præcipuas. Οἰνόμαος, Martis filius et Steropes, rex Pisæ, equorum et curruum certaminibus præstantissimus, donec tandem a Pelope, Tantali filio, victus, ut nonnulli tradunt, ferro se ipse transfixerit, ut alii, e curru se præcipitaverit.

ἐπέτριψας] Poeta tragicus videtur Œnomaum in musico certamine dedisse, sed præmio excidisse. Quum autem Æschine uteretur actore, Demosthenes acerbe affirmat Æschinem heroa pessum dedisse, h. e. actione sua in culpa fuisse, cur poeta non præmio sit honoratus.

ὅσα προσῆκε τὸν ἀγαθὸν πολίτην, ἔπραττον] Προσήκει construitur cum acc. omisso infinitivo, qui aut ex contextu aut ex verbo finito enuntiationis rectæ sive antecedente sive sequente supplendus est. Hic ex ἔπραττον supplendum πράττειν.

181. Ναυσικλέους] Jam supra § 115. hoc nomen habebamus. Oportet eum fuisse ἄρχοντα ψευδεπώνυμον.

προάγει] h. l. intransitive, ut sæpe verba composita ex ἄγειν, procedere.

182. καὶ γὰρ Ἑλληνίδας πόλεις ἃς μὲν ἐμφρούρους ποιεῖ καὶ τὰς πολιτείας καταλύει, τινὰς δὲ καὶ ἐξανδραποδιζόμενος κατασκάπτει, εἰς ἐνίας δὲ καὶ ἀντὶ Ἑλλήνων βαρβάρους κατοικίζει ἐπὶ τὰ ἱερὰ καὶ τοὺς τάφους ἐπάγων, οὐδὲν ἀλλότριον ποιῶν οὔτε τῆς ἑαυτοῦ πατρίδος οὔτε τοῦ τρόπου, καὶ τῇ νῦν αὐτῷ παρούσῃ τύχῃ κατακόρως χρώμενος, ἐπιλελησμένος ἑαυτοῦ, ὅτι ἐκ μικροῦ καὶ τοῦ τυχόντος γέγονεν ἀνελπίστως μέγας. 183. καὶ ἕως μὲν πόλεις ἑώρα παραιρούμενον αὐτὸν βαρβάρους καὶ ἰδίας, ὑπελάμβανεν ἔλαττον εἶναι ὁ δῆμος ὁ Ἀθηναίων τὸ εἰς αὐτὸν πλημμελεῖσθαι· νῦν δὲ ὁρῶν Ἑλληνίδας πόλεις τὰς μὲν ὑβριζομένας, τὰς δὲ ἀναστάτους γιγνομένας, δεινὸν ἡγεῖται εἶναι καὶ ἀνάξιον τῆς τῶν προγόνων δόξης τὸ περιορᾶν τοὺς Ἕλληνας καταδουλουμένους. 184. διὸ δέδοκται τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων εὐξαμένους καὶ θύσαντας τοῖς θεοῖς καὶ ἥρωσι τοῖς κατέχουσι τὴν πόλιν καὶ τὴν χώραν τὴν Ἀθηναίων, καὶ ἐνθυμηθέντας τῆς τῶν προγόνων ἀρετῆς, διότι περὶ πλείονος ἐποιοῦντο τὴν τῶν Ἑλλήνων ἐλευθερίαν διατηρεῖν ἢ τὴν ἰδίαν πατρίδα, διακοσίας ναῦς καθέλκειν

182. ἃς μὲν] Apud Atticos hujus ætatis scriptores ὃς μὲν—ὃς δὲ pro ὁ μὲν—ὁ δὲ nondum est in usu; nec vero ex hoc loco affirmare possumus, *Demosthenem* eo sic usum esse. In actis enim publicis multa legi, quibus scriptores ipsi abstinuerint, sæpe jam monuimus. Idem habuimus in psephismate § 164. Celare tamen nolumus § 71. in Demosthenis oratione vulgo legi ἃς μὲν ἀναιρῶν, εἰς ἃς δὲ τοὺς φυγάδας κατάγων, id vero a *Bekkero* in priore editione in τὰς μὲν—εἰς τὰς δὲ mutatum, in recentissima vero vulgatum revocatum esse, quanquam varient codd. et in multis sit τάς. Quod si ἃς sit tolerandum, videtur referendum inter argumenta, quæ probant jam Demosthenis ætate ex usu communi et actis publicis nonnulla cœpisse in scripturam etiam præstantissimorum irrepere.

ἔμφρουροι, si de hominibus dicitur, sunt vel ii, qui adhuc obnoxii sunt obeundis militaribus excubiarum muneribus, vel qui revera sunt in præsidiis; de urbibus autem est cui præsidia imposita sunt, quæ præsidiis occupat est, præsidiis obtinetur.

ἐπὶ τὰ ἱερὰ καὶ τοὺς τάφους ἐπάγων] *impellens ad destruenda templa et sepulcra:* quod utrumque erat nefas moribus Græcorum. Ut enim templa, sic etiam sepulcra erant sacra. Solonis de hac re leges affert et illustrat *Cicero* de legg. II. 26.

κατακόρως] proprie *ad satietatem*, tropice *intemperanter, ultra modum*.

μέγας] Huc usque recte procedit protasis. Sed antequam addita est apodosis, nova incipit periodus, et prior restat anapodotos, et apodoseos sententia annectitur dein ut conclusio Διὸ δέδοκται cet.

183. βαρβάρους καὶ ἰδίας] Offenderunt interpretes in ἰδίας, maxime *Reiskius*, interrogans: "cui propria? non certe Philippo: cur enim raperet ipse sua?" Dein suspicatur vel καὶ οὐ φιλίας, nullo amicitiæ vinculo cum Atheniensibus junctas, vel καὶ οὐκ ἰδίας, neque proprias Atheniensium. Sed nulla opus mutatione. Nam ἰδίας more Demosthenis per epexegesin additum est vocabulo βαρβάρους, et significat *sui similes*, barbara sentiendi ratione cognatas cum Philippo. Cf. *Weiske* de Hyperb. I. p. 23.

184. εὐξαμένους καὶ θύσαντας] Publicas supplicationes et sacrificia intelligit, quæ fieri solebant ante expeditionem.

καθέλκειν est vocabulum proprium de navium instructione et demissione.

εἰς τὴν θάλατταν, καὶ τὸν ναύαρχον ἀναπλεῖν ἐντὸς Πυλῶν καὶ τὸν στρατηγὸν καὶ τὸν ἵππαρχον τὰς πεζὰς καὶ τὰς ἱππικὰς δυνάμεις Ἐλευσίναδε ἐξάγειν, πέμψαι δὲ καὶ πρέσβεις πρὸς τοὺς ἄλλους Ἕλληνας, πρῶτον δὲ πάντων πρὸς Θηβαίους διὰ τὸ ἐγγυτάτω εἶναι τὸν Φίλιππον τῆς ἐκείνων χώρας, 185. παρακαλεῖν δὲ αὐτοὺς μηδὲν καταπλαγέντας τὸν Φίλιππον ἀντέχεσθαι τῆς ἑαυτῶν καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας, καὶ ὅτι ὁ Ἀθηναίων δῆμος, οὐδὲν μνησικακῶν, εἴ τι πρότερον γέγονεν ἀλλότριον ταῖς πόλεσι πρὸς ἀλλήλας, βοηθήσει καὶ δυνάμεσι καὶ χρήμασι καὶ βέλεσι καὶ ὅπλοις, εἰδὼς, [ὅτι καὶ] αὐτοῖς μὲν πρὸς ἀλλήλους διαμφισβητεῖν περὶ τῆς ἡγεμονίας, οὖσιν Ἕλλησι, καλόν, ὑπὸ δὲ ἀλλοφύλου ἀνθρώπου ἄρχεσθαι καὶ τῆς ἡγεμονίας ἀποστερεῖσθαι ἀνάξιον εἶναι καὶ τῆς τῶν Ἑλλήνων δόξης καὶ τῆς τῶν προγόνων ἀρετῆς. 186. ἔτι δὲ οὐδὲ ἀλλότριον ἡγεῖται εἶναι ὁ Ἀθηναίων δῆμος τὸν Θηβαίων δῆμον οὔτε τῇ συγγενείᾳ οὔτε τῷ ὁμοφύλῳ. ἀναμιμνήσκεται δὲ καὶ τὰς τῶν προγόνων τῶν ἑαυτοῦ εἰς τοὺς Θηβαίων προγόνους εὐεργεσίας· καὶ γὰρ τοὺς Ἡρακλέους παῖδας ἀποστερουμένους ὑπὸ Πελοποννησίων τῆς πατρῴας ἀρχῆς κατήγαγον, τοῖς ὅπλοις κρατήσαντες τοὺς ἀντιβαίνειν πειρωμένους τοῖς Ἡρακλέους ἐγγόνοις, καὶ τὸν

186. *τοῖς Ἡρακλέους ἐγγόνοις*] Variant ubique MSS. inter *ἔγγονοι* et *ἔκγονοι*, nec in constituenda vocabulorum notione sibi constant grammatici et lexicographi antiqui. Plurimi tamen tradunt *ἔκγονος ὁ υἱός, ἔγγονος δὲ ὁ υἱοῦ ἢ θυγατρὸς υἱός*. Fr. Osann autem ad Lycurg. p. 14. opinatur vocabulum *ἔγγονος* bonæ græcitati prorsus eripiendum esse. Ea enim, quam memorant grammatici, significatione nusquam sine varietate legi, usurpari autem *υἱδοῦν* vel *υἱωνόν*. Equidem in his rebus omnibus a MSS. standum esse existimo. [Vid. Stallbaum. ad Plat. Remp. II. 7. p. 111.]

*ἀναπλεῖν* dicuntur naves, quæ in plagas septentrionales Athenis proficiscuntur.

185. *ἀντέχεσθαι τῆς—ἐλευθερίας*] *libertatem sibi vindicare contra erepturum.* Synonymum est *ἀντιποιεῖσθαί τινος*.

*ὑπὸ ἀλλοφύλου ἀνθρώπου*] intelligit Philippum Macedonem, qui cupidius quam verius sic dici videri potest. Philippus enim erat ex gente Heraclidarum; cf. *Herod.* VIII. 137. ibique interpretes, inprimis *Valckenaer.*; et populus Macedo antiquitus maximam partem eadem stirpe, qua Græci. Hinc apud *Polybium* IX. 37. Græcis *ὁμόφυλοι* dicuntur, quæ itidem est hyperbole, ut nostrum *ἀλλόφυλος*.

*καὶ βέλεσι καὶ ὅπλοις*] *βέλη* milites sunt levis armaturæ, *ὅπλα* gravis armaturæ. Armorum genera sæpe poni pro militibus eo genere armorum instructis jam supra annotavimus.

186. *οὔτε τῇ συγγενείᾳ οὔτε τῷ ὁμοφύλῳ*] *συγγένεια* est notio generis, *ὁμόφυλον* partis. *συγγένεια* est eorum, qui sunt ejusdem gentis, et communis omnium civitatum Græcarum. *ὁμόφυλοι* qui ejusdem sunt stirpis. Athenienses et Thebani Ionicæ stirpis censebantur.

*τοὺς Ἡρακλέους παῖδας—κατήγαγον*] Heraclidas, quorum se cognatos esse profitebantur, pulsos ab Eurystheo supplices recipiebant Athenienses eosque in patriam restituerunt.

*Οἰδίπουν καὶ τοὺς μετ' ἐκείνου ἐκπεσόντας ὑπεδεξάμεθα, καὶ ἕτερα πολλὰ ἡμῖν ὑπάρχει φιλάνθρωπα καὶ ἔνδοξα πρὸς Θηβαίους·* 187. *διόπερ οὐδὲ νῦν ἀποστήσεται ὁ Ἀθηναίων δῆμος τῶν Θηβαίοις τε καὶ τοῖς ἄλλοις Ἕλλησι συμφερόντων. συνθέσθαι δὲ πρὸς αὐτοὺς καὶ συμμαχίαν· καὶ ἐπιγαμίαν ποιήσασθαι, καὶ ὅρκους δοῦναι καὶ λαβεῖν. πρέσβεις Δημοσθένης Δημοσθένους Παιανιεύς, Ὑπερίδης Κλεάνδρου Σφήττιος, Μνησιθείδης Ἀντιφάνους Φρεάῤῥιος, Δημοκράτης Σωφίλου Φλυεύς, Κάλλαισχρος Διοτίμου Κοθωκίδης."*

188. *Αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων. τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον παρελθεῖν ἐποίησεν, ὥσπερ νέφος. ἦν μὲν τοίνυν τοῦ δικαίου πολίτου τότε δεῖξαι πᾶσιν, εἴ τι τούτων εἶχεν ἄμεινον, μὴ νῦν ἐπιτιμᾶν.* 189. *ὁ γὰρ σύμβουλος καὶ ὁ συκοφάντης, οὐδὲ τῶν ἄλλων οὐδὲν ἐοικότες, ἐν τούτῳ πλεῖστον ἀλλήλων διαφέρουσιν· ὁ μέν γε πρὸ τῶν πραγμάτων γνώμην ἀποφαίνεται καὶ δίδωσιν αὑτὸν ὑπεύθυνον τοῖς πεισθεῖσι, τῇ τύχῃ, τοῖς καιροῖς, τῷ βουλομένῳ. ὁ δὲ σιγήσας, ἡνίκ' ἔδει λέγειν, ἄν τι δύσκολον συμβῇ, τοῦτο βασκαίνει.* 190. *ἦν μὲν οὖν, ὅπερ εἶπον, ἐκεῖνος ὁ καιρὸς τοῦ γε φροντίζοντος ἀνδρὸς τῆς πόλεως καὶ*

189. *ὁ γὰρ σύμβουλος καὶ ὁ συκοφάντης, οὐδὲ τῶν ἄλλων οὐδὲν ἐοικότες, ἐν τούτῳ πλεῖστον ἀλλήλων διαφέρουσιν*] Non dubito, quin præstet hæc Bekkeri e cod. Σ. recepta lectio Reiskianæ *ἐν οὐδενὶ τῶν ἄλλων οὐδέν*, quam concinniorem vocat Schæferus propter sequens *ἐν τούτῳ*. Sed ipsam hanc concinnitatem ansam puto dedisse mutationis, cujus vestigium habes in eo, quod libri alii *ἐν οὐδενί*, alii solum *οὐδενὶ* præbent. Multo gravius *οὐδέ*. *Consilii auctor et sycophanta, etiam in ceteris omnino dissimiles, in hoc plurimum inter se differunt.*

*Οἰδίπουν*] qui ob piacula, quæ inscius commiserat, Thebas fugerat, Athenis receptus esse ibique diem supremum obiisse dicitur. *ἐκπίπτειν* vocabulum est proprium de iis, qui patria pulsi carent.

187. *ἐπιγαμίαν*] Hoc vocabulum explicuimus § 91.

188. *τὰ πρὸ τούτων*] est formula absoluta tempus antecedens omne complectens. Articulus præpositus quam dicunt rerum universam conditionem indicare videtur. In *ὑπάγειν* inest notio doli mali, quo quis alterum in suam sententiam perducit, quum in *ἐπάγειν* nulla doli notio inesse soleat.

189. *ὑπεύθυνος* h. l. est is, qui dominari alicui non potest, qui pendet ex alicujus voluntate. Nam si quis vel optima consuluerit, faustus tamen consilii successus ex multorum tum hominum tum rerum concursu pendet, eos, qui consilium approbaverunt, oportet ea, quibus opus est, præstare, fortuna debet favere, adsit temporum opportunitas.

*δύσκολος* proprie dicitur fastidiosus, molestus in cibis. Hinc *δύσκολον* per euphemismum dicitur *δυστυχές*, infaustum, calamitosum. De *βασκαίνειν* vide § 108.

τῶν δικαίων λόγων· ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὥστε, ἂν νῦν ἔχῃ τις δεῖξαί τι βέλτιον, ἢ ὅλως εἴ τι ἄλλο ἐνῆν πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν ὁμολογῶ. εἰ γὰρ ἔσθ' ὅ τι τις νῦν ἑώρακεν, ὃ συνήνεγκεν ἂν τότε πραχθέν, τοῦτ' ἐγώ φημι δεῖν ἐμὲ μὴ λαθεῖν. εἰ δὲ μήτ' ἔστι μήτε ἦν μήτ' ἂν εἰπεῖν ἔχοι μηδεὶς μηδέπω καὶ τήμερον, τί τὸν σύμβουλον ἐχρῆν ποιεῖν; οὐ τῶν φαινομένων καὶ ἐνόντων τὰ κράτιστα ἑλέσθαι; 191. τοῦτο τοίνυν ἐποίησα ἐγώ, τοῦ κήρυκος ἐρωτῶντος, Αἰσχίνη, "τίς ἀγορεύειν βούλεται;" οὐ "τίς αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων;" οὐδὲ "τίς ἐγγυᾶσθαι τὰ μέλλοντ' ἔσεσθαι;" σοῦ δ' ἀφώνου κατ' ἐκείνους τοὺς χρόνους ἐν ταῖς ἐκκλησίαις καθημένου, ἐγὼ παριὼν ἔλεγον. ἐπειδὴ δ' οὐ τότε, ἀλλὰ νῦν δεῖξον. εἰπέ, τίς ἢ λόγος, ὅντινα ἐχρῆν εὑρεῖν, ἢ καιρὸς συμφέρων ὑπ' ἐμοῦ παρελείφθη τῇ πόλει; τίς δὲ συμμαχία, τίς πρᾶξις, ἐφ' ἣν μᾶλλον ἔδει με ἀγαγεῖν τουτουσί;

192. Ἀλλὰ μὴν τὸ μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖται, καὶ οὐδεὶς περὶ τούτου προτίθησιν οὐδαμοῦ βουλήν. τὸ δὲ μέλλον ἢ τὸ παρὸν τὴν τοῦ συμβούλου τάξιν ἀπαιτεῖ. τότε τοίνυν τὰ μὲν ἤμελλεν, ὡς ἐδόκει, τῶν δεινῶν, τὰ δ' ἤδη παρῆν, ἐν οἷς τὴν προαίρεσίν μου σκόπει τῆς πολιτείας, μὴ τὰ συμβάντα συκοφάντει. τὸ μὲν γὰρ πέρας, ὡς ἂν ὁ δαίμων

190. ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι] *tantopere superabo ea, quæ postulari jure a quopiam possunt.* Rarum apud Latinos substantivum. *Exsuperantiam* tamen Cicero dixit.

ἀδικεῖν sæpe ponitur de rebus jam perfectis, ita tamen, ut culpa etiam maneat. Complura sunt præsentia apud Græcos, quæ rem significant præteritam, cujus tamen consequentiæ durant, ut ἀκούω, *audivi, scio.*

τῶν ἐνόντων] *quæ fieri poterant.* Sæpe sic ea dicuntur, quæ pro rerum natura et conditione fieri possunt.

τὰ φαινόμενα sunt quæ accurata rerum disquisitio utilia esse profitetur, nec probabili successu destituta fore sperat.

191. ἐπειδὴ δ' οὐ τότε] scil. ἔδειξας. Haud raro Græci in protasi ponunt conjunctionem ἐπειδὴ sine verbo, quod eliciendum est ex verbo apodoseos, præsertim si verbum carere possit objecto.

ὅντινα ἐχρῆν εὑρεῖν] Sæpe Græci χρὴ c. acc. ponunt sine infinitivo, præsertim si subjectum sit indefinitum; rarius id fit apud Latinorum *oportet.* λόγος autem hic non videtur *oratio*, sed *ratio agendi.*

τουτουσί] ι paragogicum vel demonstrativum non patitur ν ἐφελκυστικόν, etiam si sequatur vocabulum a vocali incipiens.

192. τάξις est vocabulum militare, et designat locum militi assignatum. Hinc universe significat munus alicui delatum, partes, quas quis habet, locum in genere. ἀπαιτεῖν proprie est creditoris, qui debitum reposcit; hinc *jure aliquid flagitare.*

τὰ μὲν ἤμελλεν] Repetendus infinitivus ex sequente verbo finito παρῆν. Frequens hoc est, ut ad μέλλω vel ex antecedente verbo finito vel ex sequente infinitivus sit assumendus. μέλλω demum cum infinitivo εἶναι significat *futurus sum.*

βουληθῇ, πάντων γίγνεται· ἡ δὲ προαίρεσις αὐτὴ τὴν τοῦ συμβούλου διάνοιαν δηλοῖ. 193. μὴ δὴ τοῦτο ὡς ἀδίκημα ἐμὸν θῇς, εἰ κρατῆσαι συνέβη Φιλίππῳ τὴν μάχην· ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος ἦν, οὐκ ἐν ἐμοί. ἀλλ' ὡς οὐχ ἅπαντα, ὅσα ἐνῆν κατ' ἀνθρώπινον λογισμόν, εἱλόμην, καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς ἔπραξα καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ ὡς οὐ καλὰ καὶ τῆς πόλεως ἄξια πράγματα ἐνεστησάμην καὶ ἀναγκαῖα, ταῦτά μοι δεῖξον, καὶ τότ' ἤδη κατηγόρει μου. 194. εἰ δ' ὁ συμβὰς σκηπτὸς [ἢ χειμὼν] μὴ μόνον ἡμῶν, ἀλλὰ καὶ πάντων τῶν ἄλλων Ἑλλήνων μείζων γέγονε, τί χρὴ ποιεῖν; ὥσπερ ἂν εἴ τις ναύκληρον πάντ' ἐπὶ σωτηρίᾳ πράξαντα καὶ πᾶσι κατασκευάσαντα τὸ πλοῖον, ἀφ' ὧν ὑπελάμβανε σωθήσεσθαι, εἶτα χειμῶνι χρησάμενον καὶ πονησάντων αὐτῷ τῶν σκευῶν ἢ καὶ συντριβέντων ὅλως, τῆς ναυαγίας αἰτιῷτο. ἀλλ' οὔτ' ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἄν, ὥσπερ οὐδ' ἐστρατήγουν ἐγώ, οὔτε τῆς τύχης κύριος ἦν, ἀλλ' ἐκείνη τῶν πάντων. 195. ἀλλ' ἐκεῖνο λογίζου καὶ ὅρα· εἰ μετὰ τῶν Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶξαι, τί χρῆν προσδοκᾶν, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους, ἀλλὰ Φιλίππῳ προσέθεντο, ὑπὲρ οὗ τότ' ἐκεῖνος πάσας ἀφῆκε φωνάς; καὶ εἰ νῦν, τριῶν ἡμερῶν ἀπὸ τῆς Ἀττικῆς ὁδὸν τῆς μάχης γεγενημένης, τοσοῦτος κίνδυνος καὶ φόβος περιέστη τὴν πόλιν, τί

194. σκηπτός] Codd. plerique addunt ἢ χειμών, quod iisdem de causis rejiciendum est, quas supra exposui § 153, quum Toupius restituendum censeret ὥσπερ χειμάῤῥους ἢ σκηπτός. σκηπτὸς autem h. l. est *turbo*, quod patet ex similitudine, quam petit a navi naufragium passa; et ἢ χειμὼν ut interpretamentum a Grammatico additum.

ἡ δὲ προαίρεσις αὐτή] αὐτή, in se spectata, non habita ratione eventus.

193. ἔν τινι εἶναι, *penes aliquem, in potestate alicujus esse.* Frequentior est hac significatione ἐπὶ c. dat. ἐν tamen sic usurpatur præsertim ab Herodoto et tragicis, nec inusitatum Atticis oratoribus. Cf. *Valckenaer.* ad Herod. III. 85.

ἐνίστασθαι vocabulum proprium de rei institutione a principio. Hinc interdum additur ἐξ ἀρχῆς, et conjungitur cum παρασκευάζεσθαι.

194. ναύκληρον explicant Lexicographi τὸν τῆς νεὼς κύριον, *navicularium* vel *naviculatorem.* Ejus est navem instruere et ornare, ita ut tutum sit contra tempestatem et piratas. Nam quum merces ejus periculo transvehantur, manca et infirma instructio jacturam ei minatur uni.

χειμῶνι χρησάμενον] Notandum, quod Græcum χρῆσθαι etiam de rebus malis dicitur, quibus vexamur. Sic χρῆσθαι κακοῖς, et, ut hic habemus, χειμῶνι χρῆσθαι, *Euripides* dixit Iphig. in Aul. 88. ἀπλοίᾳ χρῆσθαι.

πονεῖν de singulorum instrumentorum corruptione, ut συντριβῆναι de tota destructione, ut quum fit naufragium

195. πάσας ἀφῆκε φωνάς] Locutio proverbialis, de eo qui cuncta tentat, ut aliquid efficiat, non verbis solum, blandis æque ac minacibus, sed factis qualibuscunque sive bonis sive malis finem assequi studet.

ἄν, εἴ που τῆς χώρας ταὐτὸ τοῦτο πάθος συνέβη. προσδοκῆσαι χρῆν; ἆρ' οἴεσθε ἔτι νῦν ἂν στῆναι, συνελθεῖν, ἀναπνεῦσαι; πολλὰ μία ἡμέρα καὶ δύο καὶ τρεῖς ἔδοσαν τῶν εἰς σωτηρίαν τῇ πόλει. τότε δ'· ἀλλ' οὐκ ἄξιον εἰπεῖν ἅ γε μηδὲ πεῖραν ἔδωκε θεῶν τινος εὔνοια καὶ τὸ προβαλέσθαι τὴν πόλιν ταύτην τὴν συμμαχίαν, ἧς σὺ κατηγορεῖς.

196. Ἔστι δὲ ταυτὶ πάντα μοι τὰ πολλὰ πρὸς ὑμᾶς, ἄνδρες δικασταί, καὶ τοὺς περιεστηκότας ἔξωθεν καὶ ἀκροωμένους, ἐπεὶ πρός γε τοῦτον [αὐτὸν] τὸν κατάπτυστον βραχὺς καὶ σαφὴς ἐξήρκει λόγος. εἰ μὲν γὰρ ἦν σοι πρόδηλα τὰ μέλλοντα, Αἰσχίνη, μόνῳ τῶν ἄλλων, ὅτ' ἐβουλεύεθ' ἡ πόλις περὶ τούτων, τότ' ἔδει σε προλέγειν. εἰ δὲ μὴ προῄδεις, τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ τοῖς ἄλλοις, ὥστε τί μᾶλλον ἐμοῦ σὺ ταῦτα κατηγορεῖς ἢ ἐγὼ σοῦ; 197. †τοσοῦτον γὰρ ἀμείνων ἐγὼ σοῦ πολίτης γέγονα εἰς αὐτὰ ταῦθ', ἃ λέγω (καὶ οὔπω περὶ τῶν ἄλλων διαλέγομαι), ὅσον ἐγὼ μὲν ἔδωκα ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον οὐδ' ὑπολογισάμενος, σὺ δὲ οὔτε ἕτερα εἶπες βελτίω τούτων (οὐ γὰρ ἂν τούτοις ἐχρῶντο), οὔτ' εἰς ταῦτα χρήσιμον οὐδὲν σαυτὸν παρέσχες, ὅπερ δ' ἂν ὁ φαυλότατος καὶ δυσμενέ-

195. *ἅ γε μηδὲ πεῖραν ἔδωκε*] *ἐς* per conjecturam a Reiskio additum est substantivo *πεῖραν*. Quod si a Demosthene profectum esse judicarem, mutandum foret in *εἰς*. *ἐς* enim est nonnisi antiquioris Atticæ dialecti et Ionicæ. Sed quum absit ab omnibus codd. in recentissima editione Bekk. iterum abjecit, jure opinor.

196. *τοῦτον [αὐτόν]* Bekker. in recentissima editione *αὐτόν*, quod abest ab optimo cod., uncis inclusit. Quo omisso multo acerbior fit oratio: *οὗτος* enim de adversario adhibitum solum magnum exprimit contemtum; additum *αὐτὸν* eum quodammodo minuit.

*τότε δ'—*] Aposiopesis, vel quam *detractionem* vult appellari *Quinctilianus* Lib. IX. 3, 61, in qua verba reticentur, quoniam vel pudor vel qualiscunque sensus aliquid silentio premere monet. Malim eam cum aliis *reticentiam* appellare.

*ἃ—πεῖραν ἔδωκε*] Constructio fere poetica. Fit enim sæpe, apud tragicos poetas inprimis, ut notio verbi resolvatur in phrasin, h. l. v. c. *μὴ πεῖραν διδόναι* notionem habet verbi *μὴ ἐμβάλλειν*. Phrasis autem ista eundem habet casum, qui appositus esset verbo. Censetur hic usus ex confusione duarum constructionum, quæ hodie deliciæ sunt Grammaticorum. Hujus constructionis exempla dedit *Hermannus* Seidlero ad Eur. Troad. 123.

*προβαλέσθαι τι, sibi obtendere aliquid ad se tutandum*, ut scutum, se defendere aliqua re.

196. *προῄδεις*] Verum quidem est, quod tradunt antiquorum Grammaticorum accuratissimi, Atticos scriptores plerumque dixisse *ᾔδεισθα*, non *ᾔδεις*. Ἤιδεις tamen frequentius legitur, quam ut liceat id exterminare. Cf. *Lobeck*. ad Phryn. p. 237.

*ὑπεύθυνος τῆς ἀγνοίας*] *ὑπεύθυνος* c. gen. dicitur is, qui alicujus rei culpa tenetur, qui rei convictus est. Ὁ *αὐτὸς* c. dat. *idem cum*. Latini etiam jungunt dativum vocabulo *idem*: *eadem aliis ignorantia*, i. e. eadem, qua alii ignorantia. Paullo post habemus dativo præpositum *καί*.

*στατος ἄνθρωπος τῇ πόλει, τοῦτο πεποιηκὼς ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι, καὶ ἅμα Ἀρίστρατος ἐν Νάξῳ καὶ Ἀριστόλεως ἐν Θάσῳ, οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως, τοὺς Ἀθηναίων κρίνουσι φίλους, καὶ Ἀθήνησιν Αἰσχίνης Δημοσθένους κατηγορεῖ.* 198. *καίτοι ὅτῳ τὰ τῶν Ἑλλήνων ἀτυχήματα ἐνευδοκιμεῖν ἀπέκειτο, ἀπολωλέναι μᾶλλον οὗτός ἐστι δίκαιος ἢ κατηγορεῖν ἑτέρου· καὶ ὅτῳ συνενηνόχασιν οἱ αὐτοὶ καιροὶ καὶ τοῖς τῆς πόλεως ἐχθροῖς, οὐκ ἔνι τοῦτον εὔνουν εἶναι τῇ πατρίδι. δηλοῖς δὲ καὶ ἐξ ὧν ζῇς καὶ ποιεῖς καὶ πολιτεύῃ καὶ πάλιν οὐ πολιτεύῃ. πράττεταί τι τῶν ὑμῖν δοκούντων συμφέρειν; ἄφωνος Αἰσχίνης. ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει; πάρεστιν Αἰσχίνης, ὥσπερ τὰ ῥήγματα καὶ τὰ σπάσματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται.*

199. *Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν. καί μου, πρὸς Διὸς καὶ θεῶν, μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ' εὐνοίας, ὃ λέγω, θεωρησάτω. εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι, καὶ προῄδεσαν ἅπαντες, καὶ σὺ προὔλεγες, Αἰσχίνη, καὶ διεμαρτύρου βοῶν καὶ κεκραγώς, ὃς οὐδ' ἐφθέγξω, οὐδ' οὕτως*

197. *ἐν Νάξῳ*] Aristratus videtur tyrannus insulæ Naxi, et Aristolaus tyrannus insulæ Thasi in mari Ægæo fuisse.

*οἱ καθάπαξ ἐχθροί*] Qui inimicitiam aperte et ubique profitebantur, et qui nunquam in gratiam redituri erant. *κρίνειν* h. l. in judicium vocare et condemnare.

198. *ἀποκεῖσθαι* verbum est proprium de rebus, quas quis seponit tanquam pretiosas, quibus in posterum, quando opus sit, utatur. *ὅτῳ τὰ ἀτυχήματα ἀπέκειτο*, qui Græcorum sibi infortunium, calamitates asservabat. Ad *ἐνευδοκιμεῖν* supplendum *ὥστε*, ut in iis, per eas gloriam caperet: qui solam in eo spem posuerat fore, ut ex Græcorum calamitate gloriam et opes caperet.

*ἐξ ὧν ζῇς*] Relativum tantum positum ad plura verba, quæ diversam habent constructionem.

*ῥήγματα καὶ σπάσματα*] vocabula ex arte medica petita. *ῥήγματα* sunt rupturæ in musculis, quibus distenditur caro vel violento ictu vel gravi casu vel alia intensa motione. *σπάσματα* autem sunt convulsiones, quibus nervosæ partes distenduntur. *Gont.* Utraque per temporis intervalla cessant, sed per fortuitos casus facile moventur et irritantur. [Cf. Olynth. II. p. 24. 6., ubi *ῥῆγμα* et *στρέμμα* junguntur. *Liban.* Apol. Demosth. Vol. IV. p. 304. 12. *τὰ ῥήγματα καὶ τὰ σπάσματα.* Utrumque videtur explicandum de læsionibus, curatis illis quidem, sed nonnunquam tamen dolores cientibus. De arthritide morbo agi non putaverim. F. I.]

199. *πολὺς* adjectivum sæpe ponitur, ubi nos adverbium, nec numerum solum, sed etiam gradum significat. *πολὺς ἔγκειται*, *acriter urget.* Conf. *Thucyd.* IV. 22. *Herodot.* VII. 158.

*μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ*] Nemo dicta mea miretur ut extravagantia, omnem modum excedentia, et statim rejiciat, sed ea diutius consideret.

*διεμαρτύρου βοῶν καὶ κεκραγώς*] *Alta voce contestatus fuisses:* quod apud oratores plerumque ut signum perhibetur animi vehementer commoti, et ejus, qui etiam auditores commovere et ad rem cum sollicitudine attentos reddere vult. Rarius de eo dicitur, qui clamore rei vanitatem obtegit.

*ἀποστατέον τῇ πόλει τούτων ἦν, εἴπερ ἢ δόξης ἢ προγόνων ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον.* 200. *νῦν μέν γε ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκῇ· τότε δ' ἀξιοῦσα προεστάναι τῶν ἄλλων, εἶτ' ἀποστᾶσα τούτου, Φιλίππῳ προδεδωκέναι πάντας ἂν ἔσχεν αἰτίαν. εἰ γὰρ ταῦτα προεῖτο ἀκονιτὶ, περὶ ὧν οὐδένα κίνδυνον ὅντιν' οὐχ ὑπέμειναν οἱ πρόγονοι, τίς ἂν οὐχὶ κατέπτυσεν ἂν σοῦ; μὴ γὰρ δὴ τῆς πόλεώς γε, μηδ' ἐμοῦ.* 201. *τίσι δ' ὀφθαλμοῖς, πρὸς Διός, ἑωρῶμεν ἂν τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους, εἰ τὰ μὲν πράγματα εἰς ὅπερ νυνὶ περιέστη; ἡγεμὼν δὲ καὶ κύριος ᾑρέθη Φίλιππος ἁπάντων,*

201. *ἡγεμὼν δὲ καὶ κύριος*] δὲ post *ἡγεμὼν* in omnibus codd. a Bekkero collatis videtur inesse. "Deerat δὲ post *ἡγεμων* in Benenat. quod revocavit Lambinus." Taylor. Schæferus oratorem sic scripsisse suspicatur: *περιέστη καὶ ἡγεμὼν καὶ κύριος ᾑρ.* "Primum enim, inquit, *τὸ Φίλιππον αἱρεθῆναι ἡγεμόνα καὶ κύριον ἁπάντων* pertinet ad illam ipsam rerum *περίστασιν* estque ejus tanquam summa: ut hoc membrum antecedentis videatur interpretatio, quæ illi continuanda sit per copulantem particulam, non dirimenda per partientem." Et recte quidem vidit Schæferus membra *προτάσεως* primaria esse duo, alterum a verbis *εἰ τὰ μὲν πράγματα* continuatum usque ad *ἁπάντων*, alterum incipiens a *τὸν δ' ὑπὲρ κ. τ. λ.* Hoc jam quæritur unum, utrum prioris membri partes duæ *εἰ τὰ μὲν—περιέστη* et *ἡγεμὼν—ἁπάντων* conjungenda necessario sint per *καὶ* quod vocant *ἐξηγητικόν*, an possint verba *ἡγεμὼν δὲ—ἁπάντων* prioribus aliqua ex parte esse opposita? Pendet hæc quæstio ab interpretatione verborum *εἰ τὰ μὲν πράγματ' εἰς ὅπερ νυνὶ περιέστη*, quibus hic videtur inesse sensus: *si quum omnes Græci tum etiam Athenienses libertate privati alius cujusdam auctoritati parere coacti essent.* Hæc vero sententia etiamsi jam continebatur Philippum summæ rerum esse dominum, poterant tamen inter se opponi

*εἴπερ ἢ δόξης ἢ προγόνων ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον*] *H. Wolfius* vertit: *si modo vel gloriæ majorum vel memoriæ posteritatis rationem habuisset*, ut ἢ ante *προγόνων* deleat, quam lectionem semper sibi arrisisse scribit *Taylor. Reiskius* contra locum sic accipit: "sive gloriam patriæ, quæ nunc est, civium, qui nunc sunt, sive gloriam majorum—ullo in loco habebas." Mihi videtur *δόξα* absolute accipienda: gloria in se spectata: si ullam rationem habebat ejus, quæ vera est gloria tum singulis hominibus, tum toti civitati. Per *προγόνων* intelligit præclare facta majorum; per *τὸν μέλλοντα αἰῶνα* posteros, quorum de se judicium homini probo et bonæ famæ studioso minime perinde est.

200. *ἀποτυχεῖν*] *excidere conatibus*, non assequi quæ quis aggreditur, cupit et sperat. *ταῦτα* i. e. *τὸ ἀποτυχεῖν τὸν ἄνθρωπον ἢ πόλιν.* Sæpe pluralis *ταῦτα* de una tantum re dicitur, et mirum toties viros doctos hoc usu offensos esse et locos corrigere voluisse.

*τότε*] Antequam discrimen erat subeundum et audendum aliquid cum periculo. *εἶτα*, quum discrimen adesset.

*ἀκονιτὶ* vocabulum est ex palæstra desumtum. Nempe solebant ad luctandum congressi, quo facilius inuncti comprehenderentur aut quo minus elaberentur, mutuo se pulvere et arena aspergere: hinc qui non decertabat, dicebatur *ἀκονιτὶ* decertasse; etiam is, contra quem nemo procedere audebat. Tropice autem est *sine certamine.* Vocabulum autem, in quo scribendo codd. variant, nonnisi *ἀκονιτὶ* scribendum esse, merito etiam *Lobeckius* affirmavit ad Phryn. p. 5. not.

*μὴ γὰρ τῆς πόλεώς γε, μηδ' ἐμοῦ*] Elliptica locutio, quam sic ad sententiam suppleo: *μὴ γὰρ ὑπολάμβανέ τινα ἂν καταπτύσαι.* Odium et detestationem merebatur is, qui civitati consuluisset cedere sine certamine; civitas autem, quæ forti certamine succubuerat, honorabatur ab omnibus et misericordiam inveniebat ubique.

τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτα ἀγῶνα ἕτεροι χωρὶς ἡμῶν ἦσαν πεποιημένοι, καὶ ταῦτα μηδεπώποτε τῆς πόλεως ἐν τοῖς ἔμπροσθε χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον ἢ τὸν ὑπὲρ τῶν καλῶν κίνδυνον ᾑρημένης; 202. τίς γὰρ οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ Θηβαίων καὶ παρὰ τῶν ἔτι τούτων πρότερον ἰσχυρῶν γεγενημένων Λακεδαιμονίων καὶ παρ' αὐτοῦ τοῦ Περσῶν βασιλέως μετὰ πολλῆς χάριτος τοῦτ' ἂν ἀσμένως ἐδόθη τῇ πόλει, ὅ τι βούλεται λαβούσῃ καὶ τὰ ἑαυτῆς ἐχούσῃ τὸ κελευόμενον ποιεῖν, καὶ ἐᾶν ἕτερον τῶν Ἑλλήνων προεστάναι; 203. ἀλλ' οὐκ ἦν ταῦθ', ὡς ἔοικε, τοῖς Ἀθηναίοις τοῖς τότε πάτρια οὐδ' ἀνεκτὰ οὐδ' ἔμφυτα, οὐδ' ἠδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοῖς ἰσχύουσι μὲν, μὴ δίκαια δὲ πράττουσι, προσθεμένην ἀσφαλῶς δουλεύειν, ἀλλ' ἀγωνιζομένη περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης καὶ κινδυνεύουσα πάντα τὸν αἰῶνα διατετέλεκε. 204. καὶ ταῦθ' οὕτω σεμνὰ καὶ προσήκοντα τοῖς ὑμετέροις ἤθεσιν ὑμεῖς ὑπολαμβάνετε εἶναι, ὥστε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστ' ἐπαινεῖτε, εἰκότως. τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν

hinc Græcorum res, illinc Philippi, ut in hac partium oppositione offensio nulla esset. Accuratius quidem, sed minus grate dixisset *εἰ μὲν τὰ μὲν πράγματα εἰς ὅπερ νυνὶ περιέστη.* Ceterum attende ad euphemismum in his verbis extremis, qui quidem usurpatur ob oratore, ubi de patriæ calamitate proprio verbo tanquam fatali uti noluit. Nec tamen hoc ubique intellectum est ab interpretibus, ut Olynth. vulg. III. § 33. *ἴσως ἂν—οὔτε τοσαῦτά ἐστιν, ὥστε ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, οὔτ' ἀπογνόντας ἄλλο τι πράττειν ἐᾷ.* Hæc explicari sic solent: *hæc pecunia, quam accipitis, neque vires vestras auget neque despecta vos aliquid facere patitur, quo ipsi vestras probetis vires.* Qua interpretatione quod in verbis *οὔτ' ἀπογνόντας ἄλλο τι πράττειν ἐᾷ* cum *οὔτ' ἀποθνήσκειν ἐᾷ* debet inesse similitudinis, id prorsus perit. Verte ita: *nec sinit vos desperatos aliam experiri fortunam.* *ἄλλο τι πράττειν* dixit pro *κάκιστα πράττειν.* Hoc autem esset *ἀπογνόντας γενέσθαι ἐπὶ Φιλίππῳ.* Illa autem verba ipsa tanquam omen infaustum consulto vitavit.

*ἐν τοῖς ἔμπροσθε χρόνοις*] Bekker. in recentissima ed. ex aliquot iisque optimis codd. dedit *ἔμπροσθε* pro. vulg. *ἔμπροσθεν.* Tradunt nempe nonnulli antiquorum Grammaticorum, *ὅτι τὰ ἐπιρρήματα εἰς θε τὸ ν ἐφελκυστικὸν ἔχουσι, φωνήεντος ἐπιφερομένον, συμφώνου δὲ οὐκέτι.* Opinatur tamen Lobeck. ad Phryn. p. 284, ubi *ν* omissum inveniamus, id omissum esse a Grammaticorum hæresi quadam, non ab antiquis scriptoribus.

202. *τίς δὲ βαρβάρων*] *δὲ* gradationem habet. Repetendum est verbum cum negatione, quoniam negatio cum verbo quasi in unum vocabulum conjunctum sit, quod Latini revera faciunt.

*ὅ τι βούλεται*] Formula absolute posita, nulla habita ratione, quem modum aut quod tempus enuntiationis constructio flagitet, significans *pro lubitu.*

203. *πάτριον—ἔμφυτον* sic differunt, ut illud sit a patre acceptum, hereditario jure quasi ad filium transiens, hoc quod alicui est ipsum innatum, oppositum iis, quæ quis ab aliis accepit vel edoctus est.

204. *ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς*] *ἄγαμαι* est *admiror*, et construitur cum genitivo sive personæ sive rei; interdum etiam cum acc. personæ et geni-

χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν εἰς τὰς τριήρεις ἐμβάντες ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι, τὸν μὲν ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δ' ὑπακούειν ἀποφηνάμενον τοῖς ἐπιταττομένοις Κυρσίλον καταλιθώσαντες, οὐ μόνον αὐτόν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκα αὐτοῦ. 205. οὐ γὰρ ἐζήτουν οἱ τότε Ἀθηναῖοι οὔτε ῥήτορα οὔτε στρατηγόν, δι' ὅτου δουλεύσουσιν εὐτυχῶς, ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μετ' ἐλευθερίας ἐξέσται τοῦτο ποιεῖν. ἡγεῖτο γὰρ αὐτῶν ἕκαστος οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι. διαφέρει δὲ τί; ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον περιμένει, ὁ δὲ καὶ τῇ πατρίδι ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν ἀποθνήσκειν ἐθελήσει, καὶ φοβερωτέρας ἡγήσεται τὰς ὕβρεις καὶ τὰς

204. *οὐ μόνον αὐτόν*] Reiskius opinatur legendum esse *οὐ μόνον αὐτοὶ αὐτόν*, ut oppositio cum sequente *ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι* eo fortius exprimatur: quod si codd. nobis offerrent, minime repudiarem. Sine codd. tamen nil mutandum. Demostheni enim oppositio inter *αὐτὸν* et *τὴν γυναῖκα αὐτοῦ* potior erat, quæ addito *αὐτὸν* si non omnem vim amittit, tamen languescit.

tivo rei. Hic autem genitivus *τῶν ἀνδρῶν ἐκείνων* pendet ex genitivo *τῆς ἀρετῆς*, et more Demosthenico genitivus rectus præpositus est nomini regenti, ut minime probandus sit *Reiskius*, qui conjecerit *τοὺς ἄνδρας ἐκείνους*.

Κυρσίλον] Cyrsili factum et fatum primum ex hoc Demosthenis loco cognoscimus, hujusque narrationem exscripsit *Cicero* de Off. III. 11, 48. Id accidit Ol. LXXV. 1. principio anni. Hoc vero *Herodoto* ignotum, ex quo Lycidem cognoscimus, cui eodem anno decem post menses idem fatum accidit, L. IX. in. c. 5. Quum enim Mardonius, denuo obsessis Athenis, Murychidem, virum Hellespontium, Salamina legatum mitteret, qui Athenienses ad deditionem faustissimis sub conditionibus hortaretur, Lycides unus e senatoribus hortatus est eos accipere conditionem a Murychide propositam; at ipse cum familia idem fatum habuit, quod hic Cyrsilus decem menses ante habuisse narratur. [Vid. *Valcken*. ad Herodot. I. c. p. 692.]

205. *δουλεύσουσιν εὐτυχῶς*] Qui causa sit libertatis amissæ, etiam si ceteroqui omnibus bonis externis abundent. Athenienses cuncta, quæ appellantur, bona amittere, summa rerum inopia et miseria premi voluerunt, dum servarent libertatem.

*οὐχὶ τῷ πατρὶ* cet.] Similem sententiam legimus in epistolarum, quæ Platoni tribuuntur, nona, quæ ad Archytam scripta est: *ἀλλὰ κἀκεῖνο δεῖ σε ἐνθυμεῖσθαι, ὅτι ἕκαστος ὑμῶν οὐχ αὑτῷ μόνον γέγονεν, ἀλλὰ τῆς γενέσεως ἡμῶν τὸ μέν τι ἡ πατρὶς μερίζεται, τὸ δέ τι οἱ γεννήσαντες, τὸ δὲ οἱ λοιποὶ φίλοι*: quem locum *Cicero* vertit de Off. I. 7, 22. sæpiusque respicit.

*διαφέρει δὲ τί;*] *Phrynichus* p. 395. *τίνι διαφέρει τόδε καὶ τόδε; οὐ χρὴ οὕτω λέγειν κατὰ δοτικὴν πτῶσιν, ἀλλὰ τί διαφέρει, καθὰ καὶ Δημοσθένης φησί· τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει*; ubi docet *Lobeckius* de interrogativa formula *τί διαφέρει* hoc verum esse, et Aristotelem primum esse, qui ad alteram constructionem *τίνι διαφέρει* declinet, sed in aliis locutionibus etiam antiquos utraque constructione, et dativi et accusativi, usos esse.

*τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον*] Genitivus *τῆς εἱμαρμένης* est quem derivationis appellare possis, unde aliquid oritur vel venit, qui genitivi usus rarus non est. Itaque minime opus, ut ex *Reiskii* conjectura addatur *ἀπό*. *αὐτόματος*

*ἀτιμίας, ἃς ἐν δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη, τοῦ θανάτου.*

206. *Εἰ μὲν τοίνυν τοῦτ' ἐπεχείρουν λέγειν, ὡς ἄρα ἐγὼ προήγαγον ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, οὐκ ἔστιν ὅστις οὐκ ἂν εἰκότως ἐπιτιμήσειέ μοι. νῦν δ' ἐγὼ μὲν ὑμετέρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι, ὅτι καὶ πρὸ ἐμοῦ τοῦτ' εἶχε τὸ φρόνημα ἡ πόλις, τῆς μέντοι διακονίας τῆς ἐφ' ἑκάστοις τῶν πεπραγμένων καὶ ἐμαυτῷ μετεῖναί φημι,* 207. *οὗτος δὲ τῶν ὅλων κατηγορῶν, καὶ κελεύων ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν ὡς φόβων καὶ κινδύνων αἰτίῳ τῇ πόλει γεγενημένῳ, τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἐμὲ ἀποστερῆσαι γλίχεται, τὰ δ' εἰς ἅπαντα τὸν λοιπὸν χρόνον ἐγκώμια ὑμῶν ἀφαιρεῖται. εἰ γάρ, ὡς οὐ τὰ βέλτιστα ἐμοῦ πολιτευσαμένου, τουδὶ καταψηφιεῖσθε, ἡμαρτηκέναι δόξετε, οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν.* 208. *ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετε, ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι, μὰ τοὺς Μαραθῶνι προκινδυ-*

207. *εἰ γάρ, ὡς οὐ*] Reiskius etiam hic, invita Minerva et irato Orbilio, de conj. scripsit *εἰ γὰρ οὐχ*. De solœcismo negationis *οὐ* cum conjunctione *εἰ* junctæ locuti sumus ad § 119, et re accuratius expensa facile perspicitur Reiskium locum non intellexisse, atque etiam effecisse, ne quisquam intelligere possit.

*θάνατος*, mors a natura ipsa exacta, ætate animantibus constituta.

206. *τῆς μέντοι διακονίας*] Laudant hunc locum rhetores, ut exemplum *ἐπιεικείας*, modestiæ, quæ est virtus orationis, quum orator ex instituto de jure suo cedit, aut quum quis se vulgo exæquat, aut similia dicit, quæ verecundiam et pudorem dicentis significant. Ea inprimis alliciuntur auditores, quum, quod orator jure sibi vindicare possit, eorum ipsorum virtutibus præcipua parte tribuit, sibi autem nonnisi partes secundas aut tertias. Demosthenes non citra veritatem dicere poterat, si ipse non fuisset, Athenienses non sic acturos fuisse, ut egerunt. Contra ea nil dicit, nisi se iis ministrasse et aliquam in re gerenda partem suam fuisse.

207. *εἰς τὸ παρὸν τιμῆς*] Corona nempe aliique similes honores externi facile in oblivionem veniunt, etiam ii, qui eo tempore, quo dabantur, summis cum laudibus erant dati. Ea est conditio humana.

*γλίχομαι*, quod proprie est *polio*, ad res lubricas, inprimis viscositate lubricas, translatum significat *me veluti agglutino, glutine quasi junctus adhæreo*, inde *vehementer cupio, appeto.*

*καταψηφίζεσθαί τινος*, *condemnare aliquem.* *ὅδε* sæpe de reo, *ὁδὶ* cum iota demonstrativo videtur per significationem ejus misericordiam commovere. Significatur autem hoc pronomine *Ctesiphon*, qui hac oratione defenditur, accusatus ab Æschine. Ergo *εἰ—τουδὲ καταψηφιεῖσθε* est: *si huncce* (Ctesiphontem) *condemnabitis.*

208. *ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν*] In exemplum *ἐπαναλήψεως* hunc locum laudat *Tiberius* Rhetor p. 45. Boiss. *ἐπανάληψις δέ ἐστιν, ὅταν τὸ αὐτὸ ὄνομα δὶς ἐν τῷ αὐτῷ κώλῳ ἢ τῇ αὐτῇ περιόδῳ—οἱ μὲν οὖν πολιτικοὶ κατ' ἀρχὰς χρῶνται ταῖς ἀναλήψεσι καὶ τῇ παλιλλογίᾳ, Ὅμηρος δὲ καὶ ἐπὶ τέλει ἐχρήσατο.*

*μὰ τοὺς* cet.] Hic locus admodum celebratus est inter rhetores antiquos subtilissimos. *Longinus* de sublim. Sect. XVI. scribit: *τίς ἦν ἡ κατὰ φύσιν χρῆσις τῆς ἀποδείξεως; "Οὐχ ἡμάρτετε, ὦ τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα ἀρά-*

νεύσαντας τῶν προγόνων καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας καὶ τοὺς ἐπ᾽ Ἀρτεμισίῳ καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν οὐδὲ τοὺς κρατήσαντας μόνους. δικαίως· ὃ μὲν γὰρ ἦν ἀνδρῶν ἀγαθῶν ἔργον ἅπασι πέπρακται, τῇ τύχῃ δ᾽, ἣν ὁ δαίμων ἔνειμεν ἑκάστοις, ταύτῃ κέχρηνται. 209. ἔπειτ᾽, ὦ κατάρατε καὶ γραμματοκύφων, σὺ μὲν τῆς παρὰ τουτωνὶ τιμῆς καὶ φιλανθρωπίας ἐμὲ ἀποστερῆσαι βουλόμενος τρόπαια καὶ μάχας καὶ παλαιὰ ἔργα ἔλεγες, ὧν τίνος προσεδεῖτο ὁ παρὼν ἀγὼν οὑτοσί; ἐμὲ δέ, ὦ τριταγωνιστά, τὸν περὶ τῶν πρωτείων σύμβουλον τῇ πόλει παριόντα, τὸ τίνος φρόνημα λαβόντα ἀναβαίνειν ἐπὶ τὸ βῆμα ἔδει; τὸ τοῦ τούτων ἀνάξια ἐροῦντος; δικαίως μέντ᾽ ἂν ἀπέθανον· 210. ἔπει οὐδ᾽ ὑμᾶς, ἄνδρες Ἀθηναῖοι, ἀπὸ τῆς αὐτῆς διανοίας δεῖ τάς τε ἰδίας δίκας καὶ τὰς δημοσίας κρίνειν, ἀλλὰ τὰ μὲν τοῦ καθ᾽ ἡμέραν βίου συμβόλαια ἐπὶ τῶν ἰδίων νόμων καὶ ἔργων σκοποῦντας,

[210. ἐπεί] Sic Wunderlichii posterior pro vulgato ἔπειτ᾽. Idem recepit Bekker. repertum in libro perbono. Malim ἐπεί γ᾽, quod et proprius accedit ad ἔπειτ᾽, et paullo gravius est, quippe respondens latino *quandoquidem*. Xenoph. Anab. I. 3, 9, ἐπεί γε οὐ συνεπόμεθα αὐτῷ. SCHÆF.]

μενοι· ἔχετε δὲ οἰκεῖα τούτου παραδείγματα. Οὐδὲ γὰρ οἱ ἐν Μαραθῶνι ἥμαρτον, οὐδ᾽ οἱ ἐν Σαλαμῖνι, οὐδ᾽ οἱ ἐν Πλαταιαῖς." Ἀλλ᾽ ἐπειδή, καθάπερ ἐμπνευσθεὶς ἐξαίφνης ὑπὸ θεοῦ καὶ οἱονεὶ φοιβόληπτος γενόμενος, τὸν κατὰ τῶν ἀριστέων τῆς Ἑλλάδος ὅρκον ἐξεφώνησεν . . . . φαίνεται δι᾽ ἑνὸς τοῦ ὀμοτικοῦ σχήματος, ὅπερ ἐνθάδε ἀποστροφὴν ᾽γὼ καλῶ, τοὺς μὲν προγόνους ἀποθεώσας, ὅτι δεῖ τοὺς οὕτως ἀποθανόντας ὡς θεοὺς ὀμνύναι παριστάνων, τοῖς δὲ κρίνουσι τὸ τῶν ἐκεῖ ἀποθανόντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν μεθαστακὼς εἰς ὑπερβάλλον ὕψος καὶ βάθος, καὶ ξένων καὶ ὑπερφυῶν ὅρκων ἀξιοπιστίαν καὶ ἀλεξιφάρμακον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον, ὡς κουφιζομένους ὑπὸ τῶν ἐγκωμίων μηδὲν ἔλαττον τῇ μάχῃ τῇ πρὸς Φίλιππον, ἢ ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις παρίστασθαι φρονεῖν· οἷς πᾶσι τοὺς ἀκροατὰς διὰ τοῦ σχηματισμοῦ συναρπάσας ᾤχετο.

Αἰσχίνη] Hunc locum laudat *Tiberius* Rhetor. p. 23. ut exemplum ἀποστροφῆς. Ἀποστροφὴ δέ, inquit, ἐστὶν, ὅταν ἀπὸ τῶν δικαστῶν πρὸς τὸν ἀντίδικον ἀποστρέφῃ τὸν λόγον· κινήσας γὰρ τῇ δόξῃ τῶν παραδειγμάτων τοὺς ἀκούοντας, τότε καὶ τὸν ἀντίδικον κέκληκε. Acerbam esse hanc inopinatam adversarii allocutionem in re admodum contra ipsum probante nemo non sentit.

209. γραμματοκύφων] Jam antiqui glossographi varie interpretati sunt hoc vocabulum. *Bekkeri* Anecdd. p. 228. ἀντὶ τοῦ γραμματεύς, ὅτι οἱ γραμματεῖς προσκεκυφότες γράφουσιν· ἢ γραμματοκύφων οἷον ἐν ἀγορᾷ γραμματεύς, ἐπεὶ οἱ ἀγοραῖοι τῷ κύφωνι μαστιγοῦνται. διὰ τοῦτο δ᾽ αὐτὸν εἶπε καὶ περίτριμμα ἀγορᾶς. Prior mihi explicatio verior videtur, et in genere opinor pro contumeliosa γραμματέως appellatione accipiendum, nec male comparat *Schneiderus* in Lexico nostrum *Actenguckcr*; Anglice, *Pettifogger*.

210. ἐπὶ τῶν ἰδίων νόμων] ἐπὶ cum genitivo vel personæ vel rei, quæ tanquam norma sequenda est: *ad normam legum privatarum*.

*τὰς δὲ κοινὰς προαιρέσεις εἰς τὰ τῶν προγόνων ἀξιώματα ἀποβλέποντας. καὶ παραλαμβάνειν γε ἅμα τῇ βακτηρίᾳ καὶ τῷ συμβόλῳ τὸ φρόνημα τὸ τῆς πόλεως νομίζειν ἕκαστον ὑμῶν δεῖ, ὅταν τὰ δημόσια εἰσίητε κρινοῦντες, εἴπερ ἄξια ἐκείνων πράττειν οἴεσθε χρῆναι.*

211. *Ἀλλὰ γὰρ ἐμπεσὼν εἰς τὰ πεπραγμένα τοῖς προγόνοις ὑμῶν ἔστιν ἃ τῶν ψηφισμάτων παρέβην καὶ τῶν πραχθέντων. ἐπανελθεῖν οὖν, ὁπόθεν εἰς ταῦτ' ἐξέβην, βούλομαι.*

*Ὡς γὰρ ἀφικόμεθα εἰς τὰς Θήβας, κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ' ἐκείνου θρασεῖς. ὅτι δ' οὐ νῦν ταῦτα λεγω τοῦ συμφέροντος ἕνεκα ἐμαυτῷ, λέγε μοι τὴν ἐπιστολὴν, ἣν τότ' ἐπέμψαμεν εὐθὺς οἱ πρέσβεις.* 212. *καίτοι τοσαύτῃ γε ὑπερβολῇ συκοφαντίας οὗτος κέχρηται, ὥστ', εἰ μέν τι τῶν δεόντων ἐπράχθη, τὸν καιρόν, οὐκ ἐμέ φησιν αἴτιον γεγενῆσθαι, τῶν δ' ὡς ἑτέρως συμβάντων ἁπάντων ἐμὲ καὶ τὴν ἐμὴν τύχην αἰτίαν εἶναι. καί, ὡς ἔοικεν, ὁ σύμβουλος καὶ ῥήτωρ ἐγὼ τῶν μὲν ἐκ λόγου καὶ τοῦ βουλεύσασθαι πραχθέντων οὐδενὸς αὐτῷ συναίτιος εἶναι δοκῶ, τῶν δ' ἐν τοῖς ὅπλοις καὶ κατὰ τὴν στρατηγίαν ἀτυχηθέντων μόνος αἴτιος εἶναι. πῶς ἂν ὠμότερος συκοφάντης γένοιτ' ἂν ἢ καταρατότερος τούτου; λέγε τὴν ἐπιστολήν.*

211. *ἐμπεσών*] Reiskius dedit *ἐκπεσών*, quoniam in hoc verbo notio insit aberrationis a recto tramite. Mihi vero *ἐμπεσών*, quod tuentur omnes codd. præter unum parum præstantem, longe præferendum videtur. Minime enim, ne levissime quidem, vult significare Demosthenes se a recto tramite aberrasse; sed forte fortuna incidisse se simulat in rem gravissimam, etsi consulto eam summa cum arte exposuit; et hoc est *ἐμπίπτειν*.

[*ὁπόθεν* Bekker. ex cod. Σ pro vulg. *ὅθεν*. V. C. F. R.]

*ἅμα τῇ βακτηρίᾳ καὶ τῷ συμβόλῳ*] Jam alio loco monuimus ab initio anni sex millia ex numero civium omnium *ἐπιτίμων* sorte designatos esse, ex quibus pro singulis causis per *ἡγεμόνα δικαστηρίου* aut thesmothetas certus judicum numerus ei *δικαστηρίῳ*, ad quod causa pertinebat, sorte designabantur. Singuli eorum, quibus sors obtigerat, accipiebant scipionem, qui jam heroica ætate insigne erat principum et judicum, pro varietate judiciorum varii coloris, et *σύμβολον*, i. e. tesseram, quam si post finem judicii colacretis, ut vocabantur *ταμίαι τοῦ δικαστικοῦ μισθοῦ* (cf. *Ruhnkenium* ad Timæi Lex. Plat. p. 171.), offerebat, mercedem constitutam accipiebat.

211. *εὐθύς*] Statim postquam Thebas veneramus.

212. *ὡς ἑτέρως*] Jam supra monui *ἑτέρως* per euphemismum de eo dici, quod *parum recte, infausto successu* factum sit. *ἑτέρως* hic proprie est: aliter ac fieri oportebat.

## ΕΠΙΣΤΟΛΗ.

213. Ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκείνους προτέρους διὰ τὸ τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν. καὶ παρελθόντες ἐδημηγόρουν πολλὰ μὲν Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ' ὑμῶν κατηγοροῦντες, ἅπανθ', ὅσα πώποτε ἐναντία ἐπράξατε Θηβαίους, ἀναμιμνήσκοντες. τὸ δ' οὖν κεφάλαιον, ἠξίουν ὧν μὲν εὖ πεπόνθεσαν ὑπὸ Φιλίππου χάριν αὐτοὺς ἀποδοῦναι, ὧν δ' ὑφ' ὑμῶν ἠδίκηνται δίκην λαβεῖν, ὁποτέρως βούλονται, ἢ διέντας αὐτοὺς ἐφ' ὑμᾶς, ἢ συνεμβαλόντας εἰς τὴν Ἀττικήν. καὶ ἐδείκνυσαν, ὡς ᾤοντο, ἐκ μὲν ὧν αὐτοὶ συνεβούλευον, τὰ ἐκ τῆς Ἀττικῆς βοσκήματα καὶ ἀνδράποδα καὶ τἄλλα ἀγαθὰ εἰς τὴν Βοιωτίαν ἥξοντα, ἐκ δὲ ὧν ἡμᾶς ἐρεῖν ἔφασαν, τὰ ἐν τῇ Βοιωτίᾳ διαρπασθησόμενα ὑπὸ τοῦ πολέμου. καὶ ἄλλα πολλὰ πρὸς τούτοις, εἰς ταὐτὰ δὲ πάντα συντείνοντα ἔλεγον. 214. ἃ δ' ἡμεῖς πρὸς ταῦτα ἀντείπομεν, τὰ μὲν καθ' ἕκαστα ἐγὼ μὲν ἀντὶ παντὸς τιμησαίμην ἂν εἰπεῖν τοῦ βίου, ὑμᾶς δὲ δέδοικα, μή, παρεληλυθότων τῶν καιρῶν, ὥσπερ ἂν εἰ κατακλυσμὸν ἡγούμενοι γεγενῆσθαι τῶν πραγμάτων, μάταιον ὄχλον τοὺς περὶ τούτων λόγους νομίσητε. ἃ δ' οὖν ἐπείσαμεν ἡμεῖς καὶ ἃ ἡμῖν ἀπεκρίναντο ἀκούσατε. λέγε ταυτὶ λαβών.

## ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΩΝ.

215. Μετὰ ταῦτα τοίνυν ἐκάλουν ὑμᾶς καὶ μετεπέμποντο. ἐξῄτε, ἐβοηθεῖτε, ἵνα τἀν μέσῳ παραλείπω, οὕτως οἰκείως ὑμᾶς ἐδέχοντο, ὥστ', ἔξω τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων ὄντων, εἰς τὰς οἰκίας καὶ τὸ ἄστυ δέχεσθαι τὴν στρατιὰν ἐπὶ παῖδας

213. *ἐκείνους*] Macedonum legatos, qui jam fere sociorum partes habebant. *αὐτούς*, Thebanos.

214. *κατακλυσμός*] Proprie est diluvium, tropice summa confusio, qualis fiebat tempore diluvii, ita ut cuncta sursum verterentur et ima summis miscerentur.

*μάταιον ὄχλον*] *inanem molestiam*, molestam verborum volubilitatem, ex qua nihil fructus redundare possit.

215. *ἐξῄτε, ἐβοηθεῖτε*] *βραχύλογος* oratio; *Rutilius* eam appellat, quum orator sententiæ brevitate præcedit auditoris exspectationem. In ea magnam vim habet asyndeton, et si singula momenta singulis exæquantur.

*τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων*] sc. Θηβαίων.

*εἰς τὰς οἰκίας καὶ τὸ ἄστυ*] Altera substantivorum collocatio notionum naturæ convenientior foret. Posset enim aliquis intromitti in urbem, qui non intromittitur in domos privatas. Illud est juris gentium, hoc hospitii. Magni hoc inprimis in bello haberi par est.

καὶ γυναῖκας καὶ τὰ τιμιώτατα. καίτοι τρία ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πᾶσιν ἀνθρώποις ἔδειξαν ἐγκώμια Θηβαῖοι καθ' ὑμῶν τὰ κάλλιστα, ἓν μὲν ἀνδρίας, ἕτερον δὲ δικαιοσύνης, τρίτον δὲ σωφροσύνης. καὶ γὰρ τὸν ἀγῶνα μεθ' ὑμῶν μᾶλλον ἢ πρὸς ὑμᾶς ἑλόμενοι ποιήσασθαι, καὶ ἀμείνους εἶναι καὶ δικαιότερα ἀξιοῦν ὑμᾶς ἔκριναν Φιλίππου· καὶ τὰ παρ' αὑτοῖς δὲ καὶ τὰ παρὰ πᾶσιν ἐν πλείστῃ φυλακῇ, παῖδας καὶ γυναῖκας, ἐφ' ὑμῖν ποιήσαντες σωφροσύνης πίστιν περὶ ὑμῶν ἔχοντες ἔδειξαν. 216. ἐν οἷς πᾶσιν, ἄνδρες Ἀθηναῖοι, κατά γε ὑμᾶς ὀρθῶς ἐφάνησαν ἐγνωκότες· οὔτε γάρ, εἰς τὴν πόλιν εἰσελθόντος τοῦ στρατοπέδου, οὐδεὶς οὐδὲν οὐδὲ ἀδίκως ὑμῖν ἐνεκάλεσεν· οὕτω σώφρονας παρέσχεσθε ὑμᾶς αὐτούς· δίς τε συμπαραταξάμενοι τὰς πρώτας μάχας, τήν τ' ἐπὶ τοῦ ποταμοῦ καὶ τὴν χειμερινήν, οὐκ ἀμέμπτους μόνον ὑμᾶς αὐτούς, ἀλλὰ καὶ θαυμαστοὺς ἐδείξατ ε τῷ κόσμῳ, ταῖς παρασκευαῖς, τῇ προθυμίᾳ. ἐφ' οἷς παρὰ μὲν τῶν ἄλλων ὑμῖν ἐγίγνοντο ἔπαινοι, παρὰ δὲ ὑμῶν θυσίαι καὶ πομπαὶ τοῖς θεοῖς. 217. καὶ ἔγωγε ἡδέως ἂν ἐροίμην Αἰσχίνην, ὅτε ταῦτ' ἐπράττετο, καὶ ζήλου καὶ χαρᾶς καὶ ἐπαίνων ἡ πόλις ἦν μεστή, πότερον συνέθυε καὶ συνευφραίνετο τοῖς πολλοῖς, ἢ λυπούμενος καὶ στένων καὶ δυσμεναίνων ἐπὶ τοῖς κοινοῖς ἀγαθοῖς οἴκοι καθῆτο; εἰ μὲν γὰρ παρῆν καὶ μετὰ τῶν ἄλλων ἐξητάζετο, πῶς οὐ δεινὰ ποιεῖ, μᾶλλον δ' οὐδ' ὅσια, εἰ, ὧν ὡς

*καθ' ὑμῶν*] Plerumque *κατὰ* cum gen. est *contra, in damnum, dedecus*, interdum tamen etiam *quod attinet ad, in favorem, honorem*. In textum sæpe hujus loco glossa intravit, ut h. l. codd. nonnulli habent *περί*. Hunc præpositionis usum Æschini vindicavi Ctes. 13.

*ἐφ' ὑμῖν ποιήσαντες*] Hic locus, ut alii, satis ostendit, quomodo differant *ἐφ' ὑμῖν* et *ὑφ' ὑμῖν ποιεῖν*. *'Εφ' ὑμῖν ποιεῖν*, tutelæ vestræ committere; *ὑφ' ὑμῖν ποιεῖν*, vobis subjicere. Cf. *Spohn.* ad Is. Paneg. c. 29. p. 79.

216. *κατά γε ὑμᾶς*] *quod vos quidem attinet*, de *vobis quidem*. SCHÆF.

*τοῦ στρατοπέδου*] sc. *ὑμετέρου*.

*τὰς πρώτας μάχας*] Quas oportet antecessisse fatalem illam Chæronensem: quarum tamen rationem et eventum accuratius non novimus.

*παρὰ τοῦ ποταμοῦ*] Per *ὁ ποταμὸς* intelligendus videtur *Cephissus* *κατ' ἐξοχὴν* sic dictus, unde nomen urbs jam ab Homero memorata habebat Παραποτάμιοι, a Xerxe vero diruta. *χειμερινὴν* non de tempore anni (vix enim hoc patitur chronologia), sed de tempestate, qua inter dimicandum exorta *μάχη* memorabile nomen *χειμερινῆς* accepit. Quæ ad hunc locum *Reiskius* monet, cum grano salis accipienda. "Hæc, inquit, tanti non est quærere. Quod sciri nequit, de eo ne quærendum quidem est. Multa sunt in vetustis auctoribus obscura, quæ nulla vis ingenii, nulla investigandi industria, nullus casus, nullus dies unquam aperiet." [Vid. de hoc loco Opp. XVI. (sic) ad *Clintoni* Fast. Hellen. p. 305. ed. Kr. *Winiewski* p. 249 et 253, ss.]

217. *ζῆλος*, tanta fortuna, quæ invidiam aliorum excitet.

*μετὰ τῶν ἄλλων ἐξητάζετο*] *ἐξετάζειν* ut verbum militare Latinorum est *lustrare, recensere*. Hinc tropice cum aliquo ejusdem ordinis, numeri esse, esse cum aliquo conjunctum.

ἀρίστων αὐτὸς τοὺς θεοὺς ἐποιήσατο μάρτυρας, ταῦθ' ὡς οὐκ ἄριστα νῦν ὑμᾶς ἀξιοῖ ψηφίσασθαι, τοὺς ὀμωμοκότας τοὺς θεούς; εἰ δὲ μὴ παρῆν, πῶς οὐκ ἀπολωλέναι πολλάκις ἐστὶ δίκαιος, εἰ, ἐφ' οἷς ἔχαιρον οἱ ἄλλοι, ταῦτα ἐλυπεῖτο ὁρῶν; λέγε δὴ καὶ ταῦτα τὰ ψηφίσματά μοι.

## ΨΗΦΙΣΜΑΤΑ ΘΥΣΙΩΝ.

218. Οὐκοῦν ἡμεῖς μὲν ἐν θυσίαις ἦμεν τότε, Θηβαῖοι δ' ἐν τῷ δι' ἡμᾶς σεσῶσθαι νομίζειν, καὶ περιειστήκει τοῖς βοηθείας δεήσεσθαι δοκοῦσιν, ἀφ' ὧν ἔπραττον οὗτοι, αὐτοὺς βοηθεῖν ἑτέροις ἐξ ὧν ἐπείσθητ' ἐμοί. ἀλλὰ μὴν οἵας τότ' ἠφίει φωνὰς ὁ Φίλιππος καὶ ἐν οἵαις ἦν ταραχαῖς ἐπὶ τούτοις ἐκ τῶν ἐπιστολῶν τῶν ἐκείνου μαθήσεσθε, ὧν εἰς Πελοπόννησον ἔπεμπεν. καί μοι λέγε ταύτας λαβών, ἵν' εἰδῆτε, ἡ ἐμὴ συνέχεια καὶ πλάνοι καὶ ταλαιπωρίαι καὶ τὰ πολλὰ ψηφίσματα, ἃ νῦν οὗτος διέσυρε, τί ἀπειργάσατο.

219. Καίτοι πολλοὶ παρ' ὑμῖν, ἄνδρες Ἀθηναῖοι, γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι· ἀλλ' ὅμως οὐδεὶς πώποτε τούτων διὰ παντὸς ἔδωκεν ἑαυτὸν εἰς οὐδὲν τῇ πόλει, ἀλλ' ὁ μὲν γράφων οὐκ ἂν ἐπρέσβευσεν, ὁ δὲ

217. *ὡς ἀρίστων*] *ὄντων*, additum post *ἀρίστων* in codd. nonnullis, omisit Bekker. Recte: nam additum turbat membrorum concinnitatem. SCHÆF.

218. *ἔπεμπεν*] Sic Bekker. in recentissima editione ex optimo cod. Σ dedit pro vulg. *ἔπεμψε*. Recte, opinor. Imperfectum enim hic verum, quod de pluribus, non de una epistola sermo. *ν* autem *ἐφελκυστικὸν* addunt ante majorem inprimis interpunctionem, etiam si quod sequitur vocabulum a consonante incipiat.

218. *ἀφ' ὧν ἔπραττον οὗτοι*] Æschinem intelligit et qui eadem cum ipso sentiebant. Eorum dolo malo videbantur Athenienses eo redactum iri, ut ipsis aliorum auxilio opus foret, per ea, quæ Demosthenes suadebat et quibus ipsi obediebant, eo perveniebant, ut aliis opem ferre possent, et salutis auctores haberentur.

*ἠφίει*] Verba composita ex *ἵημι* et præpositione *ἀπὸ* sæpe, immo plerumque, apud Atticos augmentum addunt præpositioni; non ausim tamen sine codd. id obtrudere. In Demosthene tamen id deesse nusquam notavi.

*συνέχεια*] *continens sine remissione attentio et cura.* *πλάνοι*, *peregrinationes*, frequentia quocunque locorum itinera, etiam periculosa et multis cum molestiis juncta.

219. *Καλλίστρατος ἐκεῖνος*] Callistratus, Callicratis filius, Aphidnæus, causa super Oropo peroranda tale Demostheni eloquentiæ, quale Herodotus historia sua recitanda Thucydidi historiæ, studium injecit, magna apud populum auctoritate valuit, eloquentia sic excellens, ut nemo sui temporis ei par poneretur. Hinc h. l. additum habet pronomen excellentiæ *ἐκεῖνος*. De *Aristophonte* locuti sumus ad § 70. *Κέφαλος* hic probe distinguendus a Cephalo, patri Lysiæ, Syracusano, *Κέφαλος ὁ παλαιὸς* ab Æschine appellatus Ctes. 64, idem, opinor, quem *Suidas* tradit *πρῶτον προοίμιον καὶ ἐπιλόγους συνθεῖναι*: qui probitate sic excelluit, ut nunquam se scribat accusatum esse. Quinam fuerit *Thrasybulus*, ex iis, qui eadem ætate bene meriti de republica sunt, incertum est.

πρεσβεύων οὐκ ἂν ἔγραψεν. ὑπελείπετο γὰρ αὐτῶν ἕκαστος ἑαυτῷ ἅμα μὲν ῥᾳστώνην, ἅμα δ', εἴ τι γίγνοιτο, ἀναφοράν. τί οὖν; εἴποι τις ἄν, σὺ τοσοῦτον ὑπερῆρας τοὺς ἄλλους ῥώμῃ καὶ τόλμῃ, ὥστε πάντα ποιεῖν αὐτός; οὐ ταῦτα λέγω, ἀλλ' οὕτως ἐπεπείσμην μέγαν εἶναι τὸν κατειληφότα κίνδυνον τὴν πόλιν, ὥστ' οὐκ ἐδόκει μοι χώραν οὐδὲ πρόνοιαν οὐδεμίαν τῆς ἰδίας ἀσφαλείας διδόναι, ἀλλ' ἀγαπητὸν εἶναι, εἰ μηδὲν παραλείπων τις ἃ δεῖ πράξειεν. 221. ἐπεπείσμην δ' ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν ἀναισθητῶν, ὅμως δ' ἐπεπείσμην μήτε γράφοντ' ἂν ἐμοῦ γράψαι βέλτιον μηδένα, μήτε πράττοντα πρᾶξαι, μήτε πρεσβεύοντα πρεσβεῦσαι προθυμότερον, μήδε δικαιότερον. διὰ ταῦτα ἐν ἅπασιν ἐμαυτὸν ἔταττον· λέγε τὰς ἐπιστολὰς τὰς τοῦ Φιλίππου.

## ΕΠΙΣΤΟΛΑΙ.

222. Εἰς ταῦτα κατέστησε Φίλιππον ἡ ἐμὴ πολιτεία, Αἰσχίνη· ταύτην τὴν φωνὴν ἐκεῖνος ἀφῆκε δι' ἐμὲ, πολλοὺς καὶ θρασεῖς τὰ πρὸ τούτων τῇ πόλει ἐπαιρόμενος λόγους. ἀνθ' ὧν δικαίως ἐστεφανούμην ὑπὸ τουτωνί, καὶ σὺ παρὼν οὐκ ἀντέλεγες, ὁ δὲ γραψάμενος Διώνδας τὸ μέρος τῶν ψήφων οὐκ ἔλαβε. καί μοι λέγε ταῦτα τὰ ψηφίσματα τὰ τότε μὲν ἀποπεφευγότα, ὑπὸ τούτου δὲ οὐδὲ γραφέντα.

## ΨΗΦΙΣΜΑΤΑ.

223. Ταυτὶ τὰ ψηφίσματα, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς αὐτὰς συλλαβὰς καὶ τὰ αὐτὰ ῥήματα ἔχει, ἅπερ πρότερον μὲν Ἀριστόνικος, νῦν δὲ Κτησιφῶν γέγραφεν οὑτοσί. καὶ ταῦτ' Αἰσχίνης οὔτ' ἐδίωξεν αὐτὸς οὔτε τῷ γραψαμένῳ συγκατηγόρησε. καίτοι τότε τὸν Δημομέλη, τὸν ταῦτα γράφοντα, καὶ τὸν Ὑπερίδην, εἴπερ ἀληθῆ μου νῦν κατηγορεῖ, μᾶλλον ἂν

εἴ τι γίγνοιτο] Euphemismus frequens, ut Latinorum *si quid accidisset.* ἀναφορὰ est perfugium, quo quis culpam a se aversurum sperat. Quod si enim quis solus rem totam gerit, difficile erit aliis persuadere culpam non esse in ipso, sed in rebus externis. Contra si quis partem nonnisi rei susciperet, alii alias partes, facilis est excusatio et facile fidem invenit, qui caute culpam in alium transfert.

221. τυχὸν μὲν ἀναισθητῶν, ὅμως δ' ἐπεπείσμην] Quam figuram rhetores προδιόρθωσιν vocant, quam definit *Aquila* § 1. *praecedentem correctionem.* Haec figura, inquit, ubi aliquid necessarium dictu et insuave audientibus aut odiosum nobis dicturi sumus, praemunit.

222. ἐπαίρεσθαι λόγους, *jactare gloriosos sermones in contumeliam alicujus.*

εἰκότως ἢ τόνδ' ἐδίωκεν. διὰ τί; 224. ὅτι τῷ μὲν ἔστ' ἀνενεγκεῖν ἐπ' ἐκείνους καὶ τὰς τῶν δικαστηρίων γνώσεις καὶ τὸ τοῦτον αὐτὸν ἐκείνων μὴ κατηγορηκέναι, ταὐτὰ γραψάντων, ἅπερ οὗτος νυνὶ, καὶ τὸ τοὺς νόμους μηκέτ' ἐᾶν περὶ τῶν οὕτω πραχθέντων κατηγορεῖν καὶ πολλὰ ἕτερα. τότε δ' αὐτὸ τὸ πρᾶγμα ἂν ἐκρίνετο ἐφ' ἑαυτοῦ, πρίν τι τούτων προλαβεῖν. 225. ἀλλ' οὐκ ἦν, οἶμαι, τότε, ὃ νυνὶ ποιεῖ, ἐκ παλαιῶν χρόνων καὶ ψηφισμάτων πολλῶν ἐκλέξαντα, ἃ μήτε προῄδει μηδεὶς μήτ' ἂν ᾠήθη τήμερον ῥηθῆναι, διαβάλλειν, καὶ μετενεγκόντα τοὺς χρόνους καὶ προφάσεις ἀντὶ τῶν ἀληθῶν ψευδεῖς μεταθέντα τοῖς πεπραγμένοις δοκεῖν τι λέγειν. 226. οὐκ ἦν τότε ταῦτα, ἀλλ' ἐπὶ τῆς ἀληθείας, ἐγγὺς τῶν ἔργων, ἔτι μεμνημένων ὑμῶν καὶ μόνον οὐκ ἐν ταῖς χερσὶν ἕκαστα ἐχόντων, πάντες ἐγίγνοντ' ἂν οἱ λόγοι. διόπερ τοὺς παρ' αὐτὰ τὰ πράγματ' ἐλέγχους φυγὼν νῦν ὕστερον ἥκει, ῥητόρων ἀγῶνα νομίζων, ὥς γ' ἐμοὶ δοκεῖ, καὶ οὐχὶ τῶν πεπολιτευμένων ἐξέτασιν ποιήσειν ὑμᾶς καὶ λόγου κρίσιν, οὐ τοῦ τῇ πόλει συμφέροντος ἔσεσθαι.

227. Εἶτα σοφίζεται καὶ φησὶ προσήκειν, ἧς μὲν οἴκοθεν ἥκετ' ἔχοντες, δόξης περὶ ἡμῶν ἀμελῆσαι, ὥσπερ δ', ὅταν οἰόμενοι περιεῖναι χρήματά τῳ λογίζησθε, ἂν καθαραὶ ὦσιν αἱ ψῆφοι καὶ μηδὲν περιῇ, συγχωρεῖτε, οὕτω καὶ νῦν τοῖς ἐκ τοῦ λόγου φαινομένοις προσθέσθαι. θεάσασθε τοίνυν, ὡς σαθρόν, ὡς ἔοικεν, ἐστὶ φύσει πᾶν, ὅ τι ἂν μὴ δικαίως ᾖ πεπραγμένον. 228. ἐκ γὰρ αὐτοῦ τοῦ σοφοῦ τούτου παραδείγματος ὡμολόγηκε νυνὶ ὑμᾶς ὑπάρχειν ἐγνωσμένους ἐμὲ μὲν λέγειν ὑπὲρ

224. τῷ μὲν ἔστ' ἀνενεγκεῖν] *ille eos appellare potest*, illorum exemplo ea, quæ fecit ipse, probare. αἱ τῶν δικαστηρίων γνώσεις, sententiæ a judicibus pronunciatæ, *a final decision.*

226. παρ' αὐτὰ τὰ πράγματ'] παρὰ cum accusativo, quod ipsum temporis momentum indicat, illustravimus supra § 13.

227. σοφίζεσθαι est vocabulum medium, quod plerumque tamen, ut hic, in malam partem accipitur, dolo malo aliquid excogitare, fraude et calumniis uti.

περιεῖναι] in computatione de eo, quod numeratis expensis residuum est, lucri fit.

καθαραὶ—ψῆφοι] *computatio, qua ratio acceptorum et datorum par est.* καθαραὶ explicatur more Demosthenico per sequens καὶ μηδὲν περιῇ.

228. ἐγνωσμένους] Notandum hoc participium h. l. de hominibus significatione media esse usurpatum: de rebus nonnisi passiva significatione adhibetur. Hic autem usus est frequens, ut præteritum formæ passivæ de hominibus media, de rebus passiva significatione usurpetur. *Taylor* commendat cod. Reg. lectionem ἐγνωκότας: quam equidem nonnisi a Grammatico suppositam esse opinor, quum præsertim *Bekkerus* nullam e suis codd. varietatem enotaverit.

τῆς πατρίδος, αὐτὸν δ' ὑπὲρ Φιλίππου· οὐ γὰρ ἂν μεταπείθειν ὑμᾶς ἐζήτει, μὴ τοιαύτης οὔσης τῆς ὑπαρχούσης ὑπολήψεως περὶ ἑκατέρου. 229. καὶ μὴν ὅτι γε οὐ δίκαια λέγει μεταθέσθαι ταύτην τὴν δόξαν ἀξιῶν ὑμᾶς, ἐγὼ διδάξω ῥᾳδίως, οὐ τιθεὶς ψήφους (οὐ γάρ ἐστιν ὁ τῶν πραγμάτων οὗτος λογισμός), ἀλλ' ἀναμιμνήσκων ἕκαστα ἐν βραχέσι, λογισταῖς ἅμα καὶ μάρτυσι τοῖς ἀκούουσιν ὑμῖν χρώμενος. 230. ἡ γὰρ ἐμὴ πολιτεία, ἧς οὗτος κατηγορεῖ, ἀντὶ μὲν τοῦ Θηβαίους μετὰ Φιλίππου συνεμβαλεῖν εἰς τὴν χώραν, ὃ πάντες ᾤοντο [ἔσεσθαι], μεθ' ὑμῶν συμπαραταξαμένους ἐκεῖνον κωλύειν ἐποίησεν, ἀντὶ δὲ τοῦ ἐν τῇ Ἀττικῇ τὸν πόλεμον εἶναι ἑπτακόσια στάδια ἀπὸ τῆς πόλεως ἐπὶ τοῖς Βοιωτῶν ὁρίοις γενέσθαι, ἀντὶ δὲ τοῦ τοὺς λῃστὰς ἡμᾶς φέρειν καὶ ἄγειν ἐκ τῆς Εὐβοίας, ἐν εἰρήνῃ τὴν Ἀττικὴν ἐκ θαλάττης εἶναι πάντα τὸν πόλεμον, ἀντὶ δὲ τοῦ τὸν Ἑλλήσποντον ἔχειν Φίλιππον λαβόντα Βυζάντιον, συμπολεμεῖν τοὺς Βυζαντίους μεθ' ἡμῶν πρὸς ἐκεῖνον. 231. ἆρά τοι ψήφοις ὅμοιος ὁ τῶν ἔργων λογισμὸς φαίνεται; ἢ δεῖν ἀντανελεῖν ταῦτα, ἀλλ' οὐχ, ὅπως τὸν ἅπαντα χρόνον μνημονευθήσεται, σκέψασθαι; καὶ οὐκέτι προστίθημι, ὅτι τῆς μὲν ὠμότητος, ἣν ἐν οἷς καθάπαξ τινῶν κύριος κατέστη Φίλιππος, ἔστιν ἰδεῖν, ἑτέροις πειραθῆναι

230. ὃ πάντες ᾤοντο] ἔσεσθαι, additum vulgo post ᾤοντο, quum omittant optimi codd., uncis inclusit Bekker. Mallem deletum. Schæf.

μεθ' ὑμῶν συμπαραταξαμένους] Bekker. in recentissima editione scripsit παραταξαμένους. Equidem huc usque eam tenui opinionem, librarios sexcentis in locis corrupisse verba composita in simplicia, raro simplicia mutasse in composita, eamque ne nunc quidem facile desero. Cognovi tamen, quum post absolutum primum Æschinis volumen Bekkeri editionem acciperem, eum sæpe, ubi ex optimis, qui ante accurate collati erant, codd. verba composita recepissem, retinuisse simplicia. Doleo eum nusquam canones, quos in constituenda lectione secutus sit, diserte exposuisse. Sic multis in locis dubii hæremus, cur lectionem aliquam prætulerit. Sæpe enim eum animadvertimus eosdem codd. modo secutum esse, modo neglexisse, ubi nos quidem ipsi causam diverse agendi rationis invenire non potuimus. Sic h. l. equidem opinor multo facilius συμπαραταξαμένους a librariis corruptum esse: præsertim quum parallelismum, qui inest in constructione cum præpositione μετά, non tolerarent.

229. λογισταῖς] Hic notione communi usurpatur *computatorum*. Alias Athenis erat nomen magistratus, cujus officium erat rationes eorum, qui publicis muneribus functi erant, intra triginta dies examinandi.

230. οἱ λῃσταί] Cf. ad Sect. I. p. 156. (sic).

φέρειν καὶ ἄγειν] Formula prædandi et vastandi in universum. *Ammonius* quidem ἄγεται μὲν, inquit, τὰ ἔμψυχα, φέρεται δὲ τὰ ἄψυχα: similia ceteri.

231. ἀντανελεῖν] Vocabulum rarum, cujus significatio tamen non est dubia. Dicitur enim de computatione mutua acceptorum et expensorum, quæ invicem compensantur. Ironia est hujus loci faceta et acerba.

συνέβη. τῆς δὲ φιλανθρωπίας, ἣν τὰ λοιπὰ τῶν πραγμάτων ἐκεῖνος περιβαλλόμενος πρὸς ὑμᾶς ἐπλάττετο, ὑμεῖς καλῶς ποιοῦντες τοὺς καρποὺς κεκόμισθε. ἀλλ' ἐῶ ταῦτα.

232. Καὶ μὴν οὐδὲ τοῦτ' εἰπεῖν ὀκνήσω, ὅτι ὁ τὸν ῥήτορα βουλόμενος δικαίως ἐξετάζειν καὶ μὴ συκοφαντεῖν, οὐκ ἄν, οἷα σὺ νῦν ἔλεγες, τοιαῦτα κατηγόρει, παραδείγματα πλάττων καὶ ῥήματα καὶ σχήματα μιμούμενος (πάνυ γὰρ παρὰ τοῦτο, οὐχ ὁρᾷς; γέγονε τὰ τῶν Ἑλλήνων, εἰ τουτὶ τὸ ῥῆμα, ἀλλὰ μὴ τουτὶ διελέχθην ἐγώ, ἢ δευρὶ τὴν χεῖρα, ἀλλὰ μὴ δευρὶ παρήνεγκα), 233. ἀλλ' ἐπ' αὐτῶν τῶν ἔργων ἂν ἐσκόπει, τίνας εἶχεν ἀφορμὰς ἡ πόλις καὶ τίνας δυνάμεις, ὅτ' εἰς τα πράγματα εἰσῄειν, καὶ τίνας συνήγαγον αὐτῇ μετὰ ταῦτ' ἐπιστὰς ἐγώ, καὶ πῶς εἶχε τὰ τῶν ἐναντίων. εἶτ' εἰ μὲν ἐλάττους ἐποίησα τὰς δυνάμεις, παρ' ἐμοὶ τἀδίκημ' ἂν ἐδείκνυεν ὄν, εἰ δὲ πολλῷ μείζους, οὐκ ἂν ἐσυκοφάντει. ἐπειδὴ δὲ σὺ τοῦτο πέφευγας, ἐγὼ ποιήσω. καὶ σκοπεῖτε, εἰ δικαίως χρήσομαι τῷ λόγῳ.

234. Δύναμιν μὲν τοίνυν εἶχεν ἡ πόλις τοὺς νησιώτας, οὐχ ἅπαντας, ἀλλὰ τοὺς ἀσθενεστάτους· οὔτε γὰρ Χίος οὔτε Ῥόδος οὔτε Κέρκυρα μεθ' ἡμῶν ἦν· χρημάτων δὲ σύνταξιν εἰς πέντε καὶ τετταράκοντα τάλαντα, καὶ ταῦτ' ἦν προεξειλεγ-

231. *κεκόμισθε*] Iterum graviter aberrat Reiske opinans excidisse *δι' ἐμέ*. Vult quidem orator, ut sic sententiam audientes accipiant, sed multum abest, ut ipse disertis verbis id exprimat. Facile erat oratori vocabulorum sono, gestu cet. id significare. Formula ipsa, quæ celeriter hoc momentum quasi abrumpit, *ἀλλ' ἐῶ ταῦτα*, significans est.

*ἣν τὰ λοιπὰ τῶν πραγμάτων ἐκεῖνος περιβαλλόμενος πρὸς ὑμᾶς ἐπλάττετο*] *Reiskius* inepte interpretatur *reliqua seu Thraciæ seu Græciæ, nondum a se subacta, conans ad se rapere sibique veluti amiculum circumjicere. περιβαλλόμενος πρὸς ὑμᾶς ἐπλάττετο*, fingebat erga vos circumjiciens, i. e. circumjecit per simulationem. *ἣν*, sc. *φιλανθρωπίαν*, humanitem. Ad accusativum *τὰ λοιπὰ τῶν πραγμάτων* supplenda ex participio *περιβαλλόμενος* præpositio *περί*, simulabat humanitatem in omnes, quos sibi subjecerat, erga Athenienses, ut eo mitiores ipsi forent, nec, si cederent iis, quæ Philippus optaret, opinarentur servitute se oppressum iri. Locum melius quam Reiskius interpretatus est *Weiske* de hyperb. II. p. 45.

232. *ῥήματα* cet.] Respicit gravem Æschinis criminationem in Ctes. c. 52.

*οὐχ ὁρᾷς;*] Formula negativa, quæ ironice sæpe inseritur parentheticæ enuntiationi.

233. *ἐπ' αὐτῶν τῶν ἔργων*] *ἐπὶ* cum genitivo etiam hic normam, quæ sequenda sit, indicat.

*ἐπιστὰς ἐγώ*] *ex quo ego accesseram ad rem publicam.*

234. *Κέρκυρα* inprimis potens erat copiis maritimis.

*σύνταξις*] Hoc nomen erat euphemisticum, quod dabatur pecuniis a sociis præstandis. Nomen *φόρον, tributi*, erat odiosum. Callistratus celebris ille orator dicitur hoc nomen *συντάξεων* primus adhibuisse pro nomine *φόρων*.

*προεξειλεγμένα*] A verbo *προεκλέγειν*,

*μένα· ὁπλίτην δ᾽ ἢ ἱππέα πλὴν τῶν οἰκείων οὐδένα. ὃ δὲ πάντων καὶ φοβερώτατον καὶ μάλισθ᾽ ὑπὲρ τῶν ἐχθρῶν, οὗτοι παρεσκευάκεσαν τοὺς περιχώρους πάντας ἔχθρας ἢ φιλίας ἐγγυτέρω, Μεγαρεῖς, Θηβαίους, Εὐβοέας.* 235. *τὰ μὲν τῆς πόλεως οὕτως ὑπῆρχεν ἔχοντα, καὶ οὐδεὶς ἂν ἔχοι παρὰ ταῦτ᾽ εἰπεῖν ἄλλο οὐδέν· τὰ δὲ τοῦ Φιλίππου, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγών, σκέψασθε πῶς. πρῶτον μὲν ἦρχε τῶν ἀκολουθούντων αὐτὸς αὐτοκράτωρ ὤν, ὃ τῶν εἰς τὸν πόλεμον μέγιστόν ἐστιν ἁπάντων· εἶθ᾽ οὗτοι τὰ ὅπλα εἶχον ἐν ταῖς χερσὶν ἀεί· ἔπειτα χρημάτων εὐπόρει, καὶ ἔπραττεν ἃ δόξειεν αὐτῷ, οὐ προλέγων ἐν τοῖς ψηφίσμασιν, οὐδ᾽ ἐν τῷ φανερῷ βουλευόμενος, οὐδ᾽ ὑπὸ τῶν συκοφαντούντων κρινόμενος, οὐδὲ γραφὰς φεύγων παρανόμων, οὐδ᾽ ὑπεύθυνος ὢν οὐδενί, ἀλλ᾽ ἁπλῶς αὐτὸς δεσπότης, ἡγεμών, κύριος πάντων.* 236. *ἐγὼ δ᾽ ὁ πρὸς τοῦτον ἀντιτεταγμένος (καὶ γὰρ τοῦτ᾽ ἐξετάσαι δίκαιον) τίνος κύριος ἦν; οὐδενός. αὐτὸ γὰρ τὸ δημηγορεῖν πρῶτον, οὗ μόνου μετεῖχον ἐγώ, ἐξ ἴσου προὐτίθεθ᾽ ὑμεῖς τοῖς παρ᾽ ἐκείνου μισθαρνοῦσι καὶ ἐμοί, καὶ ὅσα οὗτοι περιγένοιντο ἐμοῦ (πολλὰ δ᾽ ἐγίγνετο ταῦτα, δι᾽ ἣν ἕκαστον τύχοι πρόφασιν), ταῦθ᾽ ὑπὲρ τῶν ἐχθρῶν ἀπῆτε βεβουλευμένοι.* 237. *ἀλλ᾽ ὅμως ἐκ τοιούτων ἐλαττωμάτων ἐγὼ συμμάχους μὲν ὑμῖν ἐποίησα Εὐβοέας, Ἀχαίους, Κορινθίους, Θηβαίους, Μεγαρέας, Λευκαδίους, Κερκυραίους, ἀφ᾽ ὧν μύριοι μὲν καὶ πεντακισχίλιοι ξένοι, δισχίλιοι δ᾽ ἱππεῖς ἄνευ τῶν πολιτικῶν δυνάμεων συνήχθησαν· χρημάτων δέ, ὅσων ἠδυνήθην ἐγώ, πλείστην συντέλειαν ἐποίησα.* 238. *εἰ δὲ λέγεις ἢ τὰ πρὸς Θηβαίους δίκαια,*

234. παρεσκευάκεσαν] Mirum, quod Bekkerus, qui in priore editione ex codd. jam ante collatis sic dederat, in altera vulgatum restituerit *παρεσκευάκεισαν*. Accurata, quam Lobeck. instituit ad Phryn. p. 150, disquisitio tertiam pluralem plusquamperfecti in *εισαν* vix usquam in edd. inveniri, quin codd. optimi offerant terminationem ab accuratissimis Grammaticis unice probatam *εσαν*.

*ante colligere.* Nempe pecuniæ a sociis præstandæ jam ante erant exactæ, quam Demosthenes ad rempublicam accedebat.

οὗτοι] sc. ἀκολουθοῦντες Φιλίππῳ.

235. *ἁπλῶς, without restriction; unlimited.*

236. ὑπὲρ τῶν ἐχθρῶν] In utilitatem hostium, ut ex opposito in vestrum damnum.

237. ξένοι] h. l. videntur copiæ pedestres sociorum, gravis armaturæ. *Pedestres* intelligendas esse patet ex opposito *ἱππεῖς*; *gravis armaturæ*, ex opposito *πολιτικαὶ δυνάμεις*: quæ videntur esse copiæ civiles, quarum usus nonnisi erat in tenenda tuendaque ipsorum regione, et quæ extrorsum nonnisi summo rerum discrimine adhibebantur.

συντέλεια] est vocabulum proprium de collatione pecuniarum a parte sociorum.

Αἰσχίνη, ἢ τὰ πρὸς Βυζαντίους, ἢ τὰ πρὸς Εὐβοέας, ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγῃ, πρῶτον μὲν ἀγνοεῖς, ὅτι καὶ πρότερον τῶν ὑπὲρ τῶν Ἑλλήνων ἐκείνων ἀγωνισαμένων τριήρων, τριακοσίων οὐσῶν τῶν πασῶν, τὰς διακοσίας ἡ πόλις παρέσχετο, καὶ οὐκ ἐλαττοῦσθαι νομίζουσα οὐδὲ κρίνουσα τοὺς ταῦτα συμβουλεύσαντας οὐδὲ ἀγανακτοῦσα ἐπὶ τούτοις ἑωρᾶτο (αἰσχρὸν γάρ), ἀλλὰ τοῖς θεοῖς ἔχουσα χάριν, εἰ, κοινοῦ κινδύνου τοῖς Ἕλλησι περιστάντος, αὐτὴ διπλάσια τῶν ἄλλων εἰς τὴν ἁπάντων σωτηρίαν παρέσχετο. 239. εἶτα κενὰς γε χαρίζῃ χάριτας τουτοισὶ συκοφαντῶν ἐμέ. τί γὰρ νῦν λέγεις οἷα ἐχρῆν πράττειν, ἀλλ' οὐ τότ', ὢν ἐν τῇ πόλει καὶ παρών, ταῦτ' ἔγραφες, εἴπερ ἐνεδέχετο παρὰ τοὺς παρόντας καιρούς, ἐν οἷς οὐχ ὅσα ἐβουλόμεθα, ἀλλ' ὅσα δοίη τὰ πράγματ', ἔδει δέχεσθαι· ὁ γὰρ ἀντωνούμενος καὶ ταχὺ τοὺς παρ' ἡμῶν ἀπελαυνομένους προσδεξόμενος καὶ χρήματα προσθήσων ὑπῆρχεν ἑτοιμος.

240. Ἀλλ' εἰ νῦν ἐπὶ τοῖς πεπραγμένοις κατηγορίας ἔχω, τί ἂν οἴεσθε, εἰ τότ', ἐμοῦ περὶ τούτων ἀκριβολογουμένου, ἀπῆλθον αἱ πόλεις καὶ προσέθεντο Φιλίππῳ, καὶ ἅμα Εὐβοίας καὶ Θηβῶν καὶ Βυζαντίου κύριος κατέστη, τί ποιεῖν ἂν ἢ τί λέγειν τοὺς ἀσεβεῖς ἀνθρώπους τουτουσί; 241. οὐχ ὡς

238. ἢ περὶ τῶν ἴσων] Reisk. dedit, quod in margine cod. Bav. invenerat. Cod. Bav., qui ad marginem multas acceperat correctiones grammatici haud indocti, nimium valebat auctoritate apud Reiskium, et correctiones margini adscriptas non solum lectionibus in textu positis æquiparabat, sed etiam præferebat. H. l. vulgatum verissimum est. Respicit enim Demosthenes id, quod Æschines ipsi objecerat, dicens eum in psephismatibus semper plus oneris imposuisse Atheniensibus quam sociis, paria autem utrisque commoda, majora etiam interdum sociis.

τριήρων] Multi iique boni codd. habent τριηρῶν: qui accentus est secundum communem contractionis regulam. Sed in MSS. hujus genitivi accentus ubique variat, et antiquorum Grammaticorum celebratissimi tradunt Atticos scripsisse τριήρων.

240. τί λέγειν] Delevit in recentissima editione Bekk. οἴεσθε, vulgo additum. In se quidem hæc repetitio non damnanda. Sæpe enim scriptores veteres inchoant interrogativam enuntiationem ita, ut pronomen interrogativum cum verbo finito et particula ἄν, quæ ad infinitivum pertinet, præcedere jubeant, tum interjecta alia enuntiatione totam repetant interrogationem, ut, quod præcesserit, ne deleatur oblivione. In se ergo hæc repetitio non damnanda. Sed quod suspicionem movet, id est, quod verbum locum in codd. mutet, quæ glossæ solet esse judicium; nec potest negari abjecto verbo rotundiorem esse orationem, et recta pronuntiatione simpliciorem fieri, ut non in οἴεσθε ponatur tonus, sed in λέγειν et ποιεῖν. Sufficit repetitum ἄν.

239. κενὰς—χάριτας] *officia inania*, quorum qui accipit gratiam habet nullam, qui ea recusat nihil amittit. Intelligit Athenienses ipsos, quibus grati quid dicturum se speret, dum dicat per Demosthenem eos ad impensas majores quam ceteri esse perductos, minime hanc calumniam probaturos, sed gloriaturos exemplum se majorum proprio arbitrio suoque ipsorum impetu esse imitatos.

ἐξεδόθησαν; οὐχ ὡς ἀπηλάθησαν βουλόμενοι μεθ' ὑμῶν εἶναι; εἶτα τοῦ μὲν Ἑλλησπόντου διὰ Βυζαντίων ἐγκρατὴς καθέστηκε, καὶ τῆς σιτοπομπίας τῆς τῶν Ἑλλήνων κύριος [γέγονε], πόλεμος δ' ὅμορος καὶ βαρὺς εἰς τὴν Ἀττικὴν διὰ Θηβαίων κεκόμισται, ἄπλους δ' ἡ θάλαττα ὑπὸ τῶν ἐκ τῆς Εὐβοίας ὁρμωμένων λῃστῶν γέγονεν; οὐκ ἂν ταῦτ' ἔλεγον καὶ πολλά γε πρὸς τούτοις ἕτερα; 242. πονηρόν, ὦ ἄνδρες Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης ἀεὶ καὶ πανταχόθεν βάσκανον καὶ φιλαίτιον· τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν, οὐδὲν ἐξ ἀρχῆς ὑγιὲς πεποιηκὸς οὐδ' ἐλεύθερον, αὐτοτραγικὸς πίθηκος, ἀρουραῖος Οἰνόμαος, παράσημος ῥήτωρ. τί γὰρ ἡ σὴ δεινότης εἰς ὄνησιν ἥκει τῇ πατρίδι; νῦν ἡμῖν λέγεις περὶ τῶν παρεληλυθότων; 243. ὥσπερ ἂν εἴ τις ἰατρὸς ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιὼν μὴ λέγοι μηδὲ δεικνύοι δι' ὧν ἀποφεύξονται τὴν νόσον, ἐπειδὴ δὲ τελευτήσειέ τις αὐτῶν καὶ τὰ νομιζόμενα αὐτῷ φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα διεξίοι "εἰ τὸ καὶ τὸ ἐποίησεν ἄνθρωπος οὑτοσί, οὐκ ἂν ἀπέθανεν." ἐμβρόντητε, εἶτα νῦν λέγεις;

243. ἀποφεύξονται] Bekker. in prima editione dedit ἀποφευξοῦνται pro eo, quod antea vulgabatur, ἀποφεύξωνται, quod ab Attico scriptore non est profectum. Nec enim Attici usquam adhibent aoristum primum verbi φεύγω, sed secundum formæ activæ ἔφυγον. Futurum autem petunt ex forma media φεύξομαι. Terminationem autem, quam Doricam appellant Grammatici, quamque poetæ etiam Attici haud raro adhibent, contra codd. MSS. oratoribus non obtrudam. Itaque probo quod est in recentissima editione ἀποφεύξονται sine varietate, ut opineris omnes jam codd. hanc lectionem præbuisse.

241. *εἶτα τοῦ μὲν Ἑλλησπόντου cet.*] Possis hanc orationem mimicam appellare, h. e. non amplius loquitur et interrogat ex sua persona orator, sed loquentes inducit adversarios ipsos: quæ figura, si rationem et orationem exprimit adversariorum, suam habet laudem.

242. *αὐτοτραγικὸς πίθηκος*] Jam ætate antiqua videtur varia lectio obtinuisse. *Harpocration* habet τραγικὸς πίθηκος· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἔοικε λέγειν τοῦτο ὁ ῥήτωρ, ὡς καὶ παρὰ τὴν ὑπόκρισιν ἀτυχοῦντος τοῦ Αἰσχίνου καὶ μιμουμένου μᾶλλον τραγῳδοὺς ἢ τραγῳδεῖν δυναμένου. Eadem verba habet *Photius*, qui alteram dein addit glossam: τραγικὸς πίθηκος παροιμία· ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων. Similia habet *Suidas* utrisque conjunctis. Aliam item lectionem obtinuisse opinari possis ex *Bekkeri* Anecdotis p. 307. Ibi enim legitur Τραγικὸς Θεοκρίνης ὁ Αἰσχίνης ὠνόμασται ὑπὸ Δημοσθένους, διὰ τὸ ὑποκριτὴν εἶναι τὸν Αἰσχίνην καὶ συκοφάντην. ὁ γὰρ Θεοκρίνης ἐπὶ συκοφαντίᾳ ἐκωμῳδεῖτο, et ex p. 184, in ἀρουραῖος Οἰνόμαος. Sed respicitur locus, qui est infra § 313.

*ἀρουραῖος Οἰνόμαος*] *Hesychius* s. v. Δημοσθένης Αἰσχίνην οὕτως ἔφη, ἐπεὶ κατὰ τὴν χώραν περινοστῶν ὑπεκρίνετο Σοφοκλέους τὸν Οἰνόμαον. Videtur tamen ἀρουραῖος potius agrestem et pinguem partium actionem spectare, quam ad peregrinationem, ut patet ex eo, quod supra habuimus § 180.

*παράσημος ῥήτωρ*] *Bekkeri* Anecdd. p. 292. ὁ φαῦλος, ἀπὸ μεταφορᾶς τῶν νομισμάτων, ἐπεὶ τὰ φαῦλα καὶ τὸ ἀδόκιμα παράσημα καλεῖται παρὰ τὸ κακῶς σέσημάνθαι, ὅπερ ἐστὶν ἐσφραγίσθαι.

243. *τὰ νομιζόμενα*] Quæ leges et instituta jubent mortuis post mortem fieri, inferias cet.

244. Οὐ τοίνυν οὐδὲ τὴν ἧτταν, εἰ ταύτῃ γαυριᾷς, ἐφ' ᾗ στένειν σε, ὦ κατάρατε, προσῆκεν, ἐν οὐδενὶ τῶν παρ' ἐμοῦ γεγονυῖαν εὑρήσετε τῇ πόλει. οὑτωσὶ δὲ λογίζεσθε. οὐδαμοῦ πώποτε, ὅποι πρεσβευτὴς ἐπέμφθην ὑφ' ὑμῶν ἐγώ, ἡττηθεὶς ἀπῆλθον τῶν παρὰ Φιλίππου πρέσβεων, οὐκ ἐκ Θετταλίας, οὐκ ἐξ Ἀμβρακίας, οὐκ ἐξ Ἰλλυριῶν, οὐ παρὰ τῶν Θρᾳκῶν βασιλέων, οὐκ ἐκ Βυζαντίου, οὐκ ἄλλοθεν οὐδαμόθεν, οὐ τὰ τελευταῖα πρῴην ἐκ Θηβῶν, ἀλλ' ἐν οἷς κρατηθεῖεν οἱ πρέσβεις αὐτοῦ τῷ λόγῳ, ταῦτα τοῖς ὅπλοις ἐπιὼν κατεστρέφετο. 245. ταῦτ' οὖν ἀπαιτεῖς παρ' ἐμοῦ, καὶ οὐκ αἰσχύνει τὸν αὐτὸν εἴς τε μαλακίαν σκώπτων καὶ τῆς τοῦ Φιλίππου δυνάμεως ἀξιῶν ἕνα ὄντα κρείττω γενέσθαι; καὶ ταῦτα τοῖς λόγοις; τίνος γὰρ ἄλλου κύριος ἦν ἐγώ; οὐ γὰρ τῆς γε ἑκάστου ψυχῆς, οὐδὲ τῆς τύχης τῶν παραταξαμένων, οὐδὲ τῆς στρατηγίας, ἧς ἔμ' ἀπαιτεῖς εὐθύνας. οὕτω σκαιὸς εἶ. 246. ἀλλὰ μέν, ὧν γ' ἂν ὁ ῥήτωρ ὑπεύθυνος εἴη, πᾶσαν ἐξέτασιν λάμβανε· οὐ παραιτοῦμαι. τίνα οὖν ἐστι ταῦτα; ἰδεῖν τὰ πράγματα ἀρχόμενα καὶ προαισθέσθαι καὶ προειπεῖν τοῖς ἄλλοις. ταῦτα πέπρακταί μοι. καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας, ὄκνους, ἀγνοίας, φιλονεικίας, ἃ πολιτικὰ ταῖς

246. ἃ πολιτικά] Reiskius de conjectura dedit ἃ *συνήλικα*, quod explicat: "quæ vitia civitatibus omnibus cognata sunt, cum ipsis nata, durantque, donec ipsæ permanent." Antequam conjecturam in textum recepisset, vellem ostendisset, quinam scriptorum Atticorum vocabulum *συνῆλιξ* adhibuerit, quinam Græcorum id conjunxerit cum *ἁμαρτήμασι* similive substantivo. Novimus quidem ex versione Alexandrina Veteris Testamenti *συνήλικα παιδάρια*: sed quid hoc ad portentosum *συνήλικα ἁμαρτήματα*? Nos quidem codd. lectione facile acquiescimus, et per *πολιτικὰ ἁμαρτήματα* intelligimus vitia, quæ civili rationi adhærent; ipse gravi vocabulo, immo nimium gravi *ἀναγκαῖα* explicat. Licet enim non necessaria sint illa vitia, obtinent tamen plerumque in democratia, quam per civilem rationem intelligit.

244. *γαυριᾷς*] Verbum *γαυριᾶν* a quibusdam Grammaticis rejectum esse quasi non Atticum patet ex Antiatticista, quem *Bekkerus* edidit in Anecd. Vol. I. Is enim p. 87. *γαυριᾶν*, inquit, *καὶ τοῦτο μέμφονται. Δημοσθένης περὶ τοῦ στεφάνου, Εὐριπίδης Βάκχαις.* Demosthenis locus hic est, nec tamen usquam præter hunc locum memini me hoc verbum in Demosthene legere. In Euripidis quidem Bacchis hodie nusquam invenitur, nec in aliis ejusdem fabulis. Quum tamen certæ sint in Bacchis lacunæ, excidisse *Elmsleius* opinatur in notis ad 1142. Equidem non intelligo, cur verbum rejiciendum sit. *γαῦρος* enim est *superbus*. Verba autem in *ᾶν* et *ιᾶν* derivata proprie in animi corporisve affectionibus usurpantur. Quanquam apud Atticos in animi perturbationibus *ᾶν* plerumque præferant derivationi in *ιᾶν*—*γαυριᾶν* autem simile est nostro *Ehrsucht haben*.

*τῶν παρ' ἐμοῦ*] *quæ a mea parte agenda erant.*

245. *τῆς γ' ἑκάστου ψυχῆς*] Videtur hoc dicere: penes se non fuisse singulorum vitam, mortem se non potuisse avertere ab iis, quorum sors ceciderat; per *τύχην* autem respicit eventum pugnæ, qui prosper esse potest, etiamsi multi occumbunt.

246. *πᾶσαν ἐξέτασιν*] *vel rigidissimum examen.*

πόλεσι πρόσεστιν ἁπάσαις καὶ ἀναγκαῖα ἁμαρτήματα, ταῦθ' ὡς εἰς ἐλάχιστον συστεῖλαι, καὶ τοὐναντίον εἰς ὁμόνοιαν καὶ φιλίαν καὶ τοῦ τὰ δέοντα ποιεῖν ὁρμὴν προτρέψαι. καὶ ταῦτά μοι πάντα πεποίηται, καὶ οὐδεὶς μήποθ' εὕρῃ τὸ κατ' ἐμὲ οὐδὲν ἐλλειφθέν. 247. εἰ τοίνυν τις ἔροιτο ὁντινοῦν, τίσι τὰ πλεῖστα Φίλιππος, ὧν κατέπραξε, διῳκήσατο, πάντες ἂν εἴποιεν, τῷ στρατοπέδῳ καὶ τῷ διδόναι καὶ διαφθείρειν τοὺς ἐπὶ τῶν πραγμάτων. οὐκοῦν τῶν μὲν δυνάμεων οὔτε κύριος οὔθ' ἡγεμὼν ἦν ἐγώ, ὥστε οὐδ' ὁ λόγος τῶν κατὰ ταῦτα πραχθέντων πρὸς ἐμέ. καὶ μὴν τῷ γε μὴ διαφθαρῆναι χρήμασιν κεκράτηκα Φιλίππου. ὥσπερ γὰρ ὁ ὠνούμενος νενίκηκε τὸν λαβόντα, ἐὰν πρίηται, οὕτως ὁ μὴ λαβὼν μηδὲ διαφθαρεὶς νενίκηκε τὸν ὠνούμενον. ὥστε ἀήττητος ἡ πόλις τό κατ' ἐμέ.

248. Ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαίως τοιαῦτα γράφειν τουτονὶ περὶ ἐμοῦ, πρὸς πολλοῖς ἑτέροις ταῦτα καὶ τὰ παραπλήσια τούτοις ἐστίν, ἃ δ' οἱ πάντες ὑμεῖς, ταῦτ' ἤδη λέξω. μετὰ γὰρ τὴν μάχην εὐθὺς ὁ δῆμος, εἰδὼς καὶ ἑωρακὼς πάντα ὅσα ἔπραττον ἐγώ, ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ φοβεροῖς ἐμβεβηκώς, ἡνίκ' οὐδὲ ἀγνωμονῆσαί τι θαυμαστὸν ἦν τοὺς πολλοὺς πρὸς ἐμέ, πρῶτον μὲν περὶ σωτηρίας τῆς πόλεως τὰς ἐμὰς γνώμας ἐχειροτόνει, καὶ πάνθ', ὅσα τῆς φυλακῆς ἕνεκα ἐπράττετο, ἡ διάταξις τῶν φυλακῶν, αἱ τάφροι, τὰ εἰς τὰ τείχη χρήματα, διὰ τῶν ἐμῶν ψηφισμάτων ἐγίγνετο. ἔπειθ' αἱρούμενος σιτώνην ἐκ πάντων ἐμὲ ἐχειροτόνησεν ὁ δῆμος.

*οὐδεὶς μήποθ' εὕρῃ*] Notanda constructio et phrasis, *Dawesii* et *Brunckii* tempore cum ira et studio agitata. Ex eo tempore libri grammatici tradunt *οὐ μὴ* cum aor. 2. conj. vi futuri negativi positum esse. Non negamus, si sensum spectamus, ita hoc dici posse; sed si singulorum vocabulorum vim et constructionis rationem cognoscere velimus, dicendum est ellipticam esse locutionem, sic supplendam, *οὐ φοβοῦμαι μή*, et nostrum more Græco in unum vocabulum juncta negatione *οὐ* et pronomine *τις* in *οὐδεὶς* pro *οὐ φοβοῦμαι. μὴ ποτέ τις εὕρῃ.* Sic intelligitur, cur conjunctivus *εὕρῃ* ponendus sit, non optativus *εὕροι*, qui est in editionibus vulgatis et aliquot codd.

247. *τοὺς ἐπὶ τῶν πραγμάτων*] Consulto videtur Demosthenes nomen generale posuisse, quanquam ex contextu satis patet *πράγματα πολεμικὰ* intelligenda esse, quamvis ne *πολιτικὰ* quidem exclusa velit ratione Æschinis ejusque asseclarum.

*ἐὰν πρίηται*] sc. *ὁ ὠνούμενος τὸν λαβόντα.*

248. *ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ φοβεροῖς ἐμβεβηκώς*] *quum in maximis terroribus summoque metu versaretur?*

*ἀγνωμονῆσαι*] *ἀγνώμων* proprie est: sana ratione destitutus; tum sensu prægnante: qui sic agit, ut par est hominem sana ratione destitutum. Hinc *ἀγνωμονεῖν*, prave et perverse agere.

*τὰ εἰς τὰ τείχη χρήματα*] Videtur hic locus indicare demum post pugnam Chæronensem Demosthenem muros restaurasse. [Cf. Lycurgi Or. c. Leocr. c. 6. et c. 11. F. I.]

*σιτώνην*] Vi vocabuli is, cui publice

249. καὶ μετὰ ταῦτα συστάντων, οἷς ἦν ἐπιμελὲς κακῶς ἐμὲ ποιεῖν, καὶ γραφάς, εὐθύνας, εἰσαγγελίας, πάντα ταῦτα ἐπαγόντων μοι, οὐ δι' ἑαυτῶν τό γε πρῶτον, ἀλλὰ δι' ὧν μάλισθ' ὑπελάμβανον ἀγνοήσεσθαι (ἴστε γὰρ δήπου καὶ μέμνησθε, ὅτι τοὺς πρώτους χρόνους κατὰ τὴν ἡμέραν ἑκάστην ἐκρινόμην ἐγώ, καὶ οὔτ' ἀπόνοια Σωσικλέους, οὔτε συκοφαντία Φιλοκράτους, οὔτε Διώνδου καὶ Μελάντου μανία, οὔτ' ἄλλ' οὐδὲν ἀπείρατον ἦν τούτοις κατ' ἐμοῦ), ἐν τοίνυν τούτοις πᾶσι μάλιστα μὲν διὰ τοὺς θεούς, δεύτερον δὲ δι' ὑμᾶς καὶ τοὺς ἄλλους Ἀθηναίους ἐσωζόμην. δικαίως· τοῦτο γὰρ καὶ ἀληθές ἐστι καὶ ὑπὲρ τῶν ὀμωμοκότων καὶ γνόντων τὰ εὔορκα δικαστῶν. 250. οὐκοῦν ἐν μὲν οἷς εἰσηγγελλόμην, ὅτε ἀπεψηφίζεσθέ μου καὶ τὸ μέρος τῶν ψήφων τοῖς διώκουσιν οὐ μετεδίδοτε, τότ' ἐψηφίζεσθε τὰ ἄριστά με πράττειν, ἐν οἷς δὲ τὰς γραφὰς ἀπέφευγον ἔννομα καὶ γράφειν καὶ λέγειν ἀπεδεικνύμην, ἐν οἷς δὲ τὰς εὐθύνας ἐπεσημαίνεσθε δικαίως καὶ ἀδωροδοκήτως πάντα μοι πεπρᾶχθαι προσωμολογεῖτε. τούτων οὖν οὕτως ἐχόντων, τί προσῆκεν ἢ τί δίκαιον ἦν τοῖς ὑπ' ἐμοῦ πεπραγμένοις θέσθαι τὸν Κτησιφῶντα ὄνομα; οὐχ ὃ τὸν δῆμον ἑώρα τιθέμενον; οὐχ ὃ τοὺς ὀμωμοκότας δικαστάς; οὐχ ὃ τὴν ἀλήθειαν παρὰ πᾶσι βεβαιοῦσαν;

251. Ναί, φησίν· ἀλλὰ τὸ τοῦ Κεφάλου καλόν, τὸ μηδεμίαν γραφὴν φυγεῖν. καὶ νὴ Δί' εὔδαιμόν γε. ἀλλὰ τί μᾶλλον ὁ πολλάκις μὲν φυγών, μηδεπώποτε δ' ἐξελεγχθεὶς ἀδικῶν ἐν ἐγκλήματι γίγνοιτ' ἂν διὰ τοῦτο δικαίως; καίτοι πρός γε τοῦτον, ἄνδρες Ἀθηναῖοι, καὶ τὸ τοῦ Κεφάλου καλὸν εἰπεῖν ἔστι μοι· οὐδεμίαν γὰρ πώποτ' ἐγράψατό με οὐδ' ἐδίωξε γρα-

frumenti coëmendi cura sit mandata. Videtur tamen non statum munus Athenis fuisse, sed tum demum locum habuisse, quum necessitas urgeret.

249. *οὐ δι' ἑαυτῶν*] Non palam ipsi, qui revera auctores erant publicarum Demosthenis accusationum, prodibant, sed subornabant alios, quorum nomine sperabant fore, ut ipsi laterent.

*εὔορκα* dicuntur quæ facimus jusjurandum sancte servantes. *ἔνορκα* autem sunt jura, leges, omnino ea, quibus jurejurando adstricti sumus.

250. *τοῖς διώκουσιν*] Nunc hoc in genere de omnibus dicitur, quod supra § 222. de Dionda dictum erat.

*τὰς γραφάς*] Ex seqq. patet hic sermonem esse de *γραφαῖς τῶν παρανόμων*.

251. *καὶ νὴ Δί' εὔδαιμόν γε*] Brachylogice dictum hoc sensu: *οὐ μόνον καλόν, ἀλλὰ καὶ* cet.

*ἐγράψατό με οὐδ' ἐδίωξε γραφήν*] *γράφεσθαι* et *διώκειν γραφὴν* sunt quidem verba ejusdem generis, diversæ tamen hic speciei. Sæpe *γράφεσθαι* solum totam actionem ab initio ad finem complectitur; hic autem cum *διώκειν γραφὴν* conjunctum erit nonnisi deferre accusationis

*φήν· ὥστε ὑπὸ σοῦ γε ὡμολόγημαι μηδὲν εἶναι τοῦ Κεφάλου χείρων πολίτης.*

252. *Πολλαχόθεν μὲν τοίνυν ἄν τις ἴδοι τὴν ἀγνωμοσύνην αὐτοῦ καὶ τὴν βασκανίαν, οὐχ ἥκιστα δ' ἀφ' ὧν περὶ τῆς τύχης διελέχθη. ἐγὼ δ' ὅλως μὲν ὅστις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην προφέρει παντελῶς ἀνόητον ἡγοῦμαι καὶ ἀπαίδευτον· ἣν γὰρ ὁ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος οὐκ οἶδεν, εἰ μενεῖ τοιαύτη μέχρι καὶ τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν, ἢ πῶς ὀνειδίζειν ἑτέρῳ; ἐπειδὴ δ' οὗτος πρὸς πολλοῖς ἄλλοις καὶ περὶ τούτων ὑπερηφάνως κέχρηται τῷ λόγῳ, σκέψασθ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρήσατε, ὅσῳ καὶ ἀληθέστερον καὶ ἀνθρωπινώτερον ἐγὼ περὶ τῆς τύχης τούτου διαλεχθήσομαι.* 253. *ἐγὼ τὴν μὲν τῆς πόλεως τύχην ἀγαθὴν ἡγοῦμαι, καὶ ταῦθ' ὁρῶ καὶ τὸν Δία τὸν Δωδωναῖον ἡμῖν καὶ τὸν Ἀπόλλω τὸν Πύθιον μαντευόμενον, τὴν μέντοι τῶν πάντων ἀνθρώπων, ἣ νῦν ἐπέχει, χαλεπὴν καὶ δεινήν. τίς γὰρ Ἑλλήνων ἢ τίς βαρβάρων οὐ πολλῶν κακῶν καὶ μεγάλων ἐν τῷ παρόντι πεπείραται;* 254. *τὸ μὲν τοίνυν προελέσθαι τὰ κάλλιστα καὶ τὸ τῶν οἰηθέντων ἐκείνων Ἑλλήνων, εἰ πρόειντο ἡμᾶς, ἐν εὐδαιμονίᾳ διάξειν, τούτων αὐτῶν ἄμεινον πράττειν, τῆς ἀγαθῆς τύχης τῆς πόλεως εἶναι τίθημι· τὸ δὲ προσκροῦσαι καὶ τὸ μὴ πάνθ', ὡς ἠβουλόμεθ', ἡμῖν*

254. *τὸ δὲ προσκροῦσαι καὶ τὸ μὴ πάνθ'*] *Reiskius:* "sic vulgo. *τὸ* secundum omittunt August. primus et quartus, Aldus, Manutius. Posterius *τὸ* sustuli et prius

libellum ad *ἡγεμόνα δικαστηρίου*: *διώκειν* vero *γραφὴν* indicat reliquas actionis partes.

252. *προφέρειν τινί τι*, alicui aliquid tanquam crimen objicere.

*ἀνόητος*, qui deliberandi facultate vel caret vel non utitur; *ἀπαίδευτος*, qui non est liberaliter educatus, agrestis, rudis, inhumanus.

*μέχρι καὶ τῆς ἑσπέρας*] *καὶ* [receptum a *Reiskio* ex cod. August. secundo, deletum a *Bekkero*] minime otiosum, vel ad vesperam usque, *unto the very evening*. [Vide *Hartung* de partic. lin. Gr. P. I. p. 135 sq.]

*περὶ ταύτης λέγειν*] Hanc, quam quis optimam se habere opinatur, commemorare, eam jactare. Prudentes sibi cavebunt a laude bonæ quam habent fortunæ. Dixeris enim fere fortunam prædicare nolle prædicantemque deserere.

*ἢ πῶς ὀνειδίζειν ἑτέρῳ*] sc. *ἧττον ἀγαθὴν τύχην.* Qui tam inhumanus est, ut ipse fortuna circumfluens alteri exprobret infortunium, dignus est, qui a bona fortuna desertus prematur a mala.

253. *ἐπέχειν* interdum dicitur de rebus, quæ dominantur, quibusque nec consilio nec prudentia quisquam se opponere aut subducere potest.

254. *καὶ τὸ* cet.] junge *τὸ ἄμεινον πράττειν* (sc. *ἡμᾶς*) *τῶν Ἑλλήνων οἰηθέντων ἐν εὐδαιμονίᾳ διάξειν, εἰ πρόειντο ἡμᾶς, τίθημι εἶναι τῆς ἀγαθῆς τύχης τῆς πόλεως.* Verba *τούτων αὐτῶν* referenda sunt ad *τῶν Ἑλλήνων.* Sensus: Quod nos multo meliore conditione sumus, quam ex civitates Græciæ, quæ opinabantur, si nos prodiderint, securas se et felices fore, hoc pono bonæ fortunæ nostræ civitatis esse:

*συμβῆναι, τῆς τῶν ἄλλων ἀνθρώπων τύχης τὸ ἐπιβάλλον ἐφ' ἡμᾶς μέρος μετειληφέναι νομίζω τὴν πόλιν.* 255. *τὴν δ' ἰδίαν τύχην τὴν ἐμὴν καὶ τὴν ἑνὸς ἡμῶν ἑκάστου ἐν τοῖς ἰδίοις ἐξετάζειν δίκαιον εἶναι νομίζω. ἐγὼ μὲν οὖν οὑτωσὶ περὶ τῆς τύχης ἀξιῶ, ὀρθῶς καὶ δικαίως, ὡς ἐμαυτῷ δοκῶ, νομίζω δὲ καὶ ὑμῖν [συνδοκεῖν]· ὁ δὲ τὴν ἰδίαν τύχην τὴν ἐμὴν τῆς κοινῆς τῆς πόλεως κυριωτέραν εἶναί φησι, τὴν μικρὰν καὶ φαύλην τῆς ἀγαθῆς καὶ μεγάλης. καὶ πῶς ἔνι τοῦτο γενέσθαι;*

256. *Καὶ μὴν εἴγε τὴν ἐμὴν τύχην πάντως ἐξετάζειν, Αἰσχίνη, προαιρεῖ, πρὸς τὴν σαυτοῦ σκόπει, κἂν εὕρῃς τὴν ἐμὴν βελτίω τῆς σῆς, παῦσαι λοιδορούμενος αὐτῇ. σκόπει τοίνυν εὐθὺς ἐξ ἀρχῆς. καί μου, πρὸς Διὸς καὶ θεῶν, μεδεμίαν ψυχρότητα καταγνῷ μηδείς. ἐγὼ γὰρ οὔτ' εἴ τις πενίαν προπηλακίζει, νοῦν ἔχειν ἡγοῦμαι, οὔτ' εἴ τις ἐν ἀφθόνοις τραφεὶς ἐπὶ τούτῳ σεμνύνεται. ἀλλ' ὑπὸ τῆς τουτουῒ τοῦ χαλεποῦ βλασφημίας καὶ συκοφαντίας εἰς τοιούτους λόγους ἐμπίπτειν ἀναγκάζομαι, οἷς ἐκ τῶν ἐνόντων ὡς ἂν δύνωμαι μετριώτατα χρήσομαι.*

257. *Ἐμοὶ μὲν τοίνυν ὑπῆρξεν, Αἰσχίνη, παιδὶ μὲν ὄντι φοιτᾶν εἰς τὰ προσήκοντα διδασκαλεῖα, καὶ ἔχειν ὅσα χρὴ τὸν μηδὲν αἰσχρὸν ποιήσοντα δι' ἔνδειαν, ἐξελθόντι δὲ ἐκ παίδων ἀκόλουθα τούτοις πράττειν, χορηγεῖν, τριηραρχεῖν, εἰσφέρειν, μηδεμιᾶς φιλοτιμίας μήτε ἰδίας μήτε δημοσίας ἀπολείπεσθαι,*

cum *τῷ* mutavi." Contra *Schæferus*: "*τὸ δὲ προσκροῦσαι* Wunderlich et Bekker. Sed vellem revocatum etiam posterius *τό*. Primum enim in opposito membro his ponitur articulus, deinde, quod gravius etiam est, ad aliud subjectum refertur *προσκροῦσαι*, ad aliud *συμβῆναι*, ut suus utrique infinitivo articulus jungendus videatur."

*τῆς τῶν ἄλλων ἀνθρώπων τύχης τὸ ἐπιβάλλον ἐφ' ἡμᾶς μέρος*] *τὸ ἐπιβάλλον μέρος*, rata pars, portio, quæ alicui obvenit vel ad aliquem pertinet. Ut res ferunt humanæ, unus quisque partem malorum terrestrium si non recipere vult, suscipere debet.

256. *ψυχρότητα*] In genere *ψυχρὸν* tribui solebat scriptis, in quibus nihil esset, quod valde placere lectoresque tenere posset, *uninteresting*, quibus calor omnis et intentio excutitur ex auditorum animis. [Facillime in *frigus* incidunt qui faceti esse volunt risumque captant, tum etiam qui magnificis dictis admirationem facere student. Prius illud ne ipsi exprobretur D. timet, quum miseram humilemque adversarii vitam adumbraturus est. F. I.]

257. *ἐξελθεῖν ἐκ παίδων* dicebatur is, qui *εἰς ληξιαρχικὸν γραμματεῖον ἐνεγράφη*, quod conjungitur interdum cum *γενέσθαι ἔφηβον*, quod fiebant, quum essent octo et decem annos nati: quo tempore ut domini fiebant patrimonii, sic etiam officia iis præstanda erant, quæ civitas jubebat.

*φιλοτιμία*, officia in decus et commodum reipublicæ, multum sumtus postulantia, ex quibus honorifice præstitis la

*ἀλλὰ καὶ τῇ πόλει καὶ τοῖς φίλοις χρήσιμον εἶναι, ἐπειδὴ δὲ πρὸς τὰ κοινὰ προσελθεῖν ἔδοξέ μοι, τοιαῦτα πολιτεύματα ἑλέσθαι, ὥστε καὶ ὑπὸ τῆς πατρίδος καὶ ὑπ' ἄλλων Ἑλλήνων πολλῶν πολλάκις ἐστεφανῶσθαι, καὶ μηδὲ τοὺς ἐχθροὺς ὑμᾶς, ὡς οὐ καλά γ' ἦν ἃ προειλόμην, ἐπιχειρεῖν λέγειν.* 258. *ἐγὼ μὲν δὴ τοιαύτῃ συμβεβίωκα τύχῃ. καὶ πόλλ' ἂν ἔχων ἕτερ' εἰπεῖν περὶ αὐτῆς παραλείπω, φυλαττόμενος τὸ λυπῆσαί τινας ἐν οἷς σεμνύνομαι. σὺ δ' ὁ σεμνὸς ἀνὴρ καὶ διαπτύων τοὺς ἄλλους σκόπει πρὸς ταύτην ὁποίᾳ τινὶ κέχρησαι τύχῃ, δι' ἣν παῖς μὲν ὢν μετὰ πολλῆς ἐνδείας ἐτράφης, ἅμα τῷ πατρὶ πρὸς τῷ διδασκαλείῳ προσεδρεύων, τὸ μέλαν τρίβων, καὶ τὰ βάθρα σπογγίζων, καὶ τὸ παιδαγωγεῖον κορῶν, οἰκέτου τάξιν, οὐκ ἐλευθέρου παιδὸς ἔχων,* 259. *ἀνὴρ δὲ γενόμενος τῇ μητρὶ τελούσῃ τὰς βίβλους ἀνεγίγνωσκες καὶ τἄλλα συνεσκευωροῦ, τὴν μὲν νύκτα νεβρίζων καὶ κρατηρίζων καὶ καθαίρων τοὺς τελουμένους καὶ ἀπομάττων τῷ πηλῷ καὶ τοῖς πιτύροις, καὶ ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ καὶ κελεύων λέγειν "ἔφυγον κακόν,*

redundabat in eum, qui præstiterat. Hic etiam officia complectitur amicis præstanda, iis inprimis, quos fortunæ mobilitas vexabat.

*ἑλέσθαι*] Etiam hic infinitivus pendet ex verbo *ὑπῆρξεν* initio capitis posito.

258. *τῷ διδασκαλείῳ*] Antiqua ætate munus magistri indignum censebatur homine libero, et servis plerumque mandabatur ad hoc institutis. In *προσεδρεύων* hoc inest, quod patri præsto assederit ad præstanda opera servilia in usum scholæ.

*τὸ μέλαν τρίβων*] *τὸ μέλαν* est atramentum. Interdum dicitur *τὸ μέλαν γραφικόν*. Compositum erat ex fuligine, glutine et aqua, et per *τρίβειν*, quod de fuligine inprimis accipiendum est, hic totam atramenti præparationem complectitur.

*τὰ βάθρα σπογγίζων*] *τὰ βάθρα* sunt subsellia, quibus pueri in schola sedebant. *σπογγίζειν*, spongia detergere.

259. *συνεσκευωροῦ*] *σκευωρὸς* idem dicebatur qui *σκευοφύλαξ*, vasorum custos. Tum in genere qui curat aliquid, res præsertim viles nec magni pretii diligenter custodit. *συσκευωρεῖσθαι* igitur hic est: adjuvare matrem in curandis ritibus externis, quibus præparandi erant qui mysteriis volebant initiari.

*νεβρίζειν* est *νεβρίδα φορεῖν*, pelle hinnuli cervini indutum esse: quo induti bacchabantur mysteria celebrantes: his, ut videtur, induebantur etiam ii, qui servorum munere fungebantur in præparandis *τοῖς τελουμένοις*. Opinor tamen eam verbi significationem h. l. aptiorem esse, quam habent Glossographorum nonnulli, *τοὺς τελουμένους διαζωννύναι νεβρίσιν*, et de omni præparatione *νεβρίδων*, quibus induebantur initiati, simulatque ad mysteria recepti erant.

*κρατηρίζων*] Jam antiqui glossographi de vocabuli significatione dubii erant et incerti. Duplicem habent glossam, *ἤτοι τὸν οἶνον ἐν κρατῆρι κιρνῶν ἢ ἀπὸ κρατήρων σπένδων*. Certe h. l. non ea significatione, quam *Eustathius* habet, positum erit, *συμπίνειν, μεθύεσθαι*, nisi forte per adjunctum hoc significaverit Demosthenes. Ex contextu iterum nonnisi servile monus significare potest. Et quidem omne quod servorum erat in parando et ministrando cratere hoc verbum videtur amplecti.

*καθαίρων τοὺς τελουμένους*] Qui purgandus erat, is primum oleo jungebatur; tum aspergebatur albo subtili pulvere, simili ei, quam nostri cretam appellant, *τῷ πηλῷ*; tum hæc massa defricabatur *τοῖς πιτύροις*, furfuribus, *Bran.*

*ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ*] *surgere jubens a purgatione.*

εὗρον ἄμεινον," ἐπὶ τῷ μηδένα πώποτε τηλικοῦτ' ὀλολύξαι σεμνυνόμενος (καὶ ἔγωγε νομίζω· μὴ γὰρ οἴεσθ' αὐτὸν φθέγγεσθαι μὲν οὕτω μέγα, ὀλολύζειν δ' οὐχ ὑπέρλαμπρον), 260. ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων διὰ τῶν ὁδῶν, τοὺς ἐστεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ, τοὺς ὄφεις τοὺς παρείας θλίβων καὶ ὑπὲρ τῆς κεφαλῆς αἰωρῶν, καὶ βοῶν "εὐοῖ σαβοῖ," καὶ ἐπορχούμενος "ὕης ἄττης ἄττης ὕης," ἔξαρχος καὶ προηγεμὼν καὶ κιστοφόρος καὶ λικνοφόρος καὶ τὰ τοιαῦτα ὑπὸ τῶν γρᾳδίων προσαγορευόμενος, μισθὸν λαμβάνων τούτων ἔνθρυπτα καὶ στρεπτοὺς καὶ νεήλατα, ἐφ' οἷς τίς οὐκ ἂν ὡς ἀληθῶς αὐτὸν εὐδαιμονίσειε καὶ τὴν αὐτοῦ τύχην; 261. ἐπειδὴ δ' εἰς τοὺς δημότας ἐνεγράφης ὁπωσδήποτε, ἐῶ γὰρ τοῦτό γε, ἐπειδὴ δ' οὖν ἐνεγράφης, εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων, γραμματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις. ὡς δ' ἀπηλλάγης ποτὲ καὶ τούτου, πάνθ', ἃ τῶν ἄλλων κατηγορεῖς, αὐτὸς ποιήσας οὐ κατῄσχυνας μὰ Δί' οὐδὲν τῶν προϋπηργμένων τῷ μετὰ ταῦτα βίῳ, 262. ἀλλὰ μισθώσας σαυτὸν τοῖς βαρυστόνοις ἐπικαλουμένοις ἐκείνοις ὑποκριταῖς, Σιμύλῳ καὶ

*ἔφυγον κακόν, εὗρον ἄμεινον*] Formula, quæ erat sollemniter pronuntianda purgatis. Hac voce quasi proverbiali utebantur omnes, qui testari volebant conditionem suam in melius esse mutatum. Hanc formulam imitatus esse videtur *Euripid.* Bacch. 900 sq. *εὐδαίμων μὲν ὃς ἐκ θαλάσσας Ἔφυγε κῦμα, λιμένα δ' ἔκιχεν.*

*ὀλολύξαι* Attici nonnisi de clamore læto et fausto usurpant. Æschines igitur jactasse dicitur neminem unquam tum sollemniter fausta omina præcinisse.

260. *θίασος* vocabulum est proprium cœtus ad celebranda mysteria congregati.

*ἐστεφανωμένους μαράθῳ*] Initiati coronas gestabant ex fœniculo et frondibus populi albæ factas.

*ὄφεις οἱ παρεῖαι* est genus viperarum fuscarum, quæ cetera viperarum genera morsu letali affligere dicebantur, homines autem non lædere.

*εὐοῖ*] *ὑμνητικὸν* vocabulum, quod a bacchantibus Baccho acclamabatur. Addebatur nomen *Βάκχε*. *σαβοῖ* traditur esse vocabulum Phrygicum, itaque vocatum esse *Βάκχον*: quod non improbabile.

*ὕης ἄττης*] *ὕης*, *ὕου* tradunt nonnulli epitheton esse Bacchi, quoniam Bacchanalium celebrationem in tempus pluviale incidere solebat. Pherecydes autem aiebat *τὴν Σεμέλην ὕην λέγεσθαι*, et Bacchi nutrices *ὑάδας*. Tradunt etiam hoc nomen Semelem accepisse, quod Jupiter in aureum imbrem mutatus cum ea congressus fuerit. *ἄττης*, vel, ut alii scribunt, *ἄττις*, dicitur fuisse sacerdos amatus a Cybele.

*ἔξαρχος*] Vocabulum jam Homericum de eo, qui præit. Adhibet de *ἀοιδῷ*. De Baccho item adhibet *Euripid.* Bacch. 141.

*κιστοφόρος* vel *κισσοφόρος*, epitheton est bacchantium, quod coronas etiam hederaceas gestabant, et hedera eorum scipiones circumdati erant; *λικνοφόροι* dicebantur a mystica vanno, in qua ferebant ea, quibus opus erat ad agenda sacra.

*ἔνθρυπτα καὶ στρεπτοὺς καὶ νεήλατα*] Nomina placentarum varii generis, vel a materia vel a forma ducta.

262. *βαρυστόνοις*] Non opinor hoc epitheton in laudem histrionibus tragicis tributum fuisse, sed ironice hoc adhibuisse Demosthenem, hoc dicentem, eos nimium lamentatos, omnesque fines in partibus agendis ejulando excessisse. [Vid. *Olear.* ad Philostr. Vit. Soph. I. 18. p. 501. not. 10.]

Σωκράτει, ἐτριταγωνίστεις, σῦκα καὶ βότρυς καὶ ἐλάας συλλέγων ὥσπερ ὀπωρώνης ἐκ τῶν ἀλλοτρίων χωρίων, πλείω λαμβάνων ἀπὸ τούτων τραύματα ἢ τῶν ἀγώνων, οὓς ὑμεῖς περὶ τῆς ψυχῆς ἠγωνίζεσθε· ἦν γὰρ ἄσπονδος καὶ ἀκήρυκτος ὑμῖν πρὸς τοὺς θεατὰς πόλεμος, ὑφ᾽ ὧν πολλὰ τραύματα εἰληφὼς εἰκότως τοὺς ἀπείρους τῶν τοιούτων κινδύνων ὡς δειλοὺς σκώπτεις. 263. ἀλλὰ γὰρ παρεὶς, ὧν τὴν πενίαν αἰτιάσαιτ᾽ ἄν τις, πρὸς αὐτὰ τὰ τοῦ τρόπου σου βαδιοῦμαι κατηγορήματα. τοιαύτην γὰρ εἵλου πολιτείαν, ἐπειδή ποτε καὶ τοῦτ᾽ ἐπῆλθέ σοι ποιῆσαι, δι᾽ ἣν εὐτυχούσης μὲν τῆς πατρίδος λαγὼ βίον ἔζης δεδιὼς καὶ τρέμων καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν ἐφ᾽ οἷς σαυτῷ συνήδεις ἀδικοῦντι, ἐν οἷς δ᾽ ἠτύχησαν οἱ ἄλλοι, θρασὺς ὢν ὑφ᾽ ἁπάντων ὤψαι. 264. καίτοι ὅστις χιλίων πολιτῶν ἀποθανόντων ἐθάῤῥησε, τί οὗτος παθεῖν ὑπὸ τῶν ζώντων δίκαιός ἐστι; πολλὰ τοίνυν ἕτερ᾽ εἰπεῖν ἔχων περὶ αὐτοῦ παραλείψω· οὐ γὰρ ὅσ᾽ ἂν δείξαιμι προσόντ᾽ αἰσχρὰ τούτῳ καὶ ὀνείδη, πάντ᾽ οἶμαι δεῖν εὐχερῶς λέγειν, ἀλλ᾽ ὅσα μηδὲν αἰσχρόν ἐστιν εἰπεῖν ἐμοί.

265. Ἐξέτασον τοίνυν παρ᾽ ἄλληλα τὰ σοὶ κἀμοὶ βεβιωμένα πράως καὶ μὴ πικρῶς, Αἰσχίνη· εἶτ᾽ ἐρώτησον τουτουσὶ,

*σῦκα, βότρυς καὶ ἐλάας*] Hæc erant præmia histrionibus a spectatoribus tributa.

*ὀπωρώνης*] Qui maturitatis tempore cujuscunque generis fructus coëmit, ut ea per tempus cum lucro divendat. Hoc vocabulum probat *Phrynichus* p. 206., rejicit autem *ὀπωροπώλης*, ubi lectu dignissima est *Lobeckii* nota.

*λαμβάνων ἀπὸ τούτων τραύματα*] Videntur complures fuisse hujus generis homines, qui, ut fert istorum hominum mos, agresti ratione inter se litigabant, plagas adeo sibi manibus consertis infligentes.

*τῶν ἀγώνων*] Intelligit bella, quæ Athenienses cum hostibus gerebant.

*ἄσπονδος καὶ ἀκήρυκτος—πόλεμος*] Interdum hæc duo epitheta juncta reperiuntur substantivo *πόλεμος* de bello sævo, implacabili et internecivo, quod nec indicitur per *κήρυκας*, præcones, nec in quo locus est ullus induciis, sed quod ferociter et ad internecionem usque geritur. Per *θεατὰς* intelliguntur, quoniam a scena transiit similitudo, *hostes*. [Spectatores verisimile est cum vilibus illis histrionibus, quum partes susceptas male agerent aut alia quacunque de causa displicerent, prœlia commisisse atrocia, in quibus Æschines non minora subibat pericula, quam Athenienses in pugnis pro patria susceptis. F. 1.]

263. *λαγὼ βίον ἔζης*] Locutio proverbialis, cujus vim Demosthenes ipse vocabulis sequentibus explicat. Lepus omnibus gentibus et ætatibus imago est timiditatis, quippe qui ne dormiens quidem audeat oculos occludere.

*ἐν οἷς δ᾽ ἠτύχησαν οἱ ἄλλοι*] *quæ parum prospere cesserunt iis, qui diversam rationem sequebantur.* Per *τοὺς ἄλλους* se ipsum suosque amicos intelligit Demosthenes.—Minime opus ea, quam suadet *Marklandus*, mutatione, *ἐν οἷς ηὐτύχησαν οἱ ἄλλοι*, opinans per *τοὺς ἄλλους* intelligi Philippum aliosque reipublicæ inimicos.

265. *πράως καὶ μὴ πικρῶς*] *Πράως* sine ι subscripto scribendum esse patet ex iis, quæ docet *Lobeck.* ad Phryn. p. 403 ss., atque id etiam Bekkerus amplexus est in recentissima editione.—*πράως* est quod Latini dicunt *æquo animo*, *to meditate with a tranquil and unprejudiced mind*, eademque

τὴν ποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν. ἐδίδασκες γράμματα, ἐγὼ δ' ἐφοίτων· ἐτέλεις, ἐγὼ δ' ἐτελούμην· ἐχόρευες, ἐγὼ δ' ἐχορήγουν· ἐγραμμάτευες, ἐγὼ δ' ἠκκλησίαζον· ἐτριταγωνίστεις, ἐγὼ δ' ἐθεώρουν· ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον· ὑπὲρ τῶν ἐχθρῶν πεπολίτευσαι πάντα, ἐγὼ δὲ ὑπὲρ τῆς πατρίδος. ἐῶ τἄλλα· 266. ἀλλὰ νυνὶ τήμερον ἐγὼ μὲν ὑπὲρ τοῦ στεφανωθῆναι δοκιμάζομαι, τὸ δὲ μηδ' ὁτιοῦν ἀδικεῖν ἀνωμολόγημαι, σοὶ δὲ συκοφάντῃ μὲν εἶναι δοκεῖν ὑπάρχει, κινδυνεύεις δὲ, εἴτε δεῖ σ' ἔτι τοῦτο ποιεῖν, εἴτ' ἤδη πεπαῦσθαι μὴ μεταλαβόντα τὸ πέμπτον μέρος τῶν ψήφων. ἀγαθῇ γε (οὐχ ὁρᾷς;) τύχῃ συμβεβιωκὼς τῆς ἐμῆς ὡς φαύλης κατηγορεῖς.

267. Φέρε δή, καὶ τὰς τῶν λειτουργιῶν μαρτυρίας, ὧν λελειτούργηκα, ὑμῖν ἀναγνῶ· παρ' ἃς παρανάγνωθι δ' ἡμῖν καὶ σὺ τὰς ῥήσεις, ἃς ἐλυμαίνου·

"Ἥκω λιπὼν κευθμῶνα καὶ σκότου πύλας"

καὶ

"Κακαγγελεῖν μὲν ἴσθι μη θέλοντά με,"

καὶ κακὸν κακῶς σε μάλιστα μὲν οἱ θεοί, ἔπειτα οὗτοι πάντες ἀπολέσειαν, πονηρὸν ὄντα καὶ πολίτην καὶ τριταγωνιστήν. λέγε τὰς μαρτυρίας.

## ΜΑΡΤΥΡΙΑΙ.

268. Ἐν μὲν τοίνυν τοῖς πρὸς τὴν πόλιν τοιοῦτος· ἐν δὲ τοῖς ἰδίοις εἰ μὴ πάντες ἴστε ὅτι κοινὸς καὶ φιλάνθρωπος καὶ

265. τὴν ποτέρου τύχην] Sic Bekker. scripsit ex duobus codd. pro eo, quod ceteri habent, ὁποτέρου. Vulgares Grammaticorum libri vere docent πότερος esse correlativum directe interrogativum, ὁπότερος autem indirecte interrogativum. Sed si optimorum scriptorum usum et optimorum codd. lectiones attendimus, invenimus haud raro correlativum directe interrogativum in interrogatione indirecta adhibitum, sed a librariis in alterum mutatum fuisse. Quod etiam hic accidit; nam inter duos, qui habent ποτέρου, codd. est etiam optimus Σ.

[267. Vulgo πονηρὸν ὄντα πολίτην καὶ προδότην. Nostram lectionem Bekker. restituit ex optimis libris. V. C. F. R.]

notio inest in negativo μὴ πικρῶς, quod Latine dixeris *sine ira et studio.*

ἐδίδασκες γράμματα; ἐγὼ δ' ἐφοίτων] Hoc certatim antiqui rhetores laudarunt ut exemplum ἀντιθέτου, quam figuram dicebant, quum verba pugnantia inter se, paria paribus opponuntur. Hoc nominabatur ἀντίθετον κατὰ λέξιν.

ἐκπίπτειν verbum est proprium de histrione sibilis exploso, ut συρίττειν [ἐκβάλλειν] de explodente.

266. ἔτι] h. l. *in posterum.* Hanc inprimis significationem habet, quum jungitur tempori futura.

πεπαῦσθαι] Dedecus scilicet, quod æquale erat infamiæ, ne quintam quidem suffragiorum partem tulisse, faciebat, ut quis a foro prorsus abstineret. Æschines adeo pudore suffusus Athenas reliquisse et Rhodum se contulisse dicitur.

267. λυμαίνεσθαι] Corrumpere vocabula prava pronuntiatione. Primus ver-

*τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ καὶ οὐδὲν ἂν εἴποιμι οὐδὲ παρασχοίμην ἂν περὶ τούτων οὐδεμίαν μαρτυρίαν, οὔτ᾽ εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτ᾽ εἴ τισι θυγατέρας ἀποροῦσι συνεξέδωκα, οὔτε τῶν τοιούτων οὐδέν.* 269. *καὶ γὰρ οὕτω πως ὑπείληφα· ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι τὸν πάντα χρόνον, τὸν δὲ ποιήσαντα εὐθὺς ἐπιλελῆσθαι, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου. τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν. οὐ δὴ ποιήσω τοιοῦτον οὐδέν, οὐδὲ προαχθήσομαι, ἀλλ᾽ ὅπως ποθ᾽ ὑπείλημμαι περὶ τούτων, ἀρκεῖ μοι.*

270. *Βούλομαι δὲ τῶν ἰδίων ἀπαλλαγεὶς ἔτι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν περὶ τῶν κοινῶν. εἰ μὲν γὰρ ἔχεις, Αἰσχίνη, τῶν ὑπὸ τουτονὶ τὸν ἥλιον εἰπεῖν ἀνθρώπων, ὅστις ἀθῷος τῆς Φιλίππου πρότερον καὶ νῦν τῆς Ἀλεξάνδρου δυναστείας γέγονεν ἢ τῶν Ἑλλήνων ἢ τῶν βαρβάρων, ἔστω, συγχωρῶ σοι τὴν ἐμὴν εἴτε τύχην εἴτε δυστυχίαν ὀνομάζειν βούλει πάντων αἰτίαν γεγενῆσθαι.* 271. *εἰ δὲ καὶ τῶν μηδεπώποτ᾽ ἰδόντων ἐμὲ μηδὲ φωνὴν ἀκηκοότων ἐμοῦ πολλοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, μὴ μόνον κατ᾽ ἄνδρα, ἀλλὰ καὶ πόλεις ὅλαι καὶ ἔθνη, πόσῳ δικαιότερον καὶ ἀληθέστερον τὴν ἁπάντων, ὡς ἔοικεν, ἀνθρώπων τύχην κοινὴν καὶ φοράν τινα πραγμάτων χαλεπὴν καὶ οὐχ οἵαν ἔδει τούτων αἰτίαν ἡγεῖσθαι. σὺ τοίνυν ταῦτ᾽ ἀφεὶς ἐμὲ τὸν παρὰ τουτοισὶ πεπολιτευμένον αἰτιᾷ, καὶ ταῦτ᾽ εἰδώς, ὅτι, καὶ εἰ μὴ τὸ ὅλον, μέρος γ᾽ ἐπιβάλλει τῆς βλασφημίας ἅπασι, καὶ μάλιστα σοί. εἰ μὲν γὰρ ἐγὼ κατ᾽*

sus est ex *Eurip.* Hec. I., ubi vide *Porsonum.* Alter versus unde depromtus sit, ignoramus.

268. *τοῖς δεομένοις ἐπαρκῶν*] *ἐπαρκεῖν* est iis, qui indigent, ea præbere, quibus opus est. *τοῖς δεομένοις* videtur esse genus masculinum. Concludi potest ex *Xenophontis* Mem. II. 1, 31. *τίς ἂν δεομένῃ (σοι) τινὸς ἐπαρκέσειεν;*

*ἐλυσάμην*] Active *λύειν* inde ab Homero dicitur qui captivum reddit; *λύεσθαι* medium is qui captivum redimit, qui captivum pretio redemtum aliove modo a captivitate liberatum recipit.

269. *ὅπως ποθ᾽ ὑπείλημμαι περὶ τούτων*] quam de his rebus existimationem mei conceperint homines.

270. *ἀθῷος*] cum gen. est: qui nihil damni alicunde accepit, illæsus, immunis ab aliquo.

*πάντων*] sc. *τῶν κακῶν τοῖς Ἀθηναίοις γεγενημένων.*

271. *κατ᾽ ἄνδρα*] *singuli.* Hanc vim tribuit substantivo præpositio distributiva.

*φοράν τινα πραγμάτων χαλεπήν*] *φορὰ* a passivi *φέρεσθαι*, *ferri*, significatione, quod adhibetur de celeri et rapido motu, significat celerem motum, *impetum.* Sic apud philosophos, Aristotelem inprimis, usurpatur, et frequens est apud Plutarchum. Vide *Wyttenbach.* p. 848. Oxon. Hic forsan non male verteris *cursum rerum*, quod netio adversi satis insit in adjecto *χαλεπὴν καὶ οὐχ οἵαν ἔδει.*

ἐμαυτὸν αὐτοκράτωρ ὢν περὶ τῶν πραγμάτων ἐβουλευόμην, ἣν ἂν τοῖς ἄλλοις ῥήτορσιν ὑμῖν ἐμὲ αἰτιᾶσθαι· 273. εἰ δὲ παρῆτε μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις ἀεί, ἐν κοινῷ δὲ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν, πᾶσι δὲ ταῦτ' ἐδόκει τότ' ἄριστ' εἶναι, καὶ μάλιστα σοί (οὐ γὰρ ἐπ' εὐνοίᾳ γ' ἐμοὶ παρεχώρεις ἐλπίδων καὶ ζήλου καὶ τιμῶν, ἃ πάντα προσῆν τοῖς τότε πραττομένοις ὑπ' ἐμοῦ, ἀλλὰ τῆς ἀληθείας ἡττώμενος δηλονότι καὶ τῷ μηδὲν ἔχειν εἰπεῖν βέλτιον), πῶς οὐκ ἀδικεῖς καὶ δεινὰ ποιεῖς τούτοις νῦν ἐγκαλῶν, ὧν τότ' οὐκ εἶχες λέγειν βελτίω; 274. παρὰ μὲν τοίνυν τοῖς ἄλλοις ἔγωγ' ὁρῶ πᾶσιν ἀνθρώποις διωρισμένα καὶ τεταγμένα οὕτω πως τὰ τοιαῦτα. ἀδικεῖ τις ἑκών; ὀργὴ καὶ τιμωρία κατ' αὐτοῦ. ἐξήμαρτέ τις ἄκων; συγγνώμη ἀντὶ τῆς τιμωρίας τούτῳ. οὔτ' ἀδικῶν τις οὔτ' ἐξαμαρτάνων, εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν ἑαυτὸν δοὺς οὐ κατώρθωσε μεθ' ἁπάντων; οὐκ ὀνειδίζειν οὐδὲ λοιδορεῖσθαι τῷ τοιούτῳ δίκαιον, ἀλλὰ συνάχθεσθαι. 275. φανήσεται τοίνυν ταῦτα πάντα οὕτως οὐ μόνον ἐν τοῖς νομίμοις, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νόμοις καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι διώρικεν. Αἰσχίνης τοίνυν τοσοῦτον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι καὶ συκοφαντίᾳ, ὥστε καί, ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, καὶ ταῦτ' ἐμοῦ κατηγορεῖ.

276. Καὶ πρὸς τοῖς ἄλλοις, ὥσπερ αὐτὸς ἁπλῶς καὶ μετ' εὐνοίας πάντας εἰρηκὼς τοὺς λόγους, φυλάττειν ἐμὲ καὶ τηρεῖν ἐκέλευεν, ὅπως μὴ παρακρούσομαι μηδ' ἐξαπατήσω, δεινὸν καὶ γόητα καὶ σοφιστὴν καὶ τὰ τοιαῦτ' ὀνομάζων, ὡς, ἐὰν πρότερός τις εἴπῃ τὰ προσόνθ' ἑαυτῷ περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως

274. *ὀργὴ καὶ τιμωρία*] MSS. aliquot iique boni accusativum habent *ὀργὴν καὶ τιμωρίαν*, ut pendeat hoc ex *ὁρῶ διωρισμένα*. Sed has notiones enuntiatione recta exprimi melius puto, ut res tanquam certa proponatur.

275. *διώρικεν*] Reiskius perperam et audacter de suo scripsit *διωρικέναι*, ut pendeat hic infinitivus ex *φανήσεται*. "Constabit non rationem solum, sed naturam quoque sic distinxisse atque disterminasse." Sed hoc sensu scriptores Attici non jungunt infinitivum cum *φαίνεσθαι*, sed participium. Ut fieri solet, error errorem genuit. Ad *φανήσεται* enim subjectum excidisse putabat *ὁ λόγος*, sed subjectum est *ταῦτα πάντα*. Hæc omnia apparebunt non solum esse in legibus *οὕτως* sc. *ὄντα*: tum accedit oppositio item recta, *ἀλλὰ καὶ ἡ φύσις—διώρικεν*. Hæc sanissima esse nemini non patebit.

273. *τῷ μηδὲν ἔχειν*] i.e. *διὰ τὸ μηδὲν ἔχειν*.

276. *ἁπλῶς*] explicatur per id, quod sequitur, *μετ' εὐνοίας*. Latine verteris *sine ira et studio*. *παρακρούεσθαι*, *decipere*, vocabulo a cauponibus petito, qui lancem pulsant, ut deprimatur onus etiam majus.

ἔχοντα, καὶ οὐκέτι τοὺς ἀκούοντας σκεψομένους, τίς ποτ' αὐτός ἐστιν ὁ ταῦτα λέγων. ἐγὼ δ' οἶδ', ὅτι γιγνώσκετε τοῦτον ἅπαντες, καὶ πολὺ τούτῳ μᾶλλον ἢ ἐμοὶ νομίζετε ταῦτα προσεῖναι. 277. κἀκεῖνο δ' εὖ οἶδ', ὅτι τὴν ἐμὴν δεινότητα— ἔστω γάρ. καίτοι ἔγωγ' ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκούοντας τὸ πλεῖστον μέρος κυρίους ὄντας· ὡς γὰρ ἂν ὑμεῖς ἀποδέξησθε καὶ πρὸς ἕκαστον ἔχητ' εὐνοίας, οὕτως ὁ λέγων ἔδοξε φρονεῖν. εἰ δ' οὖν ἔστι καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη, ταύτην μὲν εὑρήσετε πάντες ἐν τοῖς κοινοῖς ἐξεταζομένην ὑπὲρ ὑμῶν ἀεὶ καὶ οὐδαμοῦ καθ' ὑμῶν, οὐδ' ἰδίᾳ, τὴν δὲ τούτου τοὐναντίον, οὐ μόνον ἐν τῷ λέγειν ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καί, εἴ τις ἐλύπησέ τι τοῦτον ἢ προσέκρουσέ που, κατὰ τούτων. οὐ γὰρ αὐτῇ δικαίως οὐδ' ἐφ' ἃ συμφέρει τῇ πόλει χρῆται. 278. οὔτε γὰρ τὴν ὀργὴν οὔτε τὴν ἔχθραν οὔτ' ἄλλο οὐδὲν τῶν τοιούτων τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ τοὺς ὑπὲρ τῶν κοινῶν εἰσεληλυθότας δικαστὰς ἀξιοῦν αὑτῷ βεβαιοῦν, οὐδ' ὑπὲρ τούτων εἰς ὑμᾶς εἰσιέναι, ἀλλὰ μάλιστα μὲν μὴ ἔχειν ταῦτ' ἐν τῇ φύσει, εἰ δ' ἄρ' ἀνάγκη, πρᾴως καὶ μετρίως διακείμεν' ἔχειν. ἐν τίσιν οὖν σφοδρὸν εἶναι τὸν πολιτευόμενον καὶ τὸν ῥήτορα δεῖ; ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει, καὶ ἐν οἷς πρὸς τοὺς ἐναντίους ἔστι τῷ δήμῳ, ἐν τούτοις· ταῦτα γάρ ἐστι γενναίου καὶ ἀγαθοῦ πολίτου· 279. μηδενὸς δὲ ἀδικήματος πώποτε δημοσίου, προσθήσω δὲ μηδ' ἰδίου, δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ μήθ' ὑπὲρ τῆς πόλεως μήθ' ὑπὲρ αὑτοῦ, στεφάνου καὶ ἐπαίνου κατηγορίαν νῦν ἥκειν συνεσκευασμένον καὶ τοσουτουσὶ λόγους ἀνηλωκέναι ἰδίας ἔχθρας καὶ φθόνου καὶ μικροψυχίας ἐστὶ σημεῖον, οὐδενὸς χρηστοῦ. τὸ δὲ δὴ καὶ τοὺς πρὸς ἐμαυτὸν ἀγῶνας

277. *τὴν ἐμὴν δεινότητα—*] Aposiopesis juste adhibita. Prædicatum enim addere non vult, ne aut nimium prædicet, aut minus, sed modeste prædicatum explicat per omnem quæ sequitur enuntiationem.

*τῆς τῶν λεγόντων δυνάμεως*] Dicit existimationem, quæ sit de loquentium facultate. Vere autem innuit veram facultatem interdum non in ipsis esse oratoribus, sufficere, si auditores in iis inesse existiment.

278. *ἐν οἷς πρὸς τοὺς ἐναντίους ἔστι τῷ δήμῳ*] *si ulla de re populus querelam habet contra hostes.*

279. *στεφάνου καὶ ἐπαίνου*] *καὶ* explicativum est, ut appareat, quanam de re calumniator alteri litem intendat. Non est criminis causa, sed invidiæ.

*τοὺς πρὸς ἐμαυτὸν ἀγῶνας*] Intelligit, opinor, lites, quibus quotidie se dixit post pugnam Chæronensem ab hominibus invidis implicatum fuisse. Harum nulla pars erat aperta Æschinis, ut sibi quasi extremas in fabula partes videatur reservasse, quod summæ erat malitiæ. [Ad-

ἐάσαντα νῦν ἐπὶ τόνδ' ἥκειν πᾶσαν ἔχει κακίαν. 280. καί μοι δοκεῖς ἐκ τούτων, Αἰσχίνη, λόγων ἐπίδειξίν τινα καὶ φωνασκίας βουλόμενος ποιήσασθαι τοῦτον προελέσθαι τὸν ἀγῶνα, οὐκ ἀδικήματος οὐδενὸς λαβεῖν τιμωρίαν. ἔστι δ' οὐχ ὁ λόγος τοῦ ῥήτορος, Αἰσχίνη, τίμιον, οὐδ' ὁ τόνος τῆς φωνῆς, ἀλλὰ τὸ ταὐτὰ προαιρεῖσθαι τοῖς πολλοῖς καὶ τὸ τοὺς αὐτοὺς καὶ μισεῖν καὶ φιλεῖν οὕσπερ ἂν ἡ πατρίς. 281. ὁ γὰρ οὕτως ἔχων τὴν ψυχήν, οὗτος ἐπ' εὐνοίᾳ πάντ' ἐρεῖ, ὁ δ', ἀφ' ὧν ἡ πόλις προορᾶταί τινα κίνδυνον ἑαυτῇ, τούτους θεραπεύων οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς, οὔκουν οὐδὲ τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχει προσδοκίαν. ἀλλ' — ὁρᾷς; — ἐγώ· ταὐτὰ γὰρ συμφέρονθ' εἱλόμην τουτοισί, καὶ οὐδὲν ἐξαίρετον οὐδ' ἴδιον πεποίημαι. 282. ἆρ' οὖν οὐδὲ σύ; καὶ πῶς; ὃς εὐθέως μετὰ τὴν μάχην πρεσβευτὴς ἐπορεύου πρὸς Φίλιππον, ὃς ἦν τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμφορῶν αἴτιος τῇ πατρίδι, καὶ τοῦτ' ἀρνούμενος πάντα τὸν ἔμπροσθε χρόνον ταύτην τὴν χρείαν, ὡς πάντες ἴσασιν. καίτοι τίς ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων ἃ φρονεῖ; τῷ δ' ὁ κῆρυξ καταρᾶται καθ' ἑκάστην ἐκκλησίαν δικαίως; οὐ τῷ τοιούτῳ; τί δὲ μεῖζον ἔχοι τις ἂν εἰπεῖν ἀδίκημα κατ' ἀνδρὸς ῥήτορος, ἢ εἰ μὴ ταὐτὰ καὶ φρονεῖ καὶ λέγει; σὺ τοίνυν οὗτος εὑρέθης. 283. εἶτα σὺ φθέγγῃ καὶ βλέπειν εἰς τὰ τουτωνὶ πρόσωπα τολμᾷς;

[282. *καταρᾶται καθ' ἑκάστην ἐκκλησίαν*] Verba *καθ' ἑκάστην ἐκκλησίαν*, margini codd. nonnullorum adscripta, recepit Reisk., ejecit Bekker. Schæfer "mihi, inquit, non displicent addita." V. C. F. R.]

versario D. exprobrat, quod certamen contra se omittere visus, Ctesiphontem accusaverat, nullam aliam ob causam, nisi ut omne malitiæ invidiæque virus in Demosthenem evomeret. Cf. supra p. 230. ed. R. F. I.]

280. *ἐπίδειξις* vocabulum proprium est artificum atque sapientiæ studiosorum et professorum, qui specimen artis produnt, ut de ipsorum arte, sapientia et doctrina judicare quisque possit.

*φωνασκοὶ* dicebantur vocis exercendæ magistri, *Elocution-masters.* Hi autem non solum artis præcepta dabant, et viva ipsi voce præibant, sed adhibebant etiam instrumentum musicum; *τονάριον* id appellat *Quintilianus* Inst. I. 10, 27, qua fistula astans musicus concionanti modos præmonstrasse fertur. Hinc *φωνασκία* est, quod nos dicimus, *An attention to the tricks of elocution,* ubi verborum morosa electione, blanda collocatione, dulci sono delicatæ hominum aures mulcentur sensusque suaviter permoventur. Ex omnibus, quæ narrat Demosthenes, patet suavitate oris ac vocis Æschinem excelluisse.

281. *οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς*] Proverbialis locutio, in qua *ἀγκύρας* subaudiendum monet *Harpocration.* Per ancoram nempe proverbialiter significatur *spes.* *ἐπὶ τῆς αὐτῆς ὁρμεῖν* dicitur igitur de iis, qui eadem spe metuque tenentur; *to sail in the same boat with another.* Similiter dicunt Græci *ἐπ' ἐλπίδος ὀχεῖσθαι*: quod proverbium illustravit *Wyttenbach.* ad Plat. Phæd. p. 227.

πότερ' οὐχ ἡγεῖ γιγνώσκειν αὐτοὺς, ὅστις εἶ; ἢ τοσοῦτον ὕπνον καὶ λήθην ἅπαντας ἔχειν, ὥστ' οὐ μεμνῆσθαι τοὺς λόγους, οὓς ἐδημηγόρεις ἐν τῷ δήμῳ, καταρώμενος καὶ διομνύμενος μηδὲν εἶναι σοὶ καὶ Φιλίππῳ πρᾶγμα, ἀλλ' ἐμὲ τὴν αἰτίαν σοι ταύτην ἐπάγειν τῆς ἰδίας ἕνεκ' ἔχθρας, οὐκ οὖσαν ἀληθῆ; 284. ὡς δ' ἀπηγγέλθη τάχισθ' ἡ μάχη, οὐδὲν τούτων φροντίσας εὐθὺς ὡμολόγεις καὶ προσεποιοῦ φιλίαν καὶ ξενίαν εἶναί σοι πρὸς αὐτόν, τῇ μισθαρνίᾳ ταῦτα μετατιθέμενος τὰ ὀνόματα· ἐκ ποίας γὰρ ἴσης ἢ δικαίας προφάσεως Αἰσχίνῃ τῷ Γλαυκοθέας τῆς τυμπανιστρίας ξένος ἢ φίλος ἢ γνώριμος ἦν Φίλιππος; ἐγὼ μὲν οὐχ ὁρῶ, ἀλλ' ἐμισθώθης ἐπὶ τῷ τὰ τουτωνὶ συμφέροντα διαφθείρειν. ἀλλ' ὅμως οὕτω φανερῶς αὐτὸς σαυτοῦ εἰλημμένος προδότης καὶ κατὰ σαυτοῦ μηνυτὴς ἐπὶ τοῖς συμβᾶσι γεγονὼς ἐμοὶ λοιδορεῖ καὶ ὀνειδίζεις ταῦτα, ὧν πάντας μᾶλλον αἰτίους εὑρήσεις ἢ ἐμέ.

285. Πολλὰ καὶ καλὰ καὶ μεγάλα ἡ πόλις, Αἰσχίνη, καὶ προείλετο καὶ κατώρθωσε δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνησε. σημεῖον δέ· χειροτονῶν γὰρ ὁ δῆμος τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι παρ' αὐτὰ τὰ συμβάντα οὐ σὲ ἐχειροτόνησε προβληθέντα, καίπερ εὔφωνον ὄντα, οὐδὲ Δημάδην, ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ' Ἡγήμονα, οὐδ' ἄλλον ὑμῶν οὐδένα, ἀλλ' ἐμ'. καὶ παρελθόντος σοῦ καὶ Πυθοκλέους ὠμῶς καὶ ἀναιδῶς, ὦ Ζεῦ καὶ θεοί, καὶ κατηγορούντων ἐμοῦ ταὐτά, ἃ καὶ σὺ νυνί, καὶ λοιδορουμένων, ἔτ' ἄμεινον ἐχειροτόνησεν ἐμέ. 286. τὸ δ' αἴτιον οὐκ ἀγνοεῖς μέν, ὅμως

283. ἐν τῷ δήμῳ] Hanc vulgatam lectionem in altera editione recepit Bekker. πολέμῳ lectum in paucis libris, inter quos tamen præstantissimus Σ, cum Tayloro præfert Schæfer. Res levis, et in his obediendum codd., qui plurimi habent ἐν τῷ δήμῳ, idque etiam ea de causa præferendum, quod τοῦ πολέμου—mentionem libenter fugit, quoniam, etsi fortiter se gesserant Athenienses, ingrata tamen debebat esse ejus recordatio.

[284. εὑρήσεις ἢ ἐμέ] Verba ἢ ἐμέ, non lecta in cod. Σ, omisit Bekk. V. C. F. R.]

285. παρ' αὐτὰ τὰ συμβάντα] Itidem per euphemismum vocabulum generis τὰ συμβάντα positum, quum proprie dicendæ essent συμφοραί.

Ἡγήμονα] Hegemon fuit orator ex illorum numero, qui nullis literis eruditi ad eloquentiam exercendam venerunt, et Philippi muneribus corruptus Macedonum partibus favit. Periit denique una cum amico suo, Phocione.

Πυθοκλέους] Si idem est, cujus meminit Demosthenes Περὶ Παραπρ. p. 441. eum appellans Πυθοκλέα τὸν Πυθοδώρου, is primum familiarissimus erat Demostheni, postea Philippi muneribus corruptus cum Æschine se conjunxit in perniciem Demosthenis, quod l. l. copiosius narratur.

ἔτ' ἄμεινον ἐχειροτόνησεν ἐμέ] Si locus est sanus, quod non præstiterim, ἄμεινον χειροτονεῖν significat *majori cum favore, laude eligere.*

δὲ φράσω σοι κἀγώ. ἀμφότερ' ᾔδεσαν οὗτοι, τήν τ' ἐμὴν εὔνοιαν καὶ προθυμίαν, μεθ' ἧς τὰ πράγματ' ἔπραττον, καὶ τὴν ὑμετέραν ἀδικίαν· ἃ γὰρ, εὐθηνούντων τῶν πραγμάτων, ἠρνεῖσθε διομνύμενοι, ταῦτ', ἐν οἷς ἔπταισεν ἡ πόλις, ὡμολογήσατε. τοὺς οὖν ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν, ὧν ἐφρόνουν, λαβόντας ἄδειαν ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τόθ' ἡγήσαντο αὑτοῖς γεγενῆσθαι. 287. εἶτα καὶ προσήκειν ὑπελάμβανον τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι καὶ τὴν ἐκείνων ἀρετὴν κοσμήσοντα μήθ' ὁμωρόφιον μήθ' ὁμόσπονδον γεγενημένον εἶναι τοῖς πρὸς ἐκείνους παραταξαμένοις, μηδ' ἐκεῖ μὲν κωμάζειν καὶ παιανίζειν ἐπὶ ταῖς τῶν Ἑλλήνων συμφοραῖς μετὰ τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο δ' ἐλθόντα τιμᾶσθαι, μηδὲ τῇ φωνῇ δακρύειν, ὑποκρινόμενον τὴν ἐκείνων τύχην, ἀλλὰ τῇ ψυχῇ συναλγεῖν. τοῦτο δ' ἑώρων παρ' ἑαυτοῖς καὶ παρ' ἐμοί, παρ' ὑμῖν δ' οὔ. διὰ ταῦτ' ἐμὲ ἐχειροτόνησαν, καὶ οὐχ ὑμᾶς. 288. καὶ οὐχ ὁ μὲν δῆμος οὕτως, οἱ δὲ τῶν τετελευτηκότων πατέρες καὶ ἀδελφοὶ ὑπὸ τοῦ δήμου τόθ' αἱρεθέντες ἐπὶ τὰς ταφὰς ἄλλως πως, ἀλλά, δέον ποιεῖν αὐτοὺς τὸ περίδειπνον ὡς παρ' οἰκειοτάτῳ τῶν τετελευτηκότων, ὥσπερ τἄλλ' εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίησαν παρ' ἐμοί. εἰκότως· γένει μὲν γὰρ ἕκαστος ἑκάστῳ μᾶλλον οἰκεῖος ἦν ἐμοῦ, κοινῇ δὲ πᾶσιν οὐδεὶς ἐγγυτέρω. ᾧ γὰρ ἐκείνους σωθῆναι καὶ κατορθῶσαι μάλιστα διέφερεν, οὗτος καί, παθόντων ἃ μήποτ' ὤφελον, τῆς ὑπὲρ ἁπάντων λύπης πλεῖστον μετεῖχε.

289. Λέγε δ' αὐτῷ τουτὶ τὸ ἐπίγραμμα, ὃ δημοσίᾳ προεί-

286. *εὐθηνούντων τῶν πραγμάτων*] Εὐθηνεῖν, vel, ut etiam B. cum optimis codd. in recentissima editione scripsit, εὐθενεῖν dicitur de animantibus plantisve, quæ vigent, florent, valent viribus; de rebus adhibitum significat prosperum earum successum. — Grammaticorum plerique εὐθενεῖν tribuunt Atticis, εὐθηνεῖν Ionibus. Accurate de his aliisque vocabulis similibus egit *Lobeckius* ad Phryn. p. 465 sqq.

*διόμνυσθαι* dicitur proprie, quum et reus et actor uterque quæ dixerant jurejurando confirmarent; hic autem de reo dicitur, ut interdum de alterutra tantum parte.

287. *γεγενημένον εἶναι*] Qua ratione scriptoris Attici usi sint periphrasi verbi εἰμὶ cum participio loco simplicis verbi, exposui ad *Æschin.* Ctes. c. 3.

*κωμάζειν καὶ παιανίζειν*] Actiones significant lætitiæ effusæ. κῶμοι sunt proprie pompæ, quæ habebantur festis bacchanalibus, deinde epulæ nocturnæ, et petulantiæ, quæ per et post epulas committebantur. παιᾶνες autem erant hymni, tum carmina omnis generis lasciva.

288. *περίδειπνον*] ἡ ἐπὶ τοῖς ἀποθανοῦσιν ἑστίασις. Moris enim erat, ut haberetur convivium in honorem defunctorum apud eum, qui vel proximus erat propinquitate vel conjunctissimus amicitia.

*ἃ μήποτ' ὤφελον*] Formula optantis, ne, quod accidit, accidisset, idque quod accidit, indignum iis, quibus acciderit, pronuntiantis.

λετο ἡ πόλις αὐτοῖς ἐπιγράψαι, ἵν' εἰδῇς, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ σαυτὸν ἀγνώμονα καὶ συκοφάντην ὄντα καὶ μιαρόν. λέγε.

ΈΠΙΓΡΑΜΜΑ.

Οἵδε πάτρας ἕνεκα σφετέρας εἰς δῆριν ἔθεντο
  Ὅπλα, καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν.
Μαρνάμενοι δ' ἀρετῆς καὶ δείματος οὐκ ἐσάωσαν
  Ψυχάς, ἀλλ' Ἀΐδην κοινὸν ἔθεντο βράβην,
Οὕνεκεν Ἑλλήνων, ὡς μὴ ζυγὸν αὐχένι θέντες
  Δουλοσύνης στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν.
Γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων
  Σώματ', ἐπεὶ θνητοῖς ἐκ Διὸς ἥδε κρίσις.
Μηδὲν ἁμαρτεῖν ἔστι θεῶν καὶ πάντα κατορθοῦν
  Ἐν βιοτῇ, μοῖραν δ' οὔ τι φυγεῖν ἔπορεν.

290. Ἀκούεις, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ, ὡς τὸ μηδὲν ἁμαρτεῖν ἔστι θεῶν καὶ πάντα κατορθοῦν; οὐ τῷ συμβούλῳ τὴν τοῦ κατορθοῦν τοὺς ἀγωνιζομένους ἀνέθηκε δύναμιν, ἀλλὰ τοῖς θεοῖς. τί οὖν, ὦ κατάρατ', ἐμοὶ περὶ τούτων λοιδορεῖ, καὶ λέγεις ἃ σοὶ καὶ τοῖς σοῖς οἱ θεοὶ τρέψειαν εἰς κεφαλήν;

291. Πολλὰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου, ἓν μάλιστ' ἐθαύμασα πάντων, ὅτι τῶν συμβεβηκότων τότε τῇ πόλει μνησθεὶς οὐχ ὡς ἂν εὔνους καὶ δίκαιος πολίτης ἔσχε τὴν γνώμην, οὐδ'

290. *καὶ ἐν αὐτῷ τούτῳ*] Quod Reiskius contra codd. uncis inclusit, est: in hoc ipso publico documento, quod quasi divina voce rationem a Diis constitutam et a civitate agnitam continet.

289. *μαρνάμενοι δ' ἀρετῆς καὶ δείματος*] Genitivus est causæ; *ἀρετή* eos incitabat ad certamen. Qui autem plenus est *δείματος*, is certamen potius fugit quam petit. *Δεῖμα* igitur non potest esse metus, quo opplebantur, ne quid ipsis decertantibus accideret; sed, si vera est lectio, scholiastes eam recte explicuit *φόβου οὗ εἶχον ὑπὲρ τῆς πατρίδος*: quod de libertate et salute patriæ timebant, cum virtute decertabant. Duram tamen esse locutionem et sententiæ conformationem negari non potest; quare *Valckenaerius* ad Ammonium p. 142. conjecit *λήματος* pro *δείματος*, strenue et fortiter pugnantes: quæ conjectura si non vera, digna tamen est quæ memoretur. [Fr. *Göllerus* corrigit *δείγματος*.]

*βράβης* h. l. est, qui aliis dicitur *βραβεὺς* vel *βραβευτής*, moderator et judex certaminum, et census est: Constituerunt sibi ipsi Hadem communem certaminis judicem et remuneratorem.

*οὕνεκεν Ἑλλήνων*] Jungendum cum *οὐκ ἐσάωσαν ψυχάς*.

*ἔπορεν*] Verbum est Homericum transitiva significatione *tribuendi*. Subjectum ad *ἔπορεν* ex antecedente *Ζεύς*. Non celandum tamen duos bonos codd. habere *ἔπορον*: quæ lectio si præferatur, ex proximo supplendum subjectum *οἱ θεοί*.

*ἐδάκρυσεν, οὐδ' ἔπαθε τοιοῦτον οὐδὲν τῇ ψυχῇ, ἀλλ' ἐπάρας τὴν φωνὴν καὶ γεγηθὼς καὶ λαρυγγίζων ᾤετο μὲν ἐμοῦ κατηγορεῖν δηλονότι, δεῖγμα δ' ἐξέφερε καθ' ἑαυτοῦ, ὅτι ἐπὶ τοῖς γεγενημένοις ἀνιαροῖς οὐδὲν ὁμοίως ἔσχε τοῖς ἄλλοις.* 292. *καίτοι τὸν τῶν νόμων καὶ τῆς πολιτείας φάσκοντα φροντίζειν, ὥσπερ οὗτος νυνί, καὶ εἰ μηδὲν ἄλλο, τοῦτό γ' ἔχειν δεῖ, ταὐτὰ λυπεῖσθαι καὶ ταὐτὰ χαίρειν τοῖς πολλοῖς, καὶ μὴ τῇ προαιρέσει τῶν κοινῶν ἐν τῷ τῶν ἐναντίων μέρει τετάχθαι, ὃ σὺ νυνὶ πεποιηκὼς εἶ φανερός, ἐμὲ πάντων αἴτιον καὶ δι' ἐμὲ εἰς πράγματα φάσκων ἐμπεσεῖν τὴν πόλιν, οὐκ ἀπὸ τῆς ἐμῆς πολιτείας οὐδὲ προαιρέσεως ἀρξαμένων ὑμῶν τοῖς Ἕλλησι βοηθεῖν.* 293. *ἐπεὶ ἔμοιγ' εἰ τοῦτο δοθείη παρ' ὑμῶν, δι' ἐμὲ ὑμᾶς ἠναντιῶσθαι τῇ κατὰ τῶν Ἑλλήνων ἀρχῇ πραττομένῃ, μείζων ἂν δοθείη δωρεὰ συμπασῶν, ὧν τοῖς ἄλλοις δεδώκατε. ἀλλ' οὔτ' ἂν ἐγὼ ταῦτα φήσαιμι (ἀδικοίην γὰρ ἂν ὑμᾶς), οὔτ' ἂν ὑμεῖς, εὖ οἶδ' ὅτι, συγχωρήσαιτε· οὗτος δ', εἰ τὰ δίκαια ἐποίει, οὐκ ἂν ἕνεκα τῆς πρὸς ἐμὲ ἔχθρας τὰ μέγιστα τῶν ὑμετέρων καλῶν ἔβλαπτε καὶ διέβαλλεν.*

294. *Ἀλλὰ τί ταῦτ' ἐπιτιμῶ, πολλῷ σχετλιώτερα ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου; ὃς γὰρ ἐμοῦ φιλιππισμόν, ὦ γῆ καὶ θεοί, κατηγορεῖ, τί οὗτος οὐκ ἂν εἴποι; καίτοι, νὴ τὸν Ἡρακλέα καὶ πάντας τοὺς θεούς, εἴγ' ἐπ' ἀληθείας δέοι σκοπεῖσθαι, τὸ καταψεύδεσθαι καὶ δι' ἔχθραν τι λέγειν ἀνελόντας ἐκ μέσου, τίνες ὡς ἀληθῶς εἰσιν, οἷς ἂν εἰκότως καὶ δικαίως τὴν τῶν γεγενημένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν ἅπαντες, τοὺς ὁμοίους τούτῳ παρ' ἑκάστῃ τῶν πόλεων εὕροι τις ἄν, οὐχὶ τοὺς ἐμοί.* 295. *οἵ, ὅτ' ἦν ἀσθενῆ τὰ Φιλίππου πράγματα καὶ κομιδῇ μικρά, πολλάκις προλεγόντων ἡμῶν καὶ παρακαλούντων καὶ διδασκόντων τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, Θετταλοὺς Δάοχος,*

291. *λαρυγγίζων*] *Harpocration* explicat *λαρυγγίζειν τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλ' ἐπιτηδεύειν περιεργότερον τῷ λάρυγγι χρῆσθαι, οὕτως ἐλέγετο. λάρυγξ* enim Græcis dicebatur vocis vehiculum et meatus, *φάρυγξ* autem vehiculum et meatus ciborum.

292. *ἐν τῷ τῶν ἐναντίων μέρει*] *μέρος* interdum significat ordinem, cui quis accensendus est, rationem, quam quis sequitur.

295. *διαφθείροντες*] Digna sunt quæ expendantur in hac re *Weiskii* verba de Hyperbole P. I. p. 31 s. " Hyperbole

Κινέας, Θρασύλαος· Ἀρκάδας Κερκιδᾶς, Ἱερώνυμος, Εὐκαμπίδας· Ἀργείους Μύρτις, Τελέδαμος, Μνασέας· Ἠλείους Εὐξίθεος, Κλεότιμος, Ἀρίσταιχμος· Μεσσηνίους οἱ Φιλιάδου τοῦ θεοῖς ἐχθροῦ παῖδες, Νέων καὶ Θρασύλοχος· Σικυωνίους Ἀρίστρατος, Ἐπιχάρης· Κορινθίους Δείναρχος, Δημάρατος· Μεγαρέας Πτοιόδωρος, Ἕλιξος, Περίλαος· Θηβαίους Τιμόλαος, Θεογείτων, Ἀνεμοίτας· Εὐβοέας Ἵππαρχος, Κλείταρχος, Σωσίστρατος. 296. ἐπιλείψει με λέγοντα ἡ ἡμέρα τὰ τῶν προδοτῶν ὀνόματα. οὗτοι πάντες εἰσίν, ἄνδρες Ἀθηναῖοι, τῶν αὐτῶν βουλευμάτων ἐν ταῖς αὑτῶν πατρίσιν, ὧνπερ οὗτοι παρ' ὑμῖν, ἄνθρωποι μιαροὶ καὶ κόλακες καὶ ἀλάστορες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες πρότερον μὲν Φιλίππῳ, νῦν δὲ Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν, τὴν δ' ἐλευθερίαν καὶ τὸ μηδένα ἔχειν δεσπότην αὑτῶν, ἃ τοῖς προτέροις Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, ἀνατετροφότες.

posita etiam erat in factionum singularum mutuis rationibus. Ad hunc locum pertinet illa ex oratorum maxime conviciis orta criminum veritatem longe exsuperantium vis et multitudo, quæ tamen fere omnis in exagitandis patriæ proditoribus versatur. Horum largus proventus per omnem Græciam fuisse fertur; horum enumeratio nunquam finiens exhibetur: hi patriam vendidisse hostibusque fere in manum tradidisse feruntur. Scriptores quum antiqui tum recentiores animo nimium credulo hæc arripiunt.— Scilicet illa crimina non tantum a factionum in se invicem acerbitate, sed etiam a Philippi non tam jactantia quam vafritie proficiscebantur, quæ talia dictitando efficiebat, ut civibus cives magis quam hostes diffiderent. Namque ut omnino non tam singuli cives quam Græci populi Græciæ fuerunt proditores, ita nihil magis Græciam prodidit quam proditionis suspicio."

296. *ἠκρωτηριασμένοι*] *ἀκρωτήρια* sunt extremæ corporis partes, ut nasus, aures, digiti. Hæ abscindi solebant hominibus in ipso scelere deprehensis: quod Latini dicunt *mutilare*. Hoc loco tropice dicitur de hominibus, qui partes patriæ graves hostibus prodiderunt, eamque sic dedecorarunt, ut sunt homines, quibus extremæ partes abscissæ sunt.

*τὴν ἐλευθερίαν προπεπωκότες*] Cf. Olynth. II. § 22. *προπίνειν* erat amici, qui offerens amico poculum gustabat vinum, ut indicet se propinare et quod offerat probum esse. Sollemni autem occasione non solum propinabatur, sed ipsum etiam poculum amico donabatur. Hinc *προπίνειν* tropicam habet *donandi* significationem, adjuncta etiam notione vel dissipandi vel prodendi. Hinc *προπεπωκότες* *Harpocratio* explicat *προδεδωκότες*. *Toupius* autem ad Longin. Sect. XXXII. 2. *τὴν ἐλευθερίαν* delendum censet atque etiam accusativum *πατρίδας* cum hoc participio jungendum: haud dubie ea de causa, quod *ἐλευθερίας* notio postea cum explicatione repetatur. Sed contra MSS. nil mutandum. Hic enim *τὴν ἐλευθερίαν προπεπωκότες* additum est tanquam explicativum antecedentis *ἠκρωτηριασμένοι τὰς πατρίδας*: alterum autem *τὴν ἐλευθερίαν* cum explicatione oppositio est ad vocabula *τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν*.

*ἀνατετροφότες*] Hanc præteriti formam ut Atticam et Atticis inprimis oratoribus usurpatam asserere conatus sum ad *Æschin.* in Tim. c. 76, nec sententiam etiamnum mutare possum, quanquam video, hoc aliisque locis Bekkerum *ἀνατετραφότας* ex paucis quidem nec vero contemnendis codd. recepisse. Ceterum hunc

297. Ταύτης τοίνυν τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστάσεως καὶ κακίας, μᾶλλον δ', ὦ ἄνδρες Ἀθηναῖοι, προδοσίας, εἰ δεῖ μὴ ληρεῖν. τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἥ τε πόλις παρὰ πᾶσιν ἀνθρώποις ἀναίτιος γέγονεν ἐκ τῶν ἐμῶν πολιτευμάτων καὶ ἐγὼ παρ' ὑμῖν. εἶτά μ' ἐρωτᾷς, ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι; ἐγὼ δή σοι λέγω, ὅτι τῶν πολιτευομένων παρὰ τοῖς Ἕλλησι διαφθαρέντων ἁπάντων, ἀρξαμένων ἀπὸ σοῦ, προτέρον μὲν ὑπὸ Φιλίππου, νῦν δ' ὑπ' Ἀλεξάνδρου, 298. ἐμὲ οὔτε καιρὸς οὔτε φιλανθρωπία λόγων οὔτ' ἐπαγγελιῶν μέγεθος οὔτ' ἐλπὶς οὔτε φόβος οὔτε χάρις οὔτ' ἄλλο οὐδὲν ἐπῆρεν οὐδὲ προηγάγετο. ὧν ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πατρίδι, οὐδὲν προδοῦναι, οὐδ', ὅσα συμβεβούλευκα πώποτε τουτοισὶ, ὁμοίως ὑμῖν, ὥσπερ ἂν εἰ ἐν τρυτάνῃ ῥέπων, ἐπὶ τὸ λῆμμα συμβεβούλευκα, ἀλλ' ἀπ' ὀρθῆς καὶ δικαίας καὶ ἀδιαφθόρου τῆς ψυχῆς τὰ πάντα μοι π'πρακται, καὶ μεγίστων δὴ πραγμάτων τῶν κατ' ἐμαυτὸν ἀνθρώπων προστὰς πάντα ταῦτα ὑγιῶς καὶ δικαίως καὶ ἁπλῶς πεπολίτευμαι. διὰ ταῦτ' ἀξιῶ τιμᾶσθαι. 299. τὸν δὲ τειχισμὸν τοῦτον, ὃν σύ μου διέσυρες, καὶ τὴν ταφρείαν ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω· πῶς γὰρ οὔ; πόῤῥω μέντοι που τῶν ἐμαυτῷ πεπολιτευμένων τίθεμαι. οὐ γὰρ λίθοις ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις ἐγώ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ

locum multi laudarunt rhetores, inprimis Longin. l. 1. *ὁ Δημοσθένης ὅρος καὶ περὶ πλήθους μεταφορῶν. Ὁ τῆς χρείας δὲ καιρὸς, ἔνθα τὰ πάθη χειμάῤῥου δίκην ἐλαύνεται καὶ τὴν πολυπλήθειαν αὐτῶν ἀναγκαίαν ἐνταῦθα συνεφέλκεται.* Tum loco citato addit: *ἐνταῦθα τῷ πλήθει τῶν τροπικῶν ὁ κατὰ τῶν προδοτῶν ἐπιπροσθεῖ τοῦ ῥήτορος θυμός.*

297. *περιβόητος* semper adhibetur significatione mala: *famosus, infamia laborans.* Sic etiam *σύστασις* habet significationem malam, *collegium improborum*, qui consociantur ad improbe facta, qui conspirant contra rempublicam.

*μὴ ληρεῖν*] *λῆρος* tum de verbis, tum de rebus vanis et nullius pretii dicitur. Hinc *ληρεῖν*, vana et mendacia loqui, interdum etiam de eo, qui præ metu vera dicere non audeat. *μὴ ληρεῖν*, sine metu et cupiditate dicere quæ sentimus.

*ἀρξαμένων ἀπὸ σοῦ*] Participium *ἀρχόμενος, ἀρξάμενος ἀπὸ* casum subjecti sequitur vel objecti significatione adverbii *inprimis.* Dum omnes, qui ad res publicas accesserant, corrupti essent, inprimis tu. Cf. *Matthiæ* Gr. § 557. *Victorius* Varr. Lect. XII. 24. Græca cum Latinis comparat.

298. *φιλανθρωπία λόγων*] Blanditiæ sermonis, quibus quis hominum favorem sibi conciliare studet.

*ῥέπων*] Tropus a lance petitus. Tropice significat *propensum esse, inhiare alicui rei.*

299. *πόῤῥω*] Hoc loco gradum inferiorem significat, ut omnibus fere linguis *procul* similiaque adverbia.

*οὐ λίθοις ἐτείχισα*] Laudant rhetores hunc locum ut *λαμπρόν*, quum orator ea, quibus jure gloriari possit, avertat, ea autem in aliam eamque splendidiorem partem deflectat. *Tiberius* hanc figuram appellat *τόπου ἐμβολὴν ἐξ ὀνόματος, ὅταν ὄνομα ὑποθεὶς ἐξ αὐτοῦ εἰσάγῃ τὸν τόπον. προθεὶς γὰρ τὸν τειχισμὸν κ. τ. λ. εἶτα ἐκ τοῦ κατὰ τὸν τειχισμὸν ὀνόματος ἐπήνεγκεν· οὐ λίθοις κ. τ. λ.*

φρονῶ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλῃ δικαίως σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις καὶ τόπους καὶ λιμένας καὶ ναῦς καὶ [πολλοὺς] ἵππους καὶ τοὺς ὑπὲρ τούτων ἀμυνομένους. 300. ταῦτα προὐβαλόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς, ὅσον ἦν ἀνθρωπίνῳ λογισμῷ δυνατόν, καὶ τούτοις ἐτείχισα τὴν χώραν, οὐχὶ τὸν κύκλον τοῦ Πειραιῶς οὐδὲ τοῦ ἄστεος. οὐδέ γ' ἡττήθην ἐγὼ τοῖς λογισμοῖς Φιλίππου, πολλοῦ γε καὶ δεῖ, οὐδὲ ταῖς παρασκευαῖς, ἀλλ' οἱ τῶν συμμάχων στρατηγοὶ καὶ αἱ δυνάμεις τῇ τύχῃ. τίνες αἱ τούτων ἀποδείξεις; ἐναργεῖς καὶ φανεραί. σκοπεῖτε δέ. †

301. Τί χρῆν τὸν εὔνουν πολίτην ποιεῖν, τί τὸν μετὰ πάσης προνοίας καὶ προθυμίας καὶ δικαιοσύνης ὑπὲρ τῆς πατρίδος πολιτευόμενον; οὐκ ἐκ μὲν θαλάττης τὴν Εὔβοιαν προβαλέσθαι πρὸ τῆς Ἀττικῆς, ἐκ δὲ τῆς μεσογείας τὴν Βοιωτίαν, ἐκ δὲ τῶν πρὸς Πελοπόννησον τόπων τοὺς ὁμόρους ταύτῃ; οὐ τὴν σιτοπομπίαν, ὅπως παρὰ πᾶσαν φιλίαν ἄχρι τοῦ Πειραιῶς κομισθήσεται, προϊδέσθαι; 302. καὶ τὰ μὲν σῶσαι τῶν ὑπαρχόντων ἐκπέμποντα βοηθείας καὶ λέγοντα καὶ γράφοντα τοιαῦτα, τὴν Προκόννησον, τὴν Χεῤῥόνησον, τὸν Τένεδον· τὰ δ' ὅπως οἰκεῖα καὶ σύμμαχ' ὑπάρξει, πρᾶξαι, τὸ Βυζάντιον, τὴν Ἄβυδον, τὴν Εὔβοιαν; καὶ τῶν μὲν τοῖς ἐχθροῖς ὑπαρχουσῶν δυνάμεων τὰς μεγίστας ἀφελεῖν, ὧν δ' ἐνέλειπε τῇ πόλει, ταῦτα προσθεῖναι; ταῦτα τοίνυν ἅπαντα πέπρακται τοῖς ἐμοῖς ψηφίσμασι καὶ τοῖς ἐμοῖς πολιτεύμασιν, 303. ἃ καὶ βεβουλευμένα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐὰν ἄνευ φθόνου τις βούληται σκοπεῖν, ὀρθῶς εὑρήσει καὶ πεπραγμένα πάσῃ δικαιοσύνῃ, καὶ τὸν ἑκάστου καιρὸν οὐ παρεθέντα οὐδ' ἀγνοηθέντα οὐδὲ προεθέντα ὑπ' ἐμοῦ, καί, ὅσα εἰς ἀνδρὸς ἑνὸς δύναμιν καὶ λογισμὸν ἧκεν, οὐδὲν ἐλλειφθέν. εἰ δὲ ἢ δαίμονός

303. προεθέντα] Vulgatum προδοθέντα glossema est ejus participii, quod in altera editione ex optimis codd. recepit Bekk. προεθέντα.

302. καὶ λέγοντα καὶ γράφοντα τοιαῦτα] sc. δεῖν ἐκπεμφθῆναι βοηθείας.

ὧν δ' ἐνέλειπε τῇ πόλει] Quibus vero civitas indigebat, quorum civitati penuria erat.

303. ὀρθῶς εὑρήσει καὶ πεπραγμένα πάσῃ δικαιοσύνῃ] *inveniet recte et summa qua fieri poterat justitia confecta.*

ἥκειν εἰς] *pendere ex, esse penes.*

δαίμονός τινος ἢ τύχης ἰσχύς] Interdum δαίμων ipsam habet τύχης significationem. Potest tamen omnino significare *deum*. nec assentior *Reiskio* ἢ τύχης contra libros uncis includenti. — *Lysias* Κατ' Ἀγορ. § 63. p. 486. R. ἡ τύχη καὶ ὁ δαίμων περιεποίησε.

*τινος ἢ τύχης ἰσχὺς ἢ τῶν στρατηγῶν φαυλότης ἢ τῶν προδιδόντων τὰς πόλεις ὑμῶν κακία ἢ πάντα ταῦτα ἅμα ἐλυμαίνετο τοῖς ὅλοις, ἕως ἀνέτρεψε, τί Δημοσθένης ἀδικεῖ; 304. εἰ δ', οἷος ἦν ἐγὼ παρ' ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν, εἷς ἐν ἑκάστῃ τῶν Ἑλληνίδων πόλεων ἀνὴρ ἐγένετο, μᾶλλον δ', εἰ ἕνα ἄνδρα μόνον Θετταλία καὶ ἕνα ἄνδρα Ἀρκαδία ταὐτὰ φρονοῦντα ἔσχον ἐμοί, οὐδεὶς ἂν οὔτε τῶν ἔξω Πυλῶν Ἑλλήνων οὔτε τῶν εἴσω τοῖς παροῦσι κακοῖς ἐκέχρητ' ἄν, 305. ἀλλὰ πάντες ἂν ὄντες ἐλεύθεροι καὶ αὐτόνομοι μετὰ πάσης ἀδείας ἀσφαλῶς ἐν εὐδαιμονίᾳ τὰς ἑαυτῶν ᾤκουν πατρίδας, τῶν τοσούτων καὶ τοιούτων ἀγαθῶν ὑμῖν καὶ τοῖς ἄλλοις Ἀθηναίοις ἔχοντες χάριν δι' ἐμέ. ἵνα δ' εἰδῆτε, ὅτι πολλῷ τοῖς λόγοις ἐλάττοσι χρῶμαι τῶν ἔργων, εὐλαβούμενος τὸν φθόνον, λέγε μοι ταυτὶ καὶ ἀνάγνωθι λαβὼν [τὸν ἀριθμὸν τῶν βοηθειῶν κατὰ τὰ ἐμὰ ψηφίσματα].*

*Ἀριθμὸς βοηθειῶν.*

306. *Ταῦτα καὶ τὰ τοιαῦτα πράττειν, Αἰσχίνη, τόν καλὸν κἀγαθὸν πολίτην δεῖ, ὧν κατορθουμένων μέν, ὦ γῆ καὶ θεοί, μεγίστοις ἀναμφισβητήτως ὑπῆρχεν εἶναι, καὶ τὸ δικαίως προσῆν, ὡς ἑτέρως δὲ συμβάντων, τὸ γοῦν εὐδοκιμεῖν περίεστι καὶ τὸ μηδένα μέμφεσθαι τὴν πόλιν μηδὲ τὴν προαίρεσιν αὐτῆς, ἀλλὰ τὴν τύχην κακίζειν τὴν οὕτω τὰ πράγματα κρί-*

[305. Verba *τὸν ἀριθμὸν—ψηφίσματα*, omissa in codd. Σ, uncis inclusit Bekker. V. C. F. R.]

*λυμαίνεσθαι* dicitur de corruptione, quæ sensim sensimque singulas partes pervadit et totum sic labefactat. *ἀνατρέπειν* autem est de destructione totius.

304. *κατὰ τὴν ἐμαυτοῦ τάξιν*] qui eandem, quam ego et ut ego, tenuerit rationem.

305. *ὑμῖν καὶ τοῖς ἄλλοις Ἀθηναίοις*] Raro hæc conjuncta reperies. Quamvis enim *ὑμεῖς* proprie nonnisi eos significat, qui tanquam judices sedent, plerumque tamen, si de toto Atheniensium populo etiam coram judicio sermo est, simplex *ὑμεῖς* jam totum complectitur populum.

306. *ὦ γῆ καὶ θεοί*] *Obsopœus* hanc exclamationem ut inanem delendam censuit. Non est inanis; sed difficilius dictu, quem affectum exprimat. Opinor, doloris et ægritudinis, quod irritus factus sit successus rerum, unde summam reipublicæ salutem oriri potuisse certissime persuasum est oratori patriæ amanti.

*μεγίστοις*] sc. *ἡμῖν, τοῖς Ἀθηναίοις.* Græca constructio est: *ὑπάρχει μοι εἶναι μεγίστῳ.* Græci, si infinitivo adhæret prædicatum, solent hoc eodem casu ponere, quem habet subjectum verbo finito appositum. Cf. *Matthiæ* Gr. § 535.

*ὡς ἑτέρως δὲ συμβάντων*] *Toupius* corrigit *ὧν, ἑτέρως δὲ συμβάντων*, quod non bonum. Non solet enim pronomen relativum in altero membro repeti, et *ὡς ἑτέρως* frequens est Atticis pleonasmus. Ceterum iterum hic euphemistice positum *ἑτέρως* pro *κακῶς*.

νασαν. 307. οὐ μὰ Δί' οὐκ ἀποστάντα τῶν συμφερόντων τῇ πόλει, μισθώσαντα δ' αὑτὸν τοῖς ἐναντίοις τοὺς ὑπὲρ τῶν ἐχθρῶν καιροὺς ἀντὶ τῶν ὑπὲρ τῆς πατρίδος θεραπεύειν, οὐδὲ τὸν μὲν πράγματα ἄξια τῆς πόλεως ὑποστάντα λέγειν καὶ γράφειν καὶ μένειν ἐπὶ τούτων προελόμενον βασκαίνειν, ἐὰν δέ τις ἰδίᾳ τι λυπήσῃ, τοῦτο μεμνῆσθαι καὶ τηρεῖν, οὐδέ γ' ἡσυχίαν ἄγειν ἄδικον καὶ ὕπουλον, ὃ σὺ ποιεῖς πολλάκις. 308. ἔστι γάρ, ἔστιν ἡσυχία δικαία καὶ συμφέρουσα τῇ πόλει, ἣν οἱ πολλοὶ τῶν πολιτῶν ὑμεῖς ἁπλῶς ἄγετε. ἀλλ' οὐ ταύτην οὗτος ἄγει τὴν ἡσυχίαν, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἀποστὰς, ὅταν αὐτῷ δόξῃ, τῆς πολιτείας (πολλάκις δὲ δοκεῖ) φυλάττει, ὁπηνίχ' ὑμεῖς ἐστε μεστοὶ τοῦ συνεχῶς λέγοντος, ἢ παρὰ τῆς τύχης τι συμβέβηκεν ἐναντίωμα, ἢ ἄλλο τι δύσκολον γέγονε (πολλὰ δὲ τἀνθρώπινα)· εἶτ' ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ τῆς ἡσυχίας, ὥσπερ πνεῦμα, ἀνεφάνη, καὶ πεφωνασκηκὼς καὶ συνειλοχὼς ῥήματα καὶ λόγους συνείρει τούτους σαφῶς καὶ ἀπνευστί, ὄνησιν μὲν οὐδεμίαν φέροντας οὐδ' ἀγαθοῦ κτῆσιν οὐδενός, συμφορὰν δὲ τῷ τυχόντι τῶν πολιτῶν καὶ κοινὴν αἰσχύνην. 309. καίτοι ταύτης τῆς μελέτης, Αἰσχίνη, καὶ τῆς ἐπιμελείας, εἴπερ ἐκ ψυχῆς δικαίας ἐγίγνετο καὶ τὰ τῆς πατρίδος συμφέροντα προῃρημένης, τοὺς καρποὺς ἔδει καλοὺς καὶ γενναίους καὶ πᾶσιν ὠφελίμους εἶναι, συμμαχίας πόλεων, πόρους χρημάτων, ἐμπορίου κατασκευήν, νόμων συμφερόντων θέσεις, τοῖς ἀποδειχθεῖσιν ἐχθροῖς ἐναντιώματα. 310. τούτων γὰρ ἁπάντων ἦν ἐν τοῖς ἄνω χρόνοις ἐξέτασις, καὶ ἔδωκεν ὁ παρελθὼν χρόνος πολλὰς ἀποδείξεις ἀνδρὶ καλῷ τε κἀγαθῷ, ἐν οἷς οὐδαμοῦ σὺ φανήσει γεγονώς, οὐ πρῶτος, οὐ δεύτερος, οὐ τρίτος, οὐ τέταρτος, οὐ πέμπτος, οὐχ ἕκτος, οὐχ ὁποστοσοῦν, οὔκουν ἐπί γε οἷς ἡ πατρὶς

307. *τοὺς ὑπὲρ τῶν ἐχθρῶν καιροὺς—θεραπεύειν*] inservire opportunitatibus in commodum hostium, eas, quantum fieri potest, in usum hostium parare, eosque juvare, ut quam optime iis uti possint. Infinitivus pendet a præcedente δεῖ.

*ὕπουλον*] Ab *οὐλή*, *cicatrix*. *ὕπουλον* dicitur, quod latet sub cicatrice, nec extus conspici potest; hinc tropice *occultus*, *subdolus*. [Vid. *Pierson*. ad Philet. p. 447. *Wyttenb*. ad *Plutarch*. VI. I. p. 378.

308. *μεστοί*] h. l. ii qui tædio tenentur oratoris quod sæpe accidit Atheniensibus, vario generi et mutabili.

*λόγους συνείρειν* de artificiosa conjunctione et collocatione verborum, qua oratio fit apta declamationi.

*ἀπνευστί*, represso spiritu: qua arte excelluerunt tum oratores Græci tum histriones.

*κοινὴν αἰσχύνην*] idem videtur esse quod *αἰσχύνην τῇ πόλοι*, dedecus civitati.

310. *ἐπί γ' οἷς*] *οἷς* est generis mascu-

ηὐξάνετο. 311. τίς γὰρ συμμαχία σοῦ πράξαντος γέγονε τῇ πόλει; τίς δὲ βοήθεια, ἢ κτῆσις εὐνοίας ἢ δόξης; τίς δὲ πρεσβεία; τίς διακονία, δι' ἣν ἡ πόλις ἐντιμοτέρα γέγονε; τί τῶν οἰκείων ἢ τῶν Ἑλληνικῶν καὶ ξενικῶν, οἷς ἐπέστης, ἐπηνώρθωται διὰ σέ; ποῖαι τριήρεις; ποῖα βέλη; ποῖοι νεώσοικοι; τίς ἐπισκευὴ τειχῶν; ποῖον ἱππικόν; τί τῶν ἁπάντων σὺ χρήσιμος εἶ; τίς ἢ τοῖς εὐπόροις ἢ τοῖς ἀπόροις πολιτικὴ καὶ κοινὴ βοήθεια χρημάτων παρὰ σου; οὐδεμία. 312. ἀλλ', ὦ τᾶν, εἰ μηδὲν πάντων τούτων, εὔνοιά γε καὶ προθυμία; ποῦ; πότε; ὅστις, ὦ πάντων ἀδικώτατε, οὐδ' ὅτε ἅπαντες, ὅσοι πώποτ' ἐφθέγξαντο ἐπὶ τοῦ βήματος, εἰς σωτηρίαν ἐπεδίδοσαν, καὶ τὸ τελευταῖον Ἀριστόνικος τὸ συνειλεγμένον εἰς τὴν ἐπιτιμίαν ἀργύριον, οὐδὲ τότε οὔτε παρῆλθες οὔτ' ἐπέδωκας οὐδὲν, οὐκ ἀπορῶν, πῶς γάρ; ὅς γε κεκληρονόμηκας μὲν τῶν Φίλωνος τοῦ κηδεστοῦ χρημάτων πλειόνων ἢ πεντεταλάντων, διτάλαντον δ' εἶχες ἔρανον δωρεὰν παρὰ τῶν ἡγεμόνων τῶν συμμοριῶν, ἐφ' οἷς ἐλυμήνω τὸν τριηραρχικὸν νόμον. 313. ἀλλ', ἵνα μὴ λόγον ἐκ λόγου λέγων τοῦ παρόντος ἐμαυτὸν ἐκκρούσω, παραλείψω ταῦτα. ἀλλ' ὅτι γ' οὐχὶ δι' ἔνδειαν οὐκ ἐπέδωκας, ἐκ τούτων δῆλον, ἀλλὰ φυλάττων τὸ μηδὲν ἐναντίον γενέσθαι παρὰ σοῦ τούτοις, οἷς ἅπαντα πολιτεύῃ. ἐν τίσιν οὖν σὺ νεανίας, καὶ πηνίκα λαμπρός; ἡνίκ' ἂν εἰπεῖν κατὰ τούτων τι δέῃ, ἐν τούτοις λαμπροφωνότατος, μνημονικώτατος, ὑποκριτὴς ἄριστος, τραγικὸς Θεοκρίνης.

314. Εἶτα τῶν πρότερον γεγενημένων ἀνδρῶν ἀγαθῶν

lini: eorum virorum, quorum opera aucta est respublica.

311. *τίς γὰρ συμμαχία*, cet.] Hunc locum ut exemplum *μεταβολῆς* laudat *Tiberius* Rhetor p. 57. Μεταβολή, inquit, ἐστίν, ὅταν μὴ μόνον τὰς πτώσεις, ἀλλὰ καὶ τὰ ῥήματα μεταβάλλῃ. *Cæcilius rerum conjunctam diversitatem* eam appellabat.

*τῶν Ἑλληνικῶν καὶ ξενικῶν*] Non opinor diversa genera significari; sed *ξενικῶν* determinationem esse epitheti *Ἑλληνικῶν*, hoc autem genere oppositum antecedenti *οἰκείων*. Hoc autem *Ἑλληνικῶν* circumscribit: eorum inprimis, qui hospitio nobiscum sunt conjuncti.

312. *εἰς τὴν ἐπιτιμίαν*] Erat scilicet obnoxius ærario: quam pecuniam qui non intra certum tempus solvebat, *ἄτιμος* erat. Hanc summam igitur Aristonicus collegerat per *ἔρανον*, qui dicebatur. Urgente tamen civitatem pecunia, summam collectam non impendebat ad servandum civilem suum honorem, sed donabat reipublicæ.

*κεκληρονόμηκας τῶν Φίλωνος τοῦ κηδεστοῦ χρημάτων*] Oratores Attici *κληρονομεῖν* c. gen. rei copulant. Nomen tum testatoris tum HEREDITATIS in secundo casu collocari necesse est, non a verbo pendens, sed a genitivo rei. Accusativo rei recentiores inprimis utuntur, raro veteres. *Lobeck.* ad Phryn. p. 129.

313. *πηνίκα λαμπρός*;] *Phrynichus* p. 49. ait: *πηνίκα μὴ εἴπῃς ἀντὶ τοῦ πότε· ἔστι γὰρ ὥρας δηλωτικόν.* Monet tamen *Lobeckius* etiam Atticos generalem usum non omnino rejecisse. Frequentius tamen est apud recentiores.

*μέμνησαι. καὶ καλῶς ποιεῖς. οὐ μέντοι δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πρὸς τοὺς τετελευτηκότας εὔνοιαν ὑπάρχουσαν προλαβόντα παρ' ὑμῶν πρὸς ἐκείνους ἐξετάζειν καὶ παραβάλλειν ἐμὲ τὸν συζῶντα μεθ' ὑμῶν.* 315. *τίς γὰρ οὐκ οἶδε τῶν πάντων, ὅτι τοῖς μὲν ζῶσι πᾶσιν ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος, τοὺς δὲ τεθνεῶτας οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἔτι μισεῖ; οὕτως οὖν ἐχόντων τούτων τῇ φύσει, πρὸς τοὺς πρὸ ἐμαυτοῦ νῦν ἐγὼ κρίνωμαι καὶ θεωρῶμαι; μηδαμῶς· οὔτε γὰρ δίκαιον οὔτ' ἴσον ἐστίν, Αἰσχίνη, ἀλλὰ πρὸς σὲ καὶ ἄλλον, εἴ τινα βούλει τῶν ταὐτά σοι προῃρημένων καὶ ζώντων.* 316. *κἀκεῖνο σκόπει· πότερον κάλλιον καὶ ἄμεινον τῇ πόλει διὰ τὰς τῶν προτέρων εὐεργεσίας, οὔσας ὑπερμεγέθεις, οὐ μὲν οὖν εἴποι τις ἂν ἡλίκας, τὰς ἐπὶ τὸν παρόντα βίον γιγνομένας εἰς ἀχαριστίαν καὶ προπηλακισμὸν ἄγειν, ἢ πᾶσιν, ὅσοι τι μετ' εὐνοίας πράττουσι, τῆς παρὰ τούτων τιμῆς καὶ φιλανθρωπίας μετεῖναι;* 317. *καὶ μήν, εἰ καὶ ταῦτ' ἄρα δεῖ με εἰπεῖν, ἡ μὲν ἐμὴ πολιτεία καὶ προαίρεσις, ἄν τις ὀρθῶς σκοπῇ, ταῖς τῶν τότ' ἐπαινουμένων ἀνδρῶν ὁμοία καὶ ταὐτὰ βουλομένη φανήσεται, ἡ δὲ σὴ ταῖς τῶν τοὺς τοιούτοις τότε συκοφαντούντων· δῆλον γάρ, ὅτι καὶ κατ' ἐκείνους ἦσάν τινες [τοὺς χρόνους], οἳ διέσυρον μὲν τοὺς ὄντας τότε, τοὺς δὲ πρότερον γεγενημένους ἐπῄνουν, βάσκανον πρᾶγμα καὶ ταὐτὸ ποιοῦντες σοί.* 318. *εἶτα λέγεις, ὡς οὐδὲν ὅμοιός εἰμι ἐκείνοις ἐγώ; σὺ δ' ὅμοιος, Αἰσχίνη; ὁ δ' ἀδελφὸς ὁ σός; ἄλλος δέ τις τῶν νῦν ῥητόρων; ἐγὼ μὲν γὰρ οὐδένα φημί. ἀλλὰ πρὸς τοὺς ζῶντας, ὦ χρηστέ, ἵνα μηδὲν ἄλλ' εἴπω, τὸν ζῶντα ἐξέταζε καὶ τοὺς καθ' αὑτόν, ὥσπερ τἆλλα πάντα, τοὺς ποιητάς, τοὺς χορούς, τοὺς ἀγωνιστάς.* 319. *ὁ Φιλάμμων οὐχ ὅτι Γλαῦκον*

314. *τὸν συζῶντα μεθ' ὑμῶν*] Bekk. ex quattuor optimorum quidem codd. recepit *τὸν νῦν ζῶντα.* Non bene. Nam jam Priscianus L. XVIII. c. 28. § 285. laudat vulgatam lectionem, ut exemplum *σὺν* sæpe apud Græcos abundare, ut aliis locis desit. Omittit tamen *ἐμὲ* et scribit *συνζῶντα.*

[317. Verba *τοὺς χρόνους*, omissa in cod. præstantissimo, uncis inclusit Bekk. V. C. F. R.]

314. *οὐ μέντοι δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι*] Laudat hunc locum ut exemplum *ἀλλοιώσεως κατὰ πρόσωπα* *Tiberius* Rhetor p. 67. *ἀπὸ γὰρ τοῦ ἀντιδίκου μετάγει ἐπὶ τοὺς δικαστάς, ὡς ἀλλαχοῦ ἀπὸ τῶν δικαστῶν ἐπὶ τὸν ἀντίδικον.*

319. *Φιλάμμων*] Pugil Athenienses, qui superabat omnes suæ ætatis, quibuscum in arenam descendebat, Glauco quidem Carystio, qui Olympionices incertæ Olympiadis est, junior, sed antiquior Ol. CX. Qui plura vult cognoscere, adeat notas ad *Æschinem* in Ctes. 52.

τοῦ Καρυστίου καὶ τινῶν ἑτέρων πρότερον γεγενημένων ἀθλητῶν ἀσθενέστερος ἦν, ἀστεφάνωτος ἐκ τῆς Ὀλυμπίας ἀπῄει, ἀλλ' ὅτι τῶν εἰσελθόντων πρὸς αὐτὸν ἄριστα ἐμάχετο, ἐστεφανοῦτο καὶ νικῶν ἀνηγορεύετο. καὶ σὺ πρὸς τοὺς νῦν ὅρα με ῥήτορας, πρὸς σαυτόν, πρὸς ὅντινα βούλει τῶν ἁπάντων· οὐδενὶ ἐξίσταμαι. 320. ὧν, ὅτε μὲν τῇ πόλει τὰ βέλτιστα ἑλέσθαι παρῆν, ἐφαμίλλου τῆς εἰς τὴν πατρίδα εὐνοίας ἐν κοινῷ πᾶσι κειμένης, ἐγὼ τὰ κράτιστα λέγων ἐφαινόμην, καὶ τοῖς ἐμοῖς ψηφίσμασι καὶ νόμοις καὶ πρεσβείαις ἅπαντα διῳκεῖτο, ὑμῶν δὲ οὐδεὶς ἦν οὐδαμοῦ, πλὴν εἰ τούτοις ἐπηρεάσαι τι δέοι· ἐπειδὴ δέ, ἃ μήποτ' ὤφελε, συνέβη, καὶ οὐκέτι συμβούλων, ἀλλὰ τῶν τοῖς ἐπιταττομένοις ὑπηρετούντων καὶ τῶν κατὰ τῆς πατρίδος μισθαρνεῖν ἑτοίμων ὄντων καὶ τῶν κολακεύειν ἑτέρους βουλομένων ἐξέτασις ἦν, τηνικαῦτα σὺ καὶ τούτων ἕκαστος ἐν τάξει καὶ μέγας καὶ λαμπρὸς ἱπποτρόφος, ἐγὼ δ' ἀσθενής, ὁμολογῶ, ἀλλ' εὔνους μᾶλλον ὑμῶν τουτοισί. 321. δύο δ', ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα τὸν φύσει μέτριον πολίτην ἔχειν δεῖ (οὕτω γάρ μοι περὶ ἐμαυτοῦ λέγοντι ἀνεπιφθονώτατον εἰπεῖν), ἐν μὲν ταῖς ἐξουσίαις τὴν τοῦ γενναίου καὶ τοῦ πρωτείου τῇ πόλει προαίρεσιν διαφυλάττειν, ἐν παντὶ δὲ καιρῷ καὶ πράξει τὴν εὔνοιαν· τούτου γὰρ ἡ φύσις κυρία, τοῦ δὲ δύνασθαι καὶ ἰσχύειν ἕτερα. ταύτην τοίνυν παρ' ἐμοὶ μεμενηκυῖαν εὑρήσετε ἁπλῶς. 322. ὁρᾶτε δέ· οὐκ ἐξαιτούμενος, οὐκ Ἀμφικτυονικὰς δίκας ἐπαγόντων, οὐκ ἀπειλούντων, οὐκ ἐπαγγελλομένων, οὐχὶ τοὺς καταράτους τούτους ὥσπερ θηρία μοι προσβαλλόντων, οὐδαμῶς ἐγὼ προδέδωκα τὴν εἰς ὑμᾶς εὔνοιαν. τὸ γὰρ ἐξ ἀρχῆς εὐθὺς ὀρθὴν καὶ δικαίαν τὴν ὁδὸν τῆς πολιτείας εἱλόμην, τὰς τιμάς, τὰς δυναστείας, τὰς εὐδοξίας τὰς τῆς πατρίδος θεραπεύειν, ταύτας αὔξειν, μετὰ τούτων εἶναι. 323. οὐκ ἐπὶ μὲν τοῖς ἑτέρων εὐτυχήμασι φαιδρὸς ἐγὼ καὶ

*οὐδενὶ ἐξίσταμαι*] *nemini eorum cedo.*

322. *ἐξαιτούμενος*] ab Alexandro, qui postulabat, ut oratores sibi tradantur, quibus uteretur pro arbitrio. Videtur tamen hoc interpretandum secundum ea, quæ statim sequuntur: *Ἀμφικτυονικὰς δίκας ἐπαγόντων.* Opinor enim Alexandrum hoc voluisse, ut demagogi coram Amphictyonum collegio se sistant et judicentur.

*μετὰ τούτων εἶναι*] *ab horum partibus stare;* si qui sint, qui his adversentur, contra eos stare.

323. *οὐκ ἐπὶ* cet.] Hunc locum laudat *Tiberius* Rhetor p. 33. ut exemplum *ἀντικειμένον. ἀπὸ τοῦ ἀπόκειμένου ἐστίν, ὅταν μὴ περὶ τοῦ προκειμένου τι εἴπῃ, ἀλλὰ τὸ ἀντικείμενον ἐφ' ἑτέρου προσώπου, δι' ἐκείνου τοῦτο σημαίνων—τοῦτο γάρ που λέγει, ὅτι οὗτοι τοιαῦτα πράττουσι.*

γεγηθὼς κατὰ τὴν ἀγορὰν περιέρχομαι, τὴν δεξιὰν προτείνων καὶ εὐαγγελιζόμενος τούτοις, οὓς ἂν ἐκεῖσε ἀπαγγελεῖν οἴωμαι, τῶν δὲ τῆς πόλεως ἀγαθῶν πεφρικὼς ἀκούω καὶ στένων καὶ κύπτων εἰς τὴν γῆν, ὥσπερ οἱ δυσσεβεῖς οὗτοι, οἳ τὴν μὲν πόλιν διασύρουσιν, ὥσπερ οὐχ αὑτοὺς διασύροντες, ὅταν τοῦτο ποιῶσιν, ἔξω δὲ βλέπουσι, καὶ ἐν οἷς ἀτυχησάντων τῶν Ἑλλήνων εὐτύχησεν ἕτερος, ταῦτ' ἐπαινοῦσι, καὶ ὅπως τὸν ἅπαντα χρόνον διαμενεῖ φασι δεῖν τηρεῖν.

324. Μὴ δῆτ', ὦ πάντες θεοί, μηδεὶς ταῦθ' ὑμῶν ἐπινεύσειεν, ἀλλὰ μάλιστα μὲν καὶ τούτοις βελτίω τινὰ νοῦν καὶ φρένας ἐνθείητε, εἰ δ' ἄρ' ἔχουσιν ἀνιάτως, τούτους μὲν αὐτοὺς καθ' ἑαυτοὺς ἐξώλεις καὶ προώλεις ἐν γῇ καὶ θαλάττῃ ποιήσατε, ἡμῖν δὲ τοῖς λοιποῖς τὴν ταχίστην ἀπαλλαγὴν τῶν ἐπηρτημένων φόβων δότε καὶ σωτηρίαν ἀσφαλῆ.

εὐαγγελιζόμενος τούτοις] Atticistæ in diversa abeunt, num scriptores Attici εὐαγγελίζεσθαι cum dativo an cum accusativo construxerint. *Phrynichus* ipse, omnium doctissimus, fatetur diu se dubium hæsisse. In scriptis Atticorum, quæ ad nos pervenerunt, nonnisi cum dativo construitur; apud recentiores autem construitur cum dativo personæ et accusativo rei, ut *Luc.* 11, 10. εὐαγγελίζομαί σοι χαράν: sequiores adeo duplicem jungunt accusativum.

324. ἐξώλεις καὶ προώλεις] ἐξώλης est exitio dignus eoque punitus. προώλης qui antequam eos, quos volebat, pessumdare potuit, ipse exitio opprimitur.

# EXCURSUS I.

AD § 12.

*Ex libello, qui inscribitur: "Observationes in Demosthenis Orationem de Corona. Scripsit Rud. Rauchenstein. Turici.* 1829."

---

QUUM initium faciam a loco vexatissimo p. 229. Reisk. § 12. Bekk., nolo tamen committere, ut disputatio in molem immodestam excrescat, sed, quantum tædium multis de hoc loco iisque longis virorum doctorum annotationibus legendis natum mihi ipsi sit, bene memor, agam breviter, varias autem doctorum sententias nec recensebo neque impugnabo præter novissimam. Illas enim si quem cognoscere juvat, is adeat *Hüpedenium*, qui annotationum ad Dem. specimine (Cellis, 1827.) hanc negotii partem diligentissime videtur confecisse*). Atque in hoc quidem optime rem gessit *Hüpeden*, quod ab omni verborum sententiarumque mutatione abstinendum locique difficultatem totam interpretationis ratione ac modo expediendam esse demonstravit. Qua in re viro docto ut accedo, ita in ejus interpretatione nondum acquiesco. Quod quo jure sit dictum ut appareat, Demosthenis verba apponam:

*Τὰ μὲν οὖν κατηγορημένα πολλὰ καὶ δεινά, καὶ περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμωρίας· τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὕτη ἐχθροῦ μὲν ἐπήρειαν ἔχει καὶ ὕβριν καὶ λοιδορίαν καὶ προπηλακισμὸν ὁμοῦ καὶ πάντα τὰ τοιαῦτα, τῶν μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔνι τῇ πόλει δίκην ἀξίαν λαβεῖν οὐδ' ἐγγύς. οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν, οὐδ' ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν· οὔτε μὰ τοὺς θεοὺς ὀρθῶς ἔχον οὔτε πολιτικὸν οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθ. κ.τ.λ.*

Quorum verborum sententiam hanc fere esse statuit *Hüpeden*: "Magna sane sunt, judices, quibus accusor, crimina: sed ne putetis vera esse, in præsenti causa tum ipsius accusatoris respicite indolem, tum vero ipsarum criminationum rationem, quippe quæ tam in immensum auctæ sint, ut homo sanus eas jam per se, utpote falsas et mendaces, rejicere debeat, quum nemo facile inveniatur qui credat me majora peccavisse, quam pro homine, vel quæ ne punire quidem liceat civitati."

Suspicionem autem gravissimam de hac interpretatione mihi hoc injicit, quod, quum criminum in se conjectorum pœnas ac supplicia Demosthenes definisset ita, ut *μεγάλας καὶ τὰς ἐσχάτας* a legibus constitutas iis esse *τιμωρίας* dixisset, pro sententiarum nexu et collocatione apte et concinne subjicere subinde non potuit, eadem crimina esse majora, quam pro homine, ita ut ne punire quidem ea liceat civitati. Velit quidem aliquis hoc defendere ita, ut in auxilium vocet *περὶ ὧν ἐνίων*, quippe quo vocabulo non omnia crimina, sed partem tantum primo enuntiato comprehendi doceamur. Verum si distribuere in genera bina voluisset *τὰ κατηγορημένα* Demosthenes, quorum altero minora crimina, quæ supplicio affici quidem possent eoque

* Una tamen *Fr. Schaubii* cum latuisse videtur commentatio, quæ legitur in Bibl. Crit. Hildes. 1822. Fascic. II. p. 190, quam tamen, quum ad manus ille liber non esset, nec mihi in usum meum convertere licuit.

summo altero majora complecteretur, quæ summam suppliciorum facultatem etiam superarent; totam aliter informasset sententiarum seriem, orationisque σχῆμα adhibuisset ejusmodi, quod partitioni instituendæ inserviret. Nunc vero leviora crimina ne tangit quidem, vocabulo autem ἐνίων significat gravissima ipsa.

Porro verba οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ κ. τ. λ. bene animadvertit *Hüpeden* ad Demosthenem non spectare, "sed ad Æschinem, quippe qui, quoad ejus fieri potuerit, Demostheni coram populo dicendi eripuerit potestatem;" in reliqua autem loci interpretatione assentientem me non habet. Dicit enim Demosthenem respicere orationis Æschineæ locum eum, ubi adversarius, superiorem Demosthenis eloquentiam timens, aditum ad populum et verba in hac ipsa causa facienda ipsi prorsus intercludere conatus fuerit. (*Æsch.* in Ctes. § 200—205. ed Bremii, Bibl. Gr.) Addit deinde: "Jusserat ibi Æschines Ctesiphontem sese ipsum defendere, neque Demosthenem in auxilium vocare." Quod utinam vestigium accuratius *Hüpeden* pressisset, in quo proxime ad veritatem accesserat, neque aliorsum abduci se passus esset. Verum in sequentibus relicta hac via rem omnem referri jubet ad Æschinis injustam postulationem, ut Demosthenes eodem argumentorum ordine, quem ipse Æschines in accusatione secutus erat, causam peragere cogeretur. Hanc enim revera postulationem spectare eo, ut publica dicendi potestate Demosthenes prorsus privaretur. "Equidem, inquit, si nulla eo perducerent vestigia, mirarer profecto, qui factum esset, ut summam Æschinis injustitiam aptissimo hoc loco orator silentio prætermitteret?"

Gravissimum hoc, quod Æschines postulaverit, et injustissimum fuisse ut concedimus, ita huic rei satis esse factum ab oratore putamus statim in exordio. Judices enim ut Demosthenem a suo orationis ordine recedere aliumque instituere cogerent non lege aliqua nec jure obtinere poterant, verum illo, quo uti solebant, si quid ipsis displiceret, non legitimo quidem, at δημοτικῷ certe more τοῦ θορυβεῖν. Hoc vero Demostheni minime erat timendum, ut qui libentissime audiretur. Paucissimis ergo iisque gravissimis verbis (§ 2. Bekk.) hoc metu defunctus est adversariique hoc profligavit artificium. Exagitare vero adversarii postulationem pro ea, qua fiebat, injustitiæ magnitudine si voluisset orator, non profecto commisisset, ut in sequentibus nescirent auditores ne verbo quidem edocti, quod potissimum malitiæ genus in adversario tam acriter notare vellet. Neque enim id efficiebant verba: οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ—λόγου τυχεῖν, et quod in sequentibus verbis ἀλλ' ἐφ' οἷς ἀδικοῦντά με ἑώρα τὴν πόλιν κ. τ. λ. usque ad § 17., quæ omnia ad verba illa, quæ modo laudavi, ex oppositionis ratione illustranda valent, nulla prorsus illius postulationis fit mentio, immo vero ne ex longinquo quidem ejus habetur ratio, hoc, inquam, satis demonstrat, de postulatione Æschinis h. l. omnino non agi.

Intactam autem si cui videamur aliquam reliquisse dubitationem, ex qua defendi possit *Hüpedenii* sententia, sublatum eam iri putamus cognita interpretatione nostra, quam totam e Demosthenis sententiarum nexu atque conjunctione instituendam censeo. Quamobrem sententiarum summam et argumentum ab orationis principio repetere non piget.

Per deos precatur judices, ut sibi non minus quam Æschini æqui ac benigni esse velint, eumque, quem ipse instituendum putet, orationis ordinem permittant (§ 1. 2.) Sibi autem certaminis conditionem esse priorem quam adversario, tum quod majora quam ille amittat, causa si cadat, tum quod invidiosas certaminis partes ipse teneat, quoniam de suis laudibus sibi dicendum sit (§ 3. 4.)

Justas autem et benignas a judicibus aures deberi sibi propterea, quod cum Ctesiphontis causa, quam defendat, conjuncta sit etiam sua tanquam rei (§ 5. 6. 7.) Precatus iterum per deos, ut quam tota vita erga patriam benevolentiam exhibuerit, eandem nunc sibi referant judices, judiciumque ut fiat honestum ac pium, ad causam propius accedit, seque ab adversarii mendaciis coactum etiam extra causam paullo latius vagari debere dicit (§ 9. 10.) Ac privatam quidem vitam si talem fuisse

credant, qualem Æschines fuerit ementitus, exsurgant statim seque condemnent; sin autem mendacem in hac re deprehenderint adversarium, etiam in reliquis fidem ei ne habeant. Nec tamen fore, ut Æschinis conviciis abreptus ad eadem regerenda se nunc conferat convicia; immo vero de rebus publice a se gestis se prius acturum quum maxime (§ 11. 12.)

Jam erat reliquum, ut, priusquam in defensionem ingrederetur ipsam, criminationum vim explicaret atque consilium: id quod facit hoc ipso loco § 12, de quo lis est.

Nimirum qui alterum accusat, etiam si minime veritatis et patriæ amore, sed maxime invidia ductus et inimicitia reum agit, hoc unum certe efficere studet præcipue, ut pœna reus plectatur gravissima, ea saltem, quæ sit exæquanda criminis gravitati.

Atqui (liceat enim paullisper oratoris agere personam) crimina tot in me conjecit et in iis nonnulla tanta, pro quibus civitati ex legibus summa et extrema deberentur supplicia. Quod autem in hoc certamine hanc *) consilii viam ingreditur, hoc prodit inimici acerbitatem et superbiam, totumque valet ad me proscindendum conviciis ac projiciendum. Nec tamen facit, quod accusatorem, quamvis acerbum, facere oportet. Criminatur enim ita, ut, etiamsi crimina essent vera, per Æschinis tamen accusationem supplicium de me dignum aut certe digno proximum sumere reip. non liceret (*τῶν μέντοι—ἐγγύς*). Nam supplicium de me sumi si voluit, non debuit privare me jure ad populum accedendi et apud eum perorandi. Hoc vero ipsum ita facere instituit. Me enim incusans reum agit non me, sed Ctesiphontem. Jam res si pessime evenerit, si ceciderit causa Ctesiphon, qua ego re privabor?—Corona scilicet et honoribus.—Eane digna pœna erit publicarum calamitatum auctore, qualem me dicit esse Æschines? Non profecto! hoc modo reip. non satisfiet, *οὐδ' ἐγγύς*. Nec tamen si vere criminaretur, potestatem hoc certamine vobis faceret Æschines me puniendi.—Quidni?—Quia damnari pro scelerum, quæ, si diis placet, suscepi, magnitudine non possum, nisi ante causam dixero ac legitime mei instituta fuerit accusatio, quod ne fieret, consulto ipse commisit Æschines. Accusationem debebat sequi defensio, defensionem judicium atque damnatio. Damnare autem me non licet. Neque enim fas est privari me jure illo prodeundi ad populum sive ad Judices causamque apud eos dicendi (*οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ—τυχεῖν*), nec vero, quamvis calumniator sis atque invidus, ita tibi agere licet (*οὐδ' ἐν ἐπηρείας—ποιεῖν*). Videte ergo, quanta calumnia de me, erga vos quanta perfidia agat Æschines, qui quum me accusare reipublicæque debitam a me pœnam exigere videri voluisset, tantum abfuit, ut me postularet, ut Ctesiphontem invaderet, me, quem recta a se vinci posse desperaret, oppugnans ex obliquo, tanquam ab insidiis adortus, unde nullus nec civitati fructus nec ipsi, nisi quo odio satisfaceret inexpiabili. Non mehercule ita petendus eram, *ἀλλ' ἐφ' οἷς ἀδικοῦντά με ἑώρα, κ. τ. λ.*

Hanc veram esse interpretationem sequentia docent a verbis modo laudatis *ἀλλ' ἐφ' οἷς ἀδικ.* usque ad § 17, quæ ex oppositionis ratione addita sunt, et quum adversarium docerent, quid faciendum ei fuisset, simul vituperant id, quod fecerat. Tota enim eorum vis totumque consilium cernitur in eo, ut reprehenderetur Æschines, tum quod Demosthenem petens Ctesiphontem, hominem alienum, liti implicuisset, tum quod Demosthenem, si quidem tam gravia committentem scelera vidisset, nec tum maxime, quum commisisset, neque ea adortus esset via, quam leges et judicia abunde præberent. Quæ quum negligerent interpretes, factum est, ut etiam ea, quorum illustrandorum causa ab oratore apposita sunt, ipsa ab illis non intelligerentur.

* Hoc modo si interpretere verba *ἡ προαίρεσις αὕτη*, quemadmodum legit *Bekkerus*, non erit opus, ut cum *Hüpedenio* revoces vulgatum *αὐτή*. Demosthenes enim reprehendit Æschinem, quod litem Ctesiphonti hoc potissimum consilio et hac ratione intenderit, quam revera Æschines adhibuit cujusque malitiam orator judicibus expositurus est.

Superest unum, quod addamus, ne cui audacius sententias nonnullus in paraphrasin nostram intulisse videamur. Neque enim reperies sententiam aliunde intrusam, sed quas interposuimus, ejusmodi omnes, ut ex ipso sententiarum nexu atque rerum conditione necessario sint ducendæ ac subintelligendæ. Præterea tenendum Demosthenem ex iis sententiis, quas ad illustrandam et quasi continuandam internam ipsius ratiocinationem nos adhibuimus, nonnullas consulto non attigisse. Nolebat enim proferre sententiam importunam hujusmodi: res si pessime evenerit, si ceciderit causa Ctesiphon, qua ego re privabor?—Corona et honoribus.—Eane digna pœna erit sqq. Vitabat enim vel ominis causa, vel quod coronæ, de qua tamen rei summa agebatur, contemtum nescio quem molestum atque ineptum simulare alicui videri poterat. Simillimus locus est § 3. *ἀλλ' ἐμοὶ μέν*—ubi per aposiopesin eadem de causa reticet ea, quæ futura sint, si, quod omen dii avertant, causa ceciderit.

Ceterum in verbis supra allatis *τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμωρίας* dubito an verior sit lectio codicis Σ, et *γρ.* Φ pro vulg. *τάττουσιν* exhibentium *διδόασι*, quod ut est rarius sensu judiciali et ob id ipsum præ usitato *τάττειν* neglectum, ita reperitur in Leptin. § 154. Bekk. *οἵ τε (νόμοι) τοῖς ἀγαθόν τι ποιοῦσι τὰς τιμὰς διδόντες καὶ οἱ τοῖς τἀναντία πράττουσι τὰς τιμωρίας.*

---

# EXCURSUS II.

## Ad § 29. et § 37. 39.

Duo illa decreta, quæ archontis Mnesiphili nomen præferunt (quorum alterum p. 235 insertum est sic, tanquam latum a Demosthene sit de maturanda legatorum profectione ad exigendum a Philippo jus jurandum pacis Ol. CVIII. 2. cum Philippo compositæ, alterum p. 238 tanquam id decretum sit, quod post nuntiatam Athenis Philippi in Phocidem impressionem Ol. CVIII. 3. Scirophorione extremo latum a Callisthene est) maximis laborant difficultatibus, de quibus *Boeckhio* consulto *Franciscus Winiewski* in commentariis historicis et chronologicis in Demosthenis orationem de corona (Monast. 1829. 8) p. 319 sqq. ita egit:

Ol. CVIII. 1. *archonte Theophilo* Philocrates primum decretum fert de legatis creandis, qui pacis cum Philippo componendæ causa in Macedoniam eant; *παρανόμων* accusatus a Lycino, a Demosthene defenditur, judicioque absolvitur. *Æsch.* in Ctes. 62. med.

Ol. CVIII. 2. *archonte Themistocle* Demosthenes senatoriam dignitatem sortitur. *Æsch.* l. c. Athenienses de pace cum Philippo ineunda denuo deliberant tempore *τῶν σπονδῶν μυστηριωτίδων*, mense igitur circiter Boedromione, quo acta esse Eleusinia seu magna mysteria constat. *Æsch.* Π. Παραπρ. p. 45 extr. Alterum Philocratis decretum vincit de creandis legatis decem invitaturis Philippum, ut, si transigere cum Atheniensibus velit, legatos Athenas mittat de pace acturos. *Æsch.* in Ctes. p. 62 extr. Legati sunt: Ctesiphon, Aristodemus, Iatrocles, Cimon, Nausicles, Dercylus, Phryno, Philocrates, Æschines, Demosthenes. Vid. Argument. 2. ad Dem. Or. Π. Παραπρ. Iidem passim omnes fere memerantur ab *Æschine* Π. Παραπρ. p. 30 m. et 34 m. Hi abeunt mense circiter Gamelione: revertuntur Elaphebolione ineunte, cujus die VIII. concio fit auctore Demosthene, ut, quum primum Philippi legati advenerint, sine mora cum eis transigatur. *Æsch.* in Ctes. 63 in. Adveniunt Philippi legati ad Dionysia Magna. *Æsch.* in Ctes. p. 64 m. *Dem.* de Cor. p. 234.

Quibus celebratis, præsidente inde ab Elaphebolionis die XI. aut XII. tribu Pandionide, cui accensus erat Demosthenes (v. supra p. 96 sq.), ejusdem mensis diebus XVIII. et XIX. continuo de pace et fœdere cum legatis regiis agitur. Priori die oratores de pace verba faciunt, posteriori demum ad suffragia itur (v. supra p. 97.), eodemque pax decernitur (*Dem.* Π. Παραπρ. p. 359. *Æsch.* Π. Παραπρ. p. 36 in Ctes. 64.) simul cum fœdere (v. supra p. 78) et jure jurando confirmatur. Posteriori hoc fortasse die legati etiam creantur pacis jus jurandum a Philippo exacturi. Creati enim secundum Æschinem erant jam ante Elaphebolionis XXIII. (*ἑβδόμην φθίνοντος*), quo die, comitiis ante habitis, Atheniensium socii Philippi legatis jus jurandum dederunt. *Æsch.* Π. Παραπρ. p. 39 in Cf. supra p. 100 sq. ibique not. et not. sup. Sed commorantur Athenis usque ad Munychionem III. quo die Demosthenes senatus consultum perfert de maturanda legatorum profectione. Cf. supra p. 90.

